τὰς ὃν ἡμῖν, καὶ αὐτὸν ἐγνῶσθαι χρή. καθάπερ γὰν σύμμετρον ὀνομάζειν μέγιστον. τὸν δ' ὥσπερ τοῦ μεγίστου τε καὶ τοῦ μέσου, μέγαν ἁπλῶς. μεταξὺ δὲ τούτου τε καὶ ἑκάτερον ἄλλους δύο πάξαι, τὸν μὲν ὀλίγῳ τι συμμέτρου μείζονα, τὸν δ' ἀρλειπόμενον ὀλίγῳ τοῦ μεγάλου, καὶ τὸν μὴ τοιοῦτον τὸν ἐγγυτάτω τοῦ μεγίστου. ταῦτα εἴρηται μοι πρὸς γνῶλεξιν τοῦ διηλωτικοῦ ποσότητος ἕνεκεν τόν τε μέγαν, καὶ τὸν μικρόν, καὶ ὅτι μάλιστα δοκῶσι τοῖς πρός τινα κατηγορίας ἔχεσθαι. διὰ ταῦτα οὖν ἡμεῖς τοῦ σαφοῦς τῶν μανθανόντων ἕνεκεν προτρεπτικοῦ τοῦ, ἡ τοῦ ποσοῦ τῆς διασολῆς ἅπαντα τὰ τοιαῦτα ὀνομάσθαι λέγομεν, ἅμα μὲν τῆς χρείας αὐτοῦ διδάσκοντος τὸ ὀνομάτων, ἅμα δὲ οὐ παρέποντος ὅταν τῷ μικρῷ τὸ μεγάθος ὑπάρχειν λέγωμεν. αὐτὰ γὰρ καὶ ἰδιώτης τις ἢ μὴ ἀγύμνασος τῶν πρώτων μαθημάτων, ταῦτ μᾶλλον ἢ ὅπως ποθήσεται, ἂν δ' ἢ τι καὶ προμεμαθηκώς, εὑρήκοι μοι μυριάκις πρὸ τοῖς ἕλλησιν γεγραμμένα, μέγεθος καὶ μικρότητα. καὶ σωείθεσι τῷ μὲν μεγάλῳ μέγεθος ὑπάρχειν νοεῖν, τῷ δὲ μικρῷ μικρότητα. καί τινα οἶδα ποτὲ ἀξιοῦντά μοι τὸ τοῦ Αρχιγένους πρὸς τῶν σφυγμῶν βιβλίου ὑπολαβόντα μαθηματικῶς ὑπάρχειν, μέγεθος τῷ μικρῷ. εἰ γὰρ διὰ τοῦτο τινι φησὶν ἡ μικρότης ὑπάρξει, καὶ ἀμφοτέρα τῷ αὐτῷ. διασιωπήσαντος δὲ μου, ποσότητα μὴ ἐφησον, ἢ ποιλικότητα, ἢ τι τοιοῦτον ἄλλο διὰ τοῦ νοεῖν ὑπάρχειν τῷ μικρῷ, μέγεθος δὲ οὐδαμῶς. ταῦτ' ἐγὼ μήτε διαβάλλειν ἔχω, ὡς οὐκ ὀρθῶς εἰρημένα, μήτε πρὸ καιροῦ παρέπειν βούλομαι. τοὺς πρῶτον μανθάνοντας ἐν τῷ διδάσκειν αὐτοὺς, ὅτι τῶν ὁμωνύμων τε καὶ διχῶς λεγομένων τὸ μέγεθος ὀρθότερον ἡγούμεθα λέγειν δεῖν, ἢ τὸ ποσὸν ἐν διασολῆς σωίσασθαι πολλὰς διαφορὰς σφυγμῶν. οὕτως γὰρ οἶδα τὴ μικρότητα διὰ ἔθος τοῖς ἕλλησιν οὖσαν, ὡς ἐν συμβεβηκὸς, καὶ ἀχώρισον τῶν μικρῶν. ὥστε πρὸ πλάτους, καὶ ἰσίας ἐποιᾶ μεγέθος τε καὶ μικρότητος, καὶ τῇ τούτων μεταλήψει τὸ μέγα καὶ τὸ μικρὸν ἐγχύνα τῷ λόγῳ. καὶ ταῦτα εἴπερ πάντα πρελθὼν συγχωρήσειέ μεγέθους τι καὶ τοῖς μικροῖς ὑπάρχειν σφυγμοῖς, ἢ θάτερον τῶν κατὰ τὴν ὁμωνυμίαν, σημαινομένων τὸ σφαιρώτερον. ἀλλὰ τοῖς μακροῖς καὶ βραχέσι καὶ πλατέσι, καὶ στενοῖς, καὶ παχέσι, καὶ ὑψηλοῖς ἐκ ταὐτοῦ γένους οὖσι, τῷ τε μεγάλῳ, καὶ μικρῷ, πῶς ἂν ὑπάρχειν λέγοιτο μέγεθος. ὁ μὲν γὰρ μακρὸς ὁ ἢ μῆκος ἔστιν ὑπερβολὴ πυξημένου τῷ ἢ φύσιν. ὁ δὲ πλατὺς, ὁ κατὰ πλάτος, ἢ ὑψηλὸς ὁ ἢ βάθος. οὐδεὶς αὐτῶν ἢ τὰς τρεῖς διαστάσεις νοούμενος ἢ ἀρτηρίας, ὧν οὐκ ἄνευ, μέγεθος σωίσεται. τὸ γὰρ ἢ μίαν διάστασιν ποσὸν, οὐ μέγεθος, ἀλλὰ μήκος ἐστὶ, καὶ μακρὸς καὶ βραχὺς κατὰ δόξαν τινὰς λέγομεν, οὐ μεγάλος, οὐδὲ μικρός. οὐδὲ γὰρ γραμμὴν οὕτω ποτὲ καλοῦμεν, ἀλλ' ἤτοι μακρὰν, ἢ τοι βραχεῖαν. ὅλον δὲ τριχῆ διεστηκὲ σῶμα τὰ, ταῦτα μόνα μεγάλα τε καὶ μικρὰ λέγεται. αὐτὸς γὰν ὁ Αρχιγένης μέγεθος εἶναί φησι σφυγμῶ, τὸν ὄγκον ἐν ἀρτηρίᾳ. ὄγκος δὲ οὐκ ὑπάρχει γραμμῇ, ἀλλὰ μόνοις τοῖς τριχῆ διεστῶσι. φανερῶς γὰρ καὶ κατ' ἐκεῖνον τὸ κατὰ μέγεθος γένος ἐκπεπτώκασιν ἅπαντες οἱ κατὰ μίαν διάστασιν λεγόμενοι σφυγμοί. ἢ ἴσως ἰδίου ἕξεως ποιᾶ σάτω γένος, ὥσπερ τῷ μεγάλῳ τε καὶ μικρῷ τὸ μέγεθος, ἢ μὴ ποιῶν, ἐπιτατάτω μὴ μεγάλος μόνον ἢ μικροῦ κοινὸν γένος, ἀλλὰ καὶ μακρὸς καὶ βραχέος, καὶ πλατέος, καὶ στενὸς, καὶ ὑψηλὸς, καὶ ταπεινός. καὶ τῶν ἄλλων ἐν ἅπασιν αὐτοῖς συμμέτρων, ἀλλ' οὐδὲν ἕξει ἢ πάντων κοινὴ κατηγορίαν πλὴν τῶν ποσῶν. γίγνοιτο δ' ἂν οὕτω καὶ ἡ διδασκαλία πάσης σαφὴς, καὶ διηρθρωμένη. τίς γὰρ εἰς τοσοῦτον σκαιός ἐστιν, ὡς μὴ σωιέναι τῶν οὕτως λεγομένων τὸ ποσὸν ἐν διασολῆς τῶν ἀρτηριῶν, ὅταν μὲν τὸ ἢ μίαν διάστασιν ἡντινοῦν διελῶσαι βουληθῶμεν, ὀνόμασι τοῖς δὲ χρώμεθα, τὸν μὲν ὑπερβάλλοντα τὸ ἢ φύσιν μῆκος, μακρὸν, τὸν δ' ἐλλείποντα, βραχὺν καλοῦμεν, ὡσάυτως δὲ κὴ τὸν μὲν ὑπὲρ τὸ ἢ φύσιν πλάτος πλατὺν, τὸν δὲ ἐναντίον αὐτῷ, στενόν. καὶ ὑψηλὸν αὖ καὶ ταπεινὸν ἀναλόγως τούτοις ἐν τῇ κατὰ βάθος διαστάσει. τὸ δὲ κατὰ τὰς τρεῖς ἅμα διαστάσεις ποσὸν, ὡσ' ἔπως ὀνομάζομεν, τὸν μὴ ὑπὲρ πλεῖον τοῦ κατὰ φύσιν πυξημένου πάντη, μέγαν. τὸ δὲ πάντη μεμειωμένον, μικρόν. ὅστις δ' ἂν φυλάττῃ πάντη τὸ ἢ φύσιν μέτρον, σύμμετρον τὸν τοιοῦτον καλοῦμεν. ὅταν δὲ μὴ φυλάττῃσι τὴν ἀναλογίαν αἱ τρεῖς διαστάσεις, ἀλλά τις ἐξ αὐτῶν, ἢ τινες ἐλλείπωσιν, ἢ πλεονεκτήσωσι, τότ ταρδὺ καὶ εἴκοσι διαφοραὶ σφυγμῶν γίγνονται, ἃς ἡμεῖς ὑπὲ διαγράμματος ἐδείξαμεν μετὰ τῶν προδεδειγμένων τριῶν, ἵνα δ' ἐξέωμεν ἐπὶ καὶ εἴκοσιν ἕνεκεν τὰς πάσας τῶν κατὰ τὰς τρεῖς ἅμα διαστάσεις σωισαμένων σφυγμῶν διαφορὰς. οὕτω γὰρ ἐμοὶ δοκῶ χρήσιμον τοῖς ἀρχομένοις μανθάνειν τὴν κατὰ τοὺς σφυγμοὺς θεωρίαν, ἁπάντων γνῶναι τὸν ἀριθμὸν αὐτῶν καθ' ἕκαστον γένος, ὅπερ οἱ πρὸ ἡμῶν πρεσβύτεροι ἐπαλελοίπασιν. ἀλλὰ τοῖς μὴ ἄλλοις συγγνώμη. τί γὰρ ἂν τις τοῖς τελέως καταπεπτωκόσι προσαιτιάσαιτο, τοῖς ἢ πρὸ τοῦ Αρχιγένους πῶς οὐκ ἂν ἐγκαλέσαιμεν εἰκότως, οἷς δέον εἰς τὴν τούτων εὕρεσιν χρῆσθαι τῇ διαλεκτικῇ. οἱ δ' οὐ χρῆ, πρεπιστέικνωται κακῶς αὐτῷ, παρέποντος μόνον τοὺς μανθάνοντας, διδάσκοντος δ' οὐδέν. ἄμφω γὰρ ἐγὼ ἔχοντας γε διαιρετικὴν, καὶ σωθετικὴν μέθοδον, ἐξευρίσκειν μὴ αὐτῇ τῷ πλήθει ἁπάντων τῶν ἐν τοῖς σφυγμοῖς διαφορῶν, μὴ μήν τοι προεπιστέικνυσθαί γ' ὁτιμαθῶς, ἀλλὰ μὴ δὲ δηλον αὐτὸ τοῖς εἰωθόσιν, ὡς ὅτι τῆς μεθόδου καθ' ἣν σωίεσιν τὸ διάγραμμα. τοῖς μὴ γε μὴ μεμαθηκόσι τὰ παιδικὰ μαθήματα, μάτην ἐρεῖς. οἱ μεμαθηκότος ἢ τοῦ σε μισῆσαι, γνωρίζοιεν ἐκ τῶν ὀργάνων τὴν μέθοδον. τί δ' οὐ ποτ' ὄν οὐδεὶς αὐτ', οὐδὲ τῇ διαιρετικῇ φάνεται κεχρημένος μεθόδῳ πρὸς τὴν ἐξαριθμησιν τοῦ καθ' ἕκαστον γένος πλήθους, ὅτε τῇ σωθετικῇ πρὸς τὴν τῶν πρώτων εὕρεσιν. καί τοι διαλεκτικοῖς μόνοις τούτοις ὅτι χρῆσθαι ταῖς μεθόδοις, ποτὲ μὴ ἀπὸ τῶν ἀτόμων τε καὶ ἀπείρων τὸ πλῆθος, ὑπὸ τὸ ἓν ἐκεῖνο τὸ πρῶτον ἁπάντων γένος ἀγιόντα διὰ τῶν ἐν μέσῳ γενικῶν τε καὶ εἰδικῶν διαφορῶν, ποτὲ δ' ἀπ' ἐκείνου πάλιν ὑπὸ τὸ ἄπειρον ἰόντα, διὰ τῶν αὐτῶν ἐν μέσῳ. ἀλλὰ τότων ὀλίγοις ἐτόλμησεν ὀλεμῖᾶ μεθόδῳ πιστώσασθαι τὸν ἀριθμὸν, ἢ τῶν πρώτων γνῶν, ἢ τῶν ἐκ τούτων διαφορῶν γινομένων διαφορῶν. ἀλλ' ἡμεῖς γε πεποιήκαμεν αὐτὸ, καὶ ὡς ὁλῷ βαδίζοντος εὕρομεν τῶν ἑπτὰ καὶ εἴκοσι σφυγμῶν, τῶν κατὰ τὰς τρεῖς διαστάσεις λεγομένων, καὶ τῶν γένεα τῶν κατὰ μίαν, ἐν κοινὸν γένος τὸ ποσὸν ἐν τῇ διασολῇ τῆς ἀρτηρίας. εἰ δὲ καὶ τῶν συσολὴν γένεσιν ἀφῇ γνωρίζειν, γένοιτο ἂν οἶμαι καὶ τούτῳ τὸ

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 32 sur 494

ἰδίαν πλῆθος τῶν διαφορῶν. ἀλλὰ περὶ μὲν τούτου ῥητέον ἐν τοῖς περὶ διαγνώσεως. ἀρχικῆς δέ, τούτου γὰρ πρώτου δίκαιον μνημονεύειν, μετά γε τὸν Ἡρόφιλον ἀθρόως ἀποφηνάμενον τὸν σφυγμὸν οἷος ποτέ ἐστιν, οἱ τὸ σκιὰς ἀΐσσουσιν, οὐ μόνον ἐν τοῖς ὀνόμασιν ἑοικέναι, ἀλλὰ καὶ πολὺ πρότερον ἐν τοῖς πράγμασιν αὐτοῖς τετραχθαι. καὶ διὰ τοῦτο πᾶσαπόλας ἑαυτῷ τἀναντία λέγων οὐκ ἀλαζών ἐστιν, μάθοις δ' ἂν ἐξ αὐτοῦ τοῦ λέξεως ἐχόμενος ὧν δὲ εἰσὶ δηλονότι πυκνοὶ ἄλλοι σφυγμοὶ οὔτε μέγιστοι, οὔτε μεγάλοι, οὔτε μικροὶ ἢ μεγέθους θεωρήμενοι, ἢ τάς γε τοῦ μεγέθους διαστάσεις. ἐν ἐξῆς φησίν. ἔστι γὰρ σφυγμὸς ἢ μῆκος ἢ ἀρτηρίας διϊσαμένης ἐφ' ἱκανόν, σχημένου δὲ ἢ τὸ πλάτος ἢ ταπεινότερον ἐγειρομένης. καλείσθω μακρός. ἕτερος δὲ πλατείας μὲν ἢ διαστολῆς, ταπεινῆς δὲ ἢ τὸ μῆκος βραχείας ὑποστάσης, καλείσθω πλατύς. τρίτος ἱκανῶς εἰς ὕψος ἐπαιρομένης, σχήσεως δὲ ἢ τὸ μῆκος βραχείας ἢ μῆκος ἀνάμεσον ὄν, ὑψηλὸς λεγέσθω. ἐν τούτοις πρόσθες μὴ ἐπεὶ οὖν κατὰ μίαν διάστασιν λεγομένης, μὴ σωρευομένων τῶν λοιπῶν διοίσει. ἀπεπλανήθη δὲ καὶ περὶ τοῦτο τῶν τρεῖς διαστάσεις νενομικότων γράφων. τὸν μὲν γὰρ πρῶτον αὐτῶν οὐ μακρὸν μόνον, ἀλλὰ καὶ σχῆμα καὶ ταπεινὸν πεποίηκεν, οὐ τῇ νοήσει μόνον, ἀλλὰ καὶ αὐτοῖς τοῖς ὀνόμασι. τί γάρ φησι κατὰ μῆκος ἢ ἀρτηρίας διϊσαμένης ἐφ' ἱκανόν, σχηματιζομένης ἢ κατὰ πλάτος. καὶ ταπεινότερον ἐγειρομένης, τὸν μὲν σχῆμα σφυγμὸν δηλοῖ. τὸ δὲ καὶ ταπεινότερον ἐγειρομένης τὸν ταπεινόν. πάλιν δ' αὖ τὸν δεύτερον, οὐ πλατὺν μόνον, ἀλλὰ καὶ ταπεινόν, καὶ βραχὺν ἐποίησεν, οὐ τῇ νοήσει μόνον, ἀλλὰ καὶ αὐτῷ τῷ λέξει. καὶ τὸν τρίτον δὲ κατὰ τὰ αὐτά, οὐχ ὑψηλὸν μόνον, ἀλλὰ καὶ σχῆμα, καὶ βραχύ. εἰσὶ δὲ οἱ τρεῖς οὗτοι, τῶν κατὰ τὰς τρεῖς διαστάσεις ἅμα λεγομένων τῶν ἑπτὰ καὶ εἴκοσιν, οὓς ὑπὲρ τοῦ διαγράμματος ἐζεθέμεθα. γέγραπται δὲ ὁ μὲν πρῶτος ἐν τούτοις ἑρμηνεύων, ἐννατος ἐν τῷ διαγράμματι, τοῦ δὲ τρόπου, μακρός, σχῆμα, ταπεινός. ὁ δὲ δεύτερος ἐν τοῖς πρῶτος καὶ εἰκοστὸς ἐν τῷ διαγράμματι γέγραπται τὸν μὲν τρόπον, βραχύς, πλατύς, ταπεινός. ὁ δὲ τρίτος ἐν αὐτοῖς ὠήκοντος εἰκοστὸς δεύτερος ἐν τῷ διαγράμματι. γέγραπται δὲ οὕτως. βραχύς, σχῆμα, ὑψηλός. ἢ τοίνυν τὴν ἀρχὴν τοῦ περὶ αὐτῶν ἐκπαλαιέτω λόγου, ἐν ᾧ φησι κατὰ μέγεθος αὐτῶν θεωρεῖσθαι, ἢ τάς γε τοῦ μεγέθους διαστάσεις ἁπλῶς γραψάτω κατὰ μέγεθος, ἢ προσκειμένου τοῦ κατὰ τὰς τοῦ μεγέθους διαστάσεις, μηκέτι ἐκ τῶν κατὰ μέγεθος διαφορῶν αὐτῶν ἡγείσθω. τί γὰρ καὶ βούλεται, πότερα τῶν κατὰ τὰς τρεῖς ἅμα διαστάσεις, νομιζέτω ἐκπεφεύγειν αὐτόν, ἢ τῶν κατὰ μίαν μόνην. ἑκατέρως γὰρ ἄπορον, εἰ μὲν τῶν κατὰ τὰς τρεῖς ἀκόλουθον, ἅπαντας μὲν τοὺς ἐπὶ μίαν διάστασιν παραλελειμμένους ἐννέα τὸν ἀριθμὸν ὄντας, ἄλλως δ' ὀκτωκαίδεκα τῶν ἐπὶ τὰς τρεῖς ἅμα. ἐννέα γὰρ οὕτω φανεῖται μόνων μνημονεύων, δυοῖν μὲν τῶν πρώτων ῥηθέντων μεγάλου τε καὶ μικροῦ καὶ τοῦ μέσου αὐτῶν, τριῶν δὲ τῶν νῦν ῥηθέντων, καὶ τριῶν ἄλλων τῶν τοῖς ἐναντίοις, ὧν ἐξῆς μνημονεύει, καὶ πρὸς τοῖς ἑπτὰ μάτην προσκείσεται τῷ λόγῳ, τῷ κατὰ τὰς τοῦ μεγέθους διαστάσεις. ἤρκει γὰρ ἁπλῶς εἰπεῖν κατὰ μέγεθος. εἰ δ' αὖ πάλιν περὶ τῶν κατὰ μίαν διάστασιν νομίζων οἰήθειεν αὐτὸν ταῦτα γράφειν, πρῶτον μὲν ἄτοπον τὸ μεμνῆσθαι καὶ τῶν λοιπῶν διοίσειν καθ' ἕκαστον. ἔπειτα δὲ οὐκ ὀκτωκαίδεκα μόνας, ἀλλὰ τεσσαράκοντα καὶ εἴκοσι φανεῖται παραλελειμμένους τῶν ἐκ τοῦ διαγράμματος. καὶ τρίτον ὅτι μοχθηρῶς ἐρεῖ λέγειν κατὰ μέγεθος αὐτὸν θεωρεῖσθαι, δέον οὐ κατὰ μέγεθος, ἀλλὰ κατὰ τὰς διαστάσεις τοῦ μεγέθους εἰπεῖν, εἴγε ὡς αὐτὸς εἴρηκεν ὄγκος τίς ἐστι τὸ μέγεθος. οὐ μὴν τό γε μῆκος αὐτὸ καθ' ἑαυτὸ μόνον, ἀλλ' οὐδὲ τὸ βάθος, ἢ τὸ πλάτος ὄγκος ἐστίν, ἀλλ' ὥσπερ καὶ ὀνομάζεται διάστασις. οὐ ταυτὸν δὲ δὴ πᾶν ὄγκος τε καὶ ὄγκου διάστασις μία. ἑκατέρως μὲν δὴ σφάλλεται πάντως ὁ τοῦ Ἀρχιγένους λόγος, διὰ τὸ συγκεχυμένως τε καὶ ἀδιαιρέτως εἰρῆσθαι, μὴ οἷον ἐπαμφοτερίζειν τῇ νοήσει. κατά τι δὲ μᾶλλον ἠθέλησεν εἰπεῖν, εἰ χρὴ μαντεύσασθαι, τοῦτο καὶ πειράσομαι δηλῶσαι. ἐμοὶ μὲν οὖν κατὰ μίαν διάστασιν νομίζειν ὑπῆρξεν γράφειν. μὴ διὰ τί

τρον διυσῖν διαστάσεων, ὥστε τὴν ποσότητα, ἡ δὲ τὸ δύτρον φυλάττει. ταῦτα δὲ πάντα σφάλματα πέπονθεν ἐν τῇ τῶν ὀνομάτων ἀγνοίᾳ, διὰ τὸ πολὺ πρότερον ἐν αὐτοῖς τοῖς πράγμασιν ὀφθαλμιᾶν. φαίνεται γὰρ οὔτε τῇ διαιρετικῇ μεθόδῳ κεχρημένος, οὔτε τῇ συνθετικῇ κατ' ἐπιβολήν τῶν διαστημάτων. κινδυνεύω δ' εἰπεῖν ὅτι τὸ τῶν πολλῶν ἐν τῇ λόγος ἀγυμνάστως πέπονθεν, ὥστε πολλάκις μὲν ἀδυνατεῖν τὸ τῆς φύσεως σύνθετον ἀναλύειν εἰς τὰ πρῶτά τε καὶ ἁπλᾶ, πολλάκις δὲ ἐπὶ μηδενὸς τούτων ἰδίᾳ τε καὶ καθ' ἑαυτὸ δύνασθαι τοῦ ἀρχεῖν, ἴσασθαί τε μὴ πάλιν συντιθέναι δυνατόν. ἀνάγκη δ' ἂν πάλιν ἐπιβαλεῖν τὸ σύνθετον ἀδιαφθόρως τῷ ἀδιαιρέτου ἔχειν τὴν διάστασιν, εἶτ' ἀναλύσαι μὴ δύνασθαι, εἶτ' ἀγνοῆσαι τὸ σύνθετον ἀνακάμπτειν, ὡς ἂν ἀκριβῶς τὴν φύσιν τῶν ἁπλῶν ἑκάστου δεδυνατότα διορίζεσθαι. καὶ τοῦτον τὸν διαυλον κάμπτοντά τε κυλινδούμενον ἐν τῷ μέσῳ τῶν ἄκρων διαπαντὸς ἐπαμφοτερίζειν τε ταῖς νοήσεσι, καὶ ταῖς ἐρημίαις ἐναντιολογίας ἐξ ἀνάγκης συνεχεῖν. χρὴ δ' οἶμαι τὸν γε διαλεκτικὸν ἱκανὴν ἔχειν, ὥστε τὸ προχειρισθὲν ἅπαν ὅταν ᾖ σύνθετον ἀναλύειν εἰς τὰ πρῶτα τε καὶ ἁπλᾶ κατ' ἐπίνοιαν, οὐχ ὡς ἰδίᾳ μόνα πρὸ ὑπάρξαντα, ἐξ ὧν γὰρ ἀμήχανον, ἀλλ' ὡς νοηθῆναι μόνα δυνάμενα, μὴ συνεπιβαλλόντων ἡμῶν ἐν τῷ νοεῖν αὐτὰ, μηδεμίᾳ διαφορᾷ τῶν ἐξ ἀνάγκης ἐζευγμένων. ὡς γὰρ σιμὸν ἄνθρωπον νοοῦμεν οὐχ ὑπὸν, οὐτε εἰ μέγας δεῖ ὁ ποιητὴς, οὔτε εἰ μικρὸς, οὔτε εἰ λοξὸς, οὔτ' εἰ μέλας, οὔτ' εἰ παχὺς, οὔτ' εἰ λεπτὸς δεόμενοι, ὅτως ὑπλόν τινα νοοῦμεν σφυγμὸν, ὃ δεόμενοι πως ἔχει μήκους, ἢ πλάτους εἰδέναι. ταῦτ' ἄρα καὶ οἱ φάσκοντες μηδ' ὅλως μακρὸν ἁπλῶς οὐκ οἴεσθαι σφυγμὸν, δεῖν γὰρ αὐτὸν ἐξ ἀνάγκης ἔχειν πως πλάτος τε καὶ βάθος. ἀγνοοῦσι δὲ τῶν πρώτων μαθημάτων, ἃ ἐγὼ αὐτὸς μεμαθηκότας, καὶ γεγυμνασμένους γε κατ' αὐτὰ πρὸς ἡμᾶς ἥκειν ὅτως. ἐκ γὰρ τοῦ μὴ δύνασθαι συνεῖναι τὸν μακρὸν ἰδίᾳ, μὴ δ' ὅλως δύνασθαι, φασὶν αὐτὸν ἰδίᾳ. μὴ τοίνυν μηδὲ σιμὸν ἄνθρωπον, μὴ δὲ γρυπὸν ἰδίᾳ νοεῖτωσαν, ἂν μὴ μάθωσιν ἅπαντ' αὐτοῦ τἄλλα, πότερον μέγας, ἢ μικρὸς δεῖ, ἢ ταχὺς, ἢ λεπτὸς, ἢ μέλας, ἢ λευκὸς, ἢ ἕλλω, ἢ βάρβαρος, ἢ πονηρὸς, ἢ ἀγαθὸς, ἢ ὑγιαίνων, ἢ νοσῶν, ἢ νέος, ἢ πρεσβύτης. πῶς δ' ἐκ ἄκοπον, μακρὸν μὴν τινα καὶ ὑπηλὸν καὶ πλατὺν ἅμα νοεῖν ὁμολογεῖν, καὶ καλεῖν δ' ἑνὸς ὀνόματος μέγαν, μακρὸν ἢ μὴ δύνασθαι φάσκειν νοεῖν ἰδίᾳ καὶ μόνον, ὥσπερ ὁ τὴν αὐτὴν ἀναλογίαν ἔχοντος καὶ τὸ μεγάλος πρὸς τὸν ὅλον σφυγμὸν, ἣν πρὸ ὁ μακρὸς πρὸς τὸν μέγαν. ὡς γὰρ μακρὸς ἰδίᾳ καὶ μόνας. οὐδεὶς δεῖται αὐτοῦ τοῦ πῶς ἔχειν βάθος τε καὶ πλάτος οὕτως οὐδὲ μέγας σφυγμὸς δεῖ τὸ ταχὺς, ἢ βραδὺς ἢ σφοδρὸς ἢ ἀμυδρὸς ὑπάρχειν, ἢ τινα τῶν ἄλλων ἔχειν διαφορῶν. ἀλλ' ὅσ' ἐκ μετὰ πασῶν τῶν διαφορῶν νόησας κινεῖν τὴν ἀρτηρίαν, ἰδίᾳ δύνασαι ποτὲ γνῶναι κινουμένην. τὸ γὰρ ἐξωθεν ἀρτηρίαν ἔξω τοῦ σώματος ἐπισφύζουσαν; ἀνάγκη τοίνυν αὐτὴν ἐν τῷ ὅλῳ σώματι οὖσαν ὑπηκοῦσθαι μέν τινι ῥεύματι, καὶ ὅσον ἔστιν ποιόν, καὶ ποσόν, ὑποκεῖσθαι δὲ φλέβι, καὶ τούτῳ ἔστιν καὶ ποιᾷ καὶ ποσῇ. πεφυκέναι δ' αὐτὴν σώματα πολλά. κἀ πάντα τὰ ὑπὸ τοῦ ἐξωθεν ἀρξάμενον δύνασθαι λέγειν, ὧν χωρὶς οὐχ οἷόν τε εἶναι τὸν σφυγμόν. ἀλλ' οἶμαι νῦν ἔχων ἄνθρωπος, ἐὰν ὑπακούσῃ τοῦ ταῦτα λέγοντος, ἐρήσεταί τινα τῶν πρόσθεν, ἆρά γε παίζων, ἢ μανόμενος τὰ τοιαῦτα λήρει. πῶς γὰρ ὀδωλύγιον ὄντως κἠ μακρὰ φλυαρία, τὰ χωρὶς ἕτερον ὑπάρχειν μὴ δύνασθαι, μήδ' ὑπονοεῖσθαι, χωρὶς ἐκείνων ὁμολογεῖν. ὅτι μὲν οὖν ἀνόητον τοῦ πῶς ἔχειν βάθος, καὶ πλάτος οὐ δύνασθαι μακρὸς εἶναι σφυγμὸς, οὐδεὶς ἀντιλέγει. ἀλλ' οὐ δοκεῖ μοι τὸ ζητούμενον, ἀλλ' εἰ μὴ δὲ νοεῖσθαι χωρὶς ἐκείνων δύνασται. δοκεῖ γὰρ εἴπερ λέγοι, λελῆθέν ἑαυτὸν ἀπάσας μὲν ἀνατρέπων τὰς τέχνας, ἁπασῶν δὲ τὴν ἐν τῷ βίῳ χρείαν τῶν ὀνομάτων. πῶς γὰρ ἡμῶν ποτε τὴν θραπευτικὴν τέχνην ἐμαθε πλουσικὸς Δίωνος, οὐδ' εἰς. οὐ μὴν οὐδὲ ἁπλῶς ἀνθρώπε πλουσίου, ἀλλ' ἐν ταῖς ἰδιώταις τε καὶ γυναιξὶ ταῖς νοήσεσι τέχναι συνίστανται, πρῶτον μὲν κατ' αὐτὸ τὸ πάθος ἰδίᾳ διορισμῶν πραληφθέντων. ἤτοι γὰρ πρὸς κλεῖν τὴν ὀδύνην, ἢ εἰς ὑποχόνδριον ἐνόσησεν τελευτῶσαν, ἢ οὐδαμῶς Δίωνα ἐνταῦθα ἢ Θέωνα συνεπινοεῖται. εἶτα δὲ τὰ προηγούμενα καὶ τὰ συμπίπτοντα, πληθωρικὸς δεῖ ὁ πλουσίου ἢ τἀναντίον ἐνδεὴς ἔχων χυμῶν, δύχυμος, ἢ κακόχυμος. ἔστω ἑκάτερα, ἆρά γε νῦν, ἢ πάλαι. εἰ πάλαι, πότερ' ἐκ διάπυης ἢ φύσει. εἰ δὲ καὶ πάλιν ἐνταῦθα Δίωνα ἢ Θέωνα, ἀλλ' ὅταν πρὸς κράσεως τοῦ νοσοῦντος ὁ λόγος ἡμῖν ᾖ Δίωνος ἢ Θέωνος ἀνάγκη μνημονεύειν, ἢ ὅλως ὑπονοεῖν, ἢ δεῖσθαι τῆς γεωμετρίας δ' ὅπως ἀπόλυται τί δεῖ καὶ λέγειν, ἐὰν τις μήτε γραμμὴν φῇ νοεῖν, μήτ' ὑπάρχειν, ὅτι χωρὶς στερεοῦ σώματος ἀδύνατον ὑπάρχειν αὐτῆς. τί δὲ τὰ ἐξ ἀρχῆς τὸν βίον σύμπαντα, τὰ χωρὶς ἀλλήλων ἔστιν μὴ δύνασθαι, ὡδὶ οὐκ ἄν τις ἄκοπα εἴη μὴ δὲ νοεῖσθαι ἐξ ἀρχῆς μόνας συγχωρῶν. ἀλλὰ τὴν μὲν τοιαύτην ἀγροικίαν οὐκ ἄν ποθ' ὑπέμεινεν ὁ Ἀρχιγένης. φάνεται γὰρ αὐτὸς τἀναντίον ἀεὶ δρῶν ἀναλύων ἕνεκεν εἰς τὰ πρῶτα τε καὶ ἁπλᾶ. σφάλλεται δὲ τοῦ σκοποῦ διαμαρτάνει πολλάκις ἄκων, ὑπὸ ἀγυμνασίας ἐμοὶ δοκεῖ. φησὶ γὰρ ἐπ' αὐτοῦ τοῦ νῦν προκειμένου, σαφῶς ὁ λέγω τεκμήρασθαι. συνεχῶν γάρ φησι πολλάκις διυσῖν διαστάσεων, ὥσθ' ἅμα βραχὺν ὑπάρχειν ἔστιν. ἡμεῖς δὲ τότε κατὰ σὺν δυνοσημένοις, τοῖς μὲν ἓν, ὅπερ τοῦτο κατὰ τὰς τρεῖς διαστάσεις νοσημένοις ἑπτὰ καὶ εἴκοσιν ὄντας, οὐκ ἐῶ διαλαβεῖν πρὸ τοῦ ἕκαστον ἑκάστῳ τῶν διαστάσεων ἰδίᾳ νοεῖν ἐθίσαι, ποτὲ μὲν αὐξανομένῳ, ποτὲ δὲ μειουμένῳ, ποτὲ δὲ σύμμετρόν τε, καὶ τῷ ἓν φύσιν διαμένουσαν, καὶ προσέτι διὰ τὸ πολλὰ δύνασθαι διαγινώσκειν ἡμᾶς ἀπὸ μιᾶς διαστάσεως. ὡς γὰρ ὁ μέγας σφυγμὸς ἴδιόν τι ὑπέφυκεν ἐν τῷ πλείονι διαστήματι, οὕτω καὶ ὁ ὑπηλὸς αὐτὸς καθ' ἑαυτὸν, οὐ συνεπινοούμενος αὐτῷ τῶν ἄλλων διαστάσεων. οἱ δὲ κατὰ δύο διαστάσεις, οὔτε πρὸς τὴν τῶν ἓν τὰς τρεῖς ἅμα νοουμένῳ ἔχουσί τι χρήσιμον, ἐκπεπτώκασί τε τῆς διαιρετικῆς μεθόδου, διὰ τοῦτο τῆς διδασκαλίας ἀτέχνως ματαιβουλοῦσιν ὁ εἰσαγόμενος, ὥσπερ εἰ καὶ οὕτως τις ἐδίδασκε σφυγμὸν εἶναι, λέγων τὸν μὲν τινα μέγαν ἅμα καὶ ταχὺν, ἄλλον δὲ μέγαν ἅμα σφοδρὸν, ἄλλον ταχὺν σφοδρὸν, καὶ οὕτω κατὰ σὺν δύο πρὸς ἓν, δυνάμενος, ὅπερ οὐδ' αὐτὸς ὁ Ἀρχιγένης ἐπόησεν. ὡς ἂν ἀτεχνόν τε καὶ ἀμεθοδὸν ἱκανῶς ἡμῖν ἄρχηθεν. τό τε γὰρ διὰ πασῶν τῶν διαστάσεων

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 34 sur 494

φορῶν σύνθετον καὶ νοεῖν ἠβουλόμεθα, καὶ ἡ τέχνη ζητεῖ γνῶναι, πρὸς τὸ τὴν ὅλην εἰδέναι τοῦ προκειμένου πρά-
γματος τὴν φύσιν, τότ' εἰ τὰς ἁπλὰς ἀναγόμενον διαφορὰς. ἄνευ γὰρ τούτου, τὸ σύνθετον οὐχ οἷόν τε διηκρι-
βωμένως ἐκμαθεῖν. τὸ δὲ μήτε τὴν ὅλην τοῦ πράγματος φύσιν εἰς ἣν συλλαμβάνειν, μήτ' ὐδὲ μίας καὶ ἁπλῆς
καταμένειν διαφορᾶς ἄτεχνόν τε καὶ ἀμέθοδον, καὶ ἄχρηστον. διὰ τοῦθ' ἡμεῖς πρῶτον μὲν τὴν ὅλην φύσιν τῶν
σφυγμῶν ἀνελύσαμεν εἰς τὰς συντεθείσας αὐτὴν διαφορὰς, τὴν μέν τινα κατὰ τὸ ποσὸν τῆς διαστολῆς ὀνομά-
σαντες, τῆς δὲ κατὰ τὸ ποιὸν τῆς πληγῆς. ἄλλην δὲ κατὰ τὸ τοῦ χιτῶνος ποιὸν, καὶ τὰς ἄλλας τὰς ἑξῆς εἰρημένας. εἶτ'
ἐν αὐταῖς ταύταις πάλιν ἐζητήσαμεν ἁπλὰς νοήσεις, ἵν' ὃν ἔχει λόγον ἡ κατὰ τὸ ποσὸν τῆς διαστολῆς διαφορὰ
πρὸς τῆς ὅλην τοῦ σφυγμοῦ φύσιν τῆς ἐκ πάντων συγκειμένην, οὕτως ἡμῖν εὑρεθῇ τι παραπλησίως ἔχων ἄλλο πρὸς
αὐτὴν ταύτην. ὡς γὰρ ἔστι τὸ γένος συμπληρωτικὸν ὄντι τῆς ὅλης τοῦ σφυγμοῦ φύσεως, οὕτως αὐτὸ πάλιν ἔστι τῶν
διαστάσεων ἑκάστην συμπληροῖ. σὺν δύο δὲ διαστάσεις ἅμα νοεῖν, οὐδ' ὡς πρὸς τὴν τοῦ ὅλου σφυγμοῦ συμπλή-
ρωσιν ἀναγκαῖον, οὐδ' ὡς πρὸς μίαν τὴν κατὰ τὸ ποσὸν τῆς διαστολῆς. διὰ ἔστι περιττὸς ὁ περὶ αὐτῶν λόγος, καὶ κα-
λῶς μὲν ὑφ' ἡμῶν ἑκόντων παρελήφθη. κακῶς δ' ὁ Ἀρχιγένης οἷον ἐσπάραξεν αὐτὸν καὶ μόνας ἓξ εἰπὼν συζυγίας,
τὰς ἄλλας μίαν οὔσας καὶ εἴκοσι παρέλιπεν. ἁπάσας γὰρ δεῖ τὰς διαφορὰς ἑκάστης τῶν διαστάσεων, ἁπάσαις ταῖς
διαφοραῖς τῶν ἄλλων ζευχθῆναι. ὥστε γενέσθαι καθ' ἑκάστην δυοῖν διαστάσεων σύζευξιν ἐννέα διαφορῶν. τὰς
πάσας δ' ἑπτὰ καὶ εἴκοσι. παραγράψω δὲ μίαν, ἑξῆς καὶ περὶ τῶν λοιπῶν ἐνέστι μαθεῖν.

α̅	μακρὸς	πλατὺς	β̅	μακρὸς	σύμμετρος	γ̅	μακρὸς	στενὸς
δ̅	πλατὺς	σύμμετρος	ε̅	σύμμετρος	σύμμετρος	ϛ̅	στενὸς	σύμμετρος
ζ̅	βραχὺς	πλατὺς	η̅	βραχὺς	σύμμετρος	θ̅	βραχὺς	στενὸς

ἐν τούτῳ μὲν οὖν τῷ διαγράμματι τὰς κατὰ τὸ μῆκος τρεῖς διαφορὰς, ταῖς κατὰ τὸ πλάτος τρισὶ συμπλέξαντες,
ἐννέα συζυγίας ἐποιήσαμεν. ἕτερον δ' αὖ διάγραμμα κατὰ τὸν αὐτὸν γένοιτο τρόπον ταῖς τοῦ μήκους τρισὶ δια-
φοραῖς, τὰς τοῦ βάθους τρεῖς ἔχον ἐζευγμένας, καὶ ἄλλο τρίτον ἐν ᾧ ταῖς τοῦ βάθους τρισὶν, αἱ τοῦ πλάτους τρεῖς
συμπλακήσονται. καὶ πρόδηλον, ὡς καθ' ἕκαστον αὐτῶν ἐννέα γενήσονται συζυγίαι. ὥστ' εἶναι τὰς πάσας ἑπτὰ καὶ
εἴκοσι. δῆλον οὖν ἤδη γέγονεν, ὡς καὶ τούτων τῶν κατὰ σὺν δύο νοουμένων παμπόλλους πρῆκεν ὁ Ἀρχιγένης, ὥσπερ
καὶ τῶν ἄλλων. ἡμεῖς δὲ τούτους μὲν παρήκαμεν δι' ἃς εἴπομεν αἰτίας. ἐγράψαμεν δὲ τάς τε κατὰ μίαν διάστασιν
νοουμένας ἐννέα τὸν ἀριθμὸν ὄντας, καὶ ἔστι κατὰ τὰς τρεῖς ἅμα ἔστι ἐν τῷ διαγράμματι ἔστι ἑπτὰ καὶ εἴκοσιν. ἁ-
πάντων δὲ τούτων κοινὸν γένος ἐποιήσαμεν, οὐ τὸ μέγεθος, ἀλλὰ τὸ ποσὸν τῆς διαστολῆς, δηλοῦμέν τε τῶν κατὰ
ἔστι σφυγμοὺς διαφορῶν, τὰς μὲν ὀνόματι, τὰς δὲ λόγοις. οὔτε γὰρ ἔχουσιν ὀνόματα πᾶσαι, καὶ νομοθετεῖν καινὰ πε-
ριττὸν ἡγούμεθα, μηδέν γε δὴ χεῖρον τῶν λόγων δηλοῦν δυναμένων. ἐμοὶ μὲν γὰρ δοκοῦσι μὴ πολὺ χεῖρον, ἀλλὰ καὶ
πολὺ βέλτιον τῶν ὀνομάτων διδάσκειν οἱ λόγοι. τά τε γὰρ ἄλλα καὶ τὰς πλείστας τῶν διαφορῶν τέμνουσιν εἰς
ἄλλας πλείους, καθάπερ εἰρήκαμεν ὐδὲ τοῦ μεγάλου σφυγμοῦ. τούτου γὰρ αὐτοῦ πάλιν ἓξ διαφορᾶς ὄντι καὶ νοῆσαι
καὶ λόγῳ διερμηνεῦσαι, τὸν μέν τινα μέγιστον ἐν αὐταῖς νοήσαντα, καὶ καλέσαντα τὸν πλεῖστον ἀπέχοντα τοῦ
συμμέτρου, τόν δ' ἁπλῶς μέγαν, τὸν μεταξὺ τοῦ μεγίστου καὶ τοῦ συμμέτρου. μεταξὺ δ' ἑκατέρων ἄλλας θεῖναι
δύο διαφορὰς ἐγχωρεῖ, τὴν μὲν λόγω μείζονα τοῦ συμμέτρου, τὴν δ' ἀπελειπομένην ὀλίγω τοῦ μεγίστου. τὸ δ' οὕ-
τως τέμνειν ὅτι μὲν ὄντιν εἰς τὰς προγνώσεις χρησιμώτατον, ἅπαντι δῆλον, ὅτῳ καὶ μικρὸν ἐμέλησε τῶν ἔργων
τῆς τέχνης. καὶ γὰρ ὐδὲ θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ καὶ πάντων ἁπλῶς τῶν κατὰ τὴν τέχνην τὸ διαιρεῖν ὐδὲ
σμικρότατα δύνασθαι, καὶ ταῖς κατ' ὀλίγον ὑπεροχαῖς πειρᾶσθαι παρακολουθεῖν, ἀνδρός ὄντιν, ἄλλως τε συνετοῦ
καὶ προσέτι γεγυμνασμένου κατὰ τὰ ἔργα, καὶ περὶ παντὸς ποιουμένου τὸ στοχαστικὸν τῆς τέχνης εἰς στενὸν ὡς ἐνὶ μά-
λιστα συγκλείειν. οὐ μὴν ἔν γε ταῖς ἀρχαῖς τῆς διδασκαλίας τμητέον οὕτως. τοῖς μὲν γὰρ ἀσυνέτοις τῶν μανθανόν-
των ταραχὴν οὐκ ὀλίγον παρέξει, τοῖς δὲ συνετοῖς εἷς ἐκ τῶν εἰρημένων ὑπονοηθήσεται. διὰ ἔστι οὐδὲ ἡμεῖς ἐμνημο-
νεύσαμεν αὐτῶν ἐν τῷ πρώτῳ τῶν ὑπομνημάτων, ἀλλ' οὐδὲ νῦν ἂν εἴπομεν, εἰ μὴ πᾶν τὸ πλῆθος τῶν κατὰ τὸ πο-
σὸν ὀνομαζομένων τε καὶ νοουμένων σφυγμῶν ἠβουλήθημεν ἐνδείξασθαι. καὶ γὰρ τῶν κατὰ μίαν διάστασιν νοουμένων
τάσθ' ὑπερβολὰς καὶ τὰς ἐνδείας ἐξ ἀρχῆς τέμνειν δυνατὸν, ὥσπερ ὑπὸ τοῦ μεγάλου συνεδείξαμεν. ὁ γὰρ σύμ-
μετρος μόνος ἐν ἑκάστῳ τῶν γενῶν εἷς ὄντι καὶ ἄτμητος. οἱ δὲ ἄλλοι πλείστας τομὰς δέχεσθαι δύνανται, πρὸς μέν
γε τὴν φύσιν αὐτῶν ἀπείρους, κατὰ γὰρ τὸ μᾶλλον τε καὶ ἧττον ἐν παντὶ γένει τῷ δεξαμένῳ τὴν ὑπερβολὴν, καὶ ἔλ-
λειψιν ἀπείρας ἀναγκαῖον εἶναι τὰς διαφορὰς, οὐ μὴν πρός γε τὴν αἴσθησιν οὕτως ἔχει, ἀλλὰ παρὰ τὸ βέλτιον
ἢ χεῖρον αὐτοῦ ἠσκῆσθαι, τῇ μὲν καὶ τὰς παρὰ μικρὸν ἐνέσαι διαφορὰς γνωρίζειν, τῇ δὲ τὰς ἀξιολόγους μόνον. καὶ γὰρ
καὶ τὰς τῆς φωνῆς ὑπεροχὰς ὁ μὲν μουσικὸς οὐκ ἄχρι τόνου, καὶ ἡ μιτονίου μόνον, ἀλλὰ καὶ μέχρι διέσεως ἱκανῶς διο-
γινώσκει, ὁ δ' ἰδιώτης οὐδὲ δυοῖν τόνοιν ὑπεροχὴν ἀκούειν οἷός τε. καὶ γοῦν καὶ ἡμεῖς τό γε νῦν εἶναι τῆς ἡμετέραν αἴ-
σθησιν ἐξηγησάμεθα. παρακολουθοῦμεν γὰρ ἐν τῇ τοῦ συμμέτρου καθ' ἕκαστον γένος ὑπερβολῇ τε καὶ ἐνδείᾳ, διαφο-
ραῖς σφυγμῶν ἕξ. ἀλλ' ἀρκεῖ τοῖς εἰσαγομένοις τὰ μὲν πρῶτα μιᾶς ἑτέρας αἰσθάνεσθαι, καὶ χωρίζειν αὐτὰς δύνα-
σθαι τῆς συμμέτρου. χρόνῳ δ' ἂν οἶμαι τριβομένοις αὐτοῖς περὶ τὸ πρᾶγμα, πρῶτον μὲν ἴσως διχῇ τέμνειν αὐτὰς,
εἶτα δὲ καὶ τριχῇ, καὶ τετραχῇ περιέσται. ταῦτα πάντα μάλιστα μὲν ὑπὲρ τοῦ δεῖξαι πολλῶν σφυγμῶν ἐν γένος κοι-
νὸν, εἴρηται. χρήσιμα δ' ὄντι καὶ αὐτὰ καθ' ἑαυτὰ γινώσκεσθαι, καὶ ἡμεῖς τοῖς ἤδη προήκουσιν ἐν τοῖς μαθήμασιν τὰ
τοιαῦτα λέγομεν, ὧν πρὸς δὴ καὶ μόνων ὄντιν ἀκούσματα. ὅτι μὲν οὖν ὄντι τι γένος σφυγμῶν τῶν κατὰ τὸ ποσὸν τῆς
διαστολῆς συνιστάμενον, αὐτάρκως δέδεικται. ὅτι δὲ καὶ τῶν πρῶτον ὄντι γενῶν, οἶδα γὰρ καὶ τοῦτ' ἐπαγγειλάμε-
νος δείξειν, ὧδ' ἂν μάλιστα μάθοις, εἰ πειραθείης καθ' ἕκαστον τῶν ἄλλων γενῶν τῆς αὐτὴν ποιήσασθαι γυμνασίαν,

ἣν ὐδὲ

ἦν ὧδε τοῦτο νῦν ἐποιησάμεθα. ποιήσεις δὲ μάλιστα ὅτως, εἰ καθ' ἕκαστον αὐτῶν πρόχειρίζομεν⊙, ὥσκοπεῖς ἢ ποιόν γρύ⊙ ἀνωτάτω γὰρ ἔχεται συλλωα, τοῦτο τε τοῦ ἡπ| τὸ ποσὸν ϕ| διαστολῆς, ℭ τοῦ σωματ⊙ αὐτῷ πεπ|νομένου. φέρε γὰρ ἐπειδὴ ταχὺς τὶς ὅδε ℭ βραδὺς ℭ σύμμετρος ἐν τῇ κινήσει ϕ| ἀρτηρίας σφυγμὸς, κοινὸν γέν⊙ ὅδε τὸ ποῖον ϕ| κινήσεως, ὡς κἂν τοῖς πρόσθε διαγνώσεως σφυγμῶν ὠφελήσειν, σκεπτέον ἡμῖν ὅδε, τί ποτε κοινὸν γέν⊙ εὑρεῖν διωνησόμεθα ποιοῦντε ℭ ποσοῦ. μὴ διωνθρώπου γὰρ ἐν τοῖς πρώτοις γένεσι τάξομεν τό, τε ποσὸν ϕ| διαστολῆς καὶ τὸ ποιὸν ϕ| κινήσεως. ἀλλ' ἐπεὶ ℭ τὸ ποιὸν τοῦ σώματ⊙ ϕ| ἀρτηρίας ἄλλο γέν⊙ ἐστὶ σφυγμῶν, ἐν αὐτῷ γὰρ ὅτε μαλακὸς, ℭ ὁ σκληρὸς, καὶ ὁ σύμμετρ⊙ ἡπ| τῶν σύστασιν τοῦ χιτῶνος ϕ| ἀρτηρίας ἔσαν, ὥσκεπτέον αὖ πάλιν τὶ ℭ τούτων ὅδε κοινὸν γέν⊙, λέγω δὲ τοῦτο τε τοῦ νῦν εἰρημένου ℭ τοῦ ἡπ| τὸ ποσὸν ϕ| διαστολῆς. ἂν δὲ μηδὲν φαίνηται, τῷ πρώτῳ ἡμῖν καὶ αὐτὸ δεύτερον εἶπ. ὅτι δ' ἐν τῷ
10 πόδι τῶν τοιούτων σκοπεῖσθαι, γεγυμνάσθαι χρὴ διαγινώσκειν τὰς κατηγορίας, ἡγοῦμαι πρόσθεν ἱκανὸν εἶναι, ἵν' ὅταν ὑπὸ μίαν μὲν ἄμφω ἄγηται κατηγορίαν τὰ ζητούμενα, μὴ μέν τοι κοινὸν γέν⊙ τι ἐπ' αὐτοῖς ᾖ, μὴ παραπλώμεθα τῷ κοινῷ ϕ| κατηγορίας, ὡς τάς γε πλείστας τῶν ὀνομάτων τε καὶ διαλεκτικῶν, ὧν ἕνεκα κατηγορία κοινὴ, ℭ γέν⊙ ἐν τοῦτο κοινὸν εὑρήσεις νομίζοντας, ὡς ἂν μὴ διωνομίας διαιρεῖσθαι τὴν ὁμωνυμίαν. οὕτω γὰρ ἔχει καὶ τοῦ ἡπ| τὴν κίνησιν καὶ τὸ σῶμα ϕ| ἀρτηρίας ποιὸν κατηγορία μὲν ἡ τοῦ ποιοῦ κοινὴ κατ' ἀμφοῖν τοῖν γνωοῖν, οὐ μὴν καὶ γέν⊙ γε τὶ κοινὸν ἐπ' ἀμφοῖν. ὁμωνύμως γὰρ οὐ συνωνύμως ἄμφω ποιὰ λέγεται. οὐ γὰρ ἐν ταὐτὸν ὄφιν ἐν ἀμφοτέροις τὸ ποιὸν καθάπερ ἐν λευκῷ, ℭ μέλανι, ἢ ἐν ψυχρῷ, ἢ θερμῷ, ἀλλὰ κίνησις μὲν τὸ ποιὸν ἴδιον, καὶ γένος ἄλλο. τῷ δὲ σώματι ϕ| ἀρτηρίας ἴδιον, καὶ γένος ἄλλο. οὐ γὰρ ὄφιν ἐν ταὐτῷ γένει κίνησις τε καὶ σύστασις ἀρτηρίας σώματ⊙. ἀλλὰ ποδὶ μ̓ τούτων τάχ' ἂν ἐν τοῖς ἑξῆς ὕδιπλέον ῥηθείη, ποδὶ δὲ τοῦ ἡπ| τὸ ποσὸν γρύος τῶν σφυγμῶν ἤδη δ' ἅπλου ὅπως χρὴ σκοπεῖσθαι, πότερα τῶν πρώ-
20 των ὄφιν γενῶν, ἢ τῶν διυτόρων. τοῦ μὲν γὰρ κατά τε τὴν κίνησιν καὶ τὸ σῶμα ϕ| ἀρτηρίας φανερῶς ἕτερον ὑπάρχει. εἰ γε καὶ τὸ ποσὸν ἕτερον τοῦ ποιοῦ. ἆρα ταῦτα γε καὶ τοῦ ἡπ| τὸν τόνον, ἐν ᾧ σφοδροί τέ τινες ℭ ἀμυδροὶ γίνονται σφυγμοί. ℭ γὰρ οὗτοι ἡπ| τὸ ποιόν κατ' ϕ| πληγῆς, ἢ τοῦ ζωτικοῦ τόνου σωίσαντες. ℭ μὴν ℭ ῥυθμοῦ ℭ τοῦ ἡπ| τάξιν τε καὶ ἀταξίαν, ὁμαλότητα τε ℭ ἀνωμαλίαν. ὑπὸ γ' τὴν τοῦ πρός τι κατηγορίαν ἥρχεται ταῦτα σύμπαντα. λοιπὸν δ' ἂν εἴη πραβάλλειν αὐτὸ τῷ ἡπ| τὴν πυκνότητα ℭ ἀραιότητα γένει. φαίνεται γὰρ ὅδε ἡπ| τὸ ποσὸν τοῦ χρόνου ϕ| ἡσυχίας σωισάμενον. ἀλλὰ καὶ ταῦτα πάλιν ὑπὸ μὲν τὴν αὐτὴν κατηγορίαν ἀνάχθησεται. γένη δ' οὐ ταὐτὸν ἀμφοῖν γενήσεται. γένει γὰρ ὅλῳ διαφέρει τὸ ἐν διαστάσει σώματ⊙ ποσὸν, τοῦ ἡπ| χρόνου ποσοῦ, ℭ δ' ἁπλῶς ὡς οὐδὲν ἀνωτέρω γέν⊙ ἐν σφυγμοῖς ὄφιν τοῦ ἡπ| τὸ ποσὸν ϕ| διαστολῆς, ὥσπερ οὐδὲ τῶν ἄλλων τῶν εἰρημένων οὐδ' γνός. ὅσῳ δ' ἀκριβῶς τούτοις ἐπεῖναι βούλεται, γεγυμνάσθαι πρότερον αὐτὸν χρὴ ποδὶ τὰς κατηγορίας. τὸ γὰρ τοῦ Ἀρκεσιλάου καλὸν, ὡς οὐδεὶς πόκον εἰς γναφεῖον φέρει. τάξεις γάρ
30 ὄφιν ὥσπερ ἐρίων ἐργασίας, οὕτω καὶ μαθημάτων δ' ἀσκαλίας, καὶ οὐδεὶς οὔτ' ἀναγινώσκειν δ' ἀδίασκεπτα πρὶν πάσας ἐκμαθεῖν τὰς συλλαβὰς αὐτὰς, πρὶν ἅπαντα τὰ στοιχεῖα τ' φωνῆς, οὔτε τὰ σώφρονα παλαίσματα. πῶ τῶν ἁπλῶν καὶ ῥᾳδίων, οὐδὲ ταῦτα, πρὶν τριῴαθαι καλῶς, οὐδὲ ὅσα, πρὶν ἀλείφαθαι γυμνασικῶς, ἀλλ' ἕκαστον αὐτῶν τὸ μὲν πρῶτον, τὸ δὲ διύτορον, τὸ δὲ τρίτον ὅδε, ϕ| ἁπάσαις ταῖς τέχναις. οὕτω δὴ καὶ τοῖς ἡπ| τὴν διαλεκτικὴν, οὐκ ϕ|δέχεται τινὰ πρὶν ϕ| τοῖς πρώτοις καὶ οἷον στοιχείοις γυμνάζεσθαι, ταῖς τῶν ἑξῆς ἀποδείξεσιν ἕπεσθαι. ποδὶ μ̓ τούτων εἰς γε τὸ παρὸν ἱκανὰ καὶ ταῦτα. λοιπὸν δ' ἂν εἴη ποδὶ τὸ ϕ| διαφορᾶς ὄνομα⊙ εἰπεῖν, πρῶτον μὲν ὅτι μὴ κῳνόμεθα ἡμεῖς ποδὶ τόνομα, δ' εἰρόμεν. ἔπειτα δὲ καὶ οἷον τὶ δ' ἡλοῖ παρὰ τοῖς ἕλλησιν ὀζηγησόμεθα. τοῦ μὲν δὴ μὴ καινοτομεῖν, πρῶτ⊙ Ἀρχιγένης μάρτυς, ὡδ' πως γράφων, κατὰ τὴν ἀρχὴν τοῦ ποδὶ τάξεως τε καὶ ἀταξίας, ὁμαλότητ⊙ τε καὶ ἀνωμαλίας γένος. Ἡρόφιλ⊙ κατὰ γένος τὰς ἄλλας διαφορὰς τῶν σφυγμῶν ἐνθεμενος οὗτος. μέγεθ⊙, τάχος, σφοδρότης, ῥυθμὸς, ἀσυ-
40 ζύγως κατ' εἶδ⊙ τάξεως ἐμνήσθη καὶ ἀταξίας, ὁμαλότητ⊙ τε καὶ ἀνωμαλίας. ἐν ταύτῃ τῇ λέξει ὡφελῶς ὁ Ἀρχιγένης οὐ μόνον ὅτι διαφορὰς ποδὶ οὓς σφυγμοὺς εἰσιν, ἀλλὰ καὶ ὡς αἱ μέν τινες αὐτῶν κατὰ γένος, αἱ δὲ κατ' εἶδ⊙ ἐμνημόνευσεν. οὐ μόνον δὲ κατὰ τὴν ἀρχὴν τοῦτ' ἐποίησεν, ἐπελάθ⊙ δὲ ἐν τῷ μετὰ ταῦτα λόγῳ πάντ'. μυριάκις γὰρ μνημονεύει τοῦ τε ϕ| διαφορᾶς ὀνόματ⊙, τοῦ τε τῶν γνῶν, καὶ εἰδῶν ὀρθότατα φρονῶν καὶ γινώσκων, ὅτι τῶν διαφορῶν αἱ μέν τινες εἰσὶ γενικαὶ, αἱ δὲ εἰδικαὶ, καὶ αὐτῶν γε τούτων αἱ μὲν γενικώτεραι, αἱ δὲ εἰδικώτεραι. ὀλίγας οὖν πραγράψομεν ῥήσεις αὐτοῦ εἰς ἀπόδειξιν τοῦ προκειμένου, πρῶτον μὲν ταύτῃ ἐκ τοῦ αὐτοῦ λόγου ποδὶ τάξεως καὶ ἀταξίας. οἱ μέν γε τὴν ὁμαλότητα ὧδὶ τινων διαφορῶν ἤκουον μόνων. ἐγὼ δ' ὧν πασῶν ἐφ' ὅσων καὶ τὴν τάξιν. εἶθ' ἑξῆς. ἀνωμαλία μὲν ἀνισότης σφυγμῶν κατά τινα τῶν παρειλημμένων αὐτῇ διαφορῶν. ἀταξία δὲ ἀσυσσασία χρονικὴ κατά τινα τῶν τοῦ σφυγμοῦ διαφορῶν. ἐν ταύτῃ μὲν γε τῇ ῥήσει δὶς ἐγραψε τὸ τ' διαφορᾶς ὄνομα. εἶτα μετ' ὀλίγου. οὐδὲ εἰρήκασιν οὐδ' ὧδε τόνου, εἴγε δεῖ
50 τὸν κατὰ πᾶσαν διαφορὰν ἴσην ὁμαλὸν λέγειν. ἆδιος δ' ἐφεξῆς. καὶ ὁ μὴ καθάπερ τεταγμένος, οὕτω καθ' ἡμᾶς ἔσαι ἴσος μεγέθει, σφοδρότητι, τάχει, ῥυθμῷ, ℭ εἴ τινι ἄλλῃ τοιαύτῃ διαφορᾷ σχέσιν ἔχων θεωρεῖται κατὰ πάσας. πρὸς ὃ δὲ ὁ κατὰ μίαν τινὰ τούτων διαφορὰν ἐν σχέσει θεωρούμενος, ἢ κατὰ δύο, ἢ κατὰ πλείονας. ἐν ταύτῃ γὰρ πάλιν τῇ ῥήσει δὶς ἐμνημόνευσε τοῦ ϕ| διαφορᾶς ὀνόματος. σωφελῆσαι δ' αὐτῇ τὸν ἑξῆς λόγον, πρῶτον μ̓ οὕτως ἐρεῖ. ἡ μ̓ γὰρ καθάπαξ καὶ ἀρχεκακίᾳ πασῶν τῶν διαφορῶν ὄφιν ἰσότης. ποτὲ δὲ οὕτως. καὶ ἀνώμαλον μ̓ σφυγμὸν τὸν καθάπαξ ἐν κατὰ μίαν διαφορὰν ἄνισον λεγόμενον. ποτὲ δ' οὕτως. ἐὰν ὅτε δὲ τὰ μὲν ἄλλα διὰ τριῶν, ὡς εἶπον, ἀναλογεῖ. ἡ σφοδρότης δὲ ὡς ἂν ἀμφιμερινὸς ὄφιν ὁμαλὴς οὖσα καὶ ἴση ἐφεξῆς, ἢ ἄλλη τις τῶν λοιπῶν διαφορῶν, ἢ ἄλλη. τοῦτο δὲ σωάπαξ τὸν ἑξῆς λόγον ἐρεῖ. ἀναλογούντων τῶν σφυγμῶν ὁμοῦ τε πάσαις ταῖς διαφοραῖς ℭ τινὶ ἢ τισὶν. ἐὰν ἐφεξῆς. ἐὰν ὅτε δὲ τὰ μὲν ἄλλα πάντα τε τα-

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 36 sur 494

» γμένα ὀξύν, ἢ νὴ Δί' ὁμαλά. μία δ' ἐς ἅπας διαφορά. οἷον τὸ μέγεθος, ἢ δύο, ἢ πλείους, ἄτακτοι τελέως εἰσίν. εἶτα ἐπὶ
» τῇ τελευτῇ τοῦ λόγου. νοεῖσθαι γὰρ δεῖ φησὶν ἃ ἔφλιπε πρὸ τάχους καὶ βραδυτῆτος ὧν πάσης ἄλλης διαφορᾶς
» σφυγμῶν. τοσαῦτα μὲν ἐκ τούτου τοῦ λόγου προαγεγράφθω. τί γὰρ ἄν τις πλείονων μνημονεύοι. μεταβῶμεν δὲ αὖθις
» ἐφ' ἕτερον κατὰ τὸν μὴ δηλοῦν ὀφθαλμὸν ἑνὸς τόπου μαρτυρίας λαμβάνειν. προαγράψωμεν οὖν ῥήσεις ἐκ τῶν ἑξῆς, καὶ
» πάλιν ἐκ τῶν ἐμπροσθεν. ἑξῆς μὲν οὖν ὀρθὴ πρόγραμμα ποιῆσον. τίς ἡ καθ' ὧν σφυγμὸν ἀνωμαλία. γράφει δ' ὀλίγον
βεως μετὰ τὴν ἀρχὴν τοῦ λόγου τόνδε τὸν πρόπον. εἰσὶ δ' αὖ πλείους διαφοραὶ, καθ' ἃς διηλλοιοπ σφυ-
» γμὸν ἀνωμαλίας. εἰθ' ἑξῆς. τὰ πολλὰ δὲ τούτων ταῖς διαφοραῖς, καὶ ταῖς κατὰ μέγεθος συμπερχεσιν ἀνωμα-
» λίαις, καὶ πάλιν ἐφεξῆς. ἄλλη δ' ὀλίγη διαφορὰ κατὰ μέγεθος ἀνωμαλία ἑνὸς σφυγμοῦ. ταῦτα μὲν ἐκ τούτου τοῦ
» λόγου λαβεῖν ὀρθόν. προπροαγράψωμεν δ' αὐτοῖς ἔτ' ὀλίγα τῶν ὀλίγων κατ' ἀρχὰς ἐρημένων τοῦ βιβλίου. μία μὲν
» οὖν ῥῆσις ἐν τῷ πρὸς σφοδρότητα σφυγμοῦ λόγῳ τοιαύτη τις. ἔστι δὲ κατὰ τὸν σφοδρότητα τοιαύτας καὶ ἄλ- 10
λαις ἐντυγχάνειν διαφορᾶς. ἑτέραν ἡ τάυτῃ ἀμυδρὸν σφυγμὸν διαφερὰν θείη τις ἄν. κατὰ ἑξῆς ἄλλην. εἶθ' ὅταν
ἔκλυτον μὲν ἀλλ' οἷον προαπεποδισμένον, καὶ ἔσω ῥέπον τὸ βάρος ἔχοντα προποδισμένῃ, καὶ δεδυκυῖα διαφο-
ρὰ, κατὰ σφοδρότητα αὖ ἔτι σφυγμὸν ἑξῆς δ' ἐν τῷ πρὸς πληρότητα λόγῳ, ποτὲ μὲν οὕτως γράφει, πλήθη δ-
» σότων διαφορῶν, ποτὲ δ' οὕτως. ἡ διαφορὰ μόνον πρὸς τὸν διανενεγμένον ψιλῶς θεωρεῖσθω. πάλιν δ' ἐν τῷ
πρὸς πυκνότητα καὶ τάχος ὡδίπως γράφει. ὀλίγοι δὲ τινὸν, ἐμφαίνεσι σαινόμενοι διαφορὰς, καὶ κατὰ τὸ τε-
λευταῖον τοῦ παντὸς λόγου. τάχους πρὸς καὶ πυκνότητος διαφορὰν αὖ τινα. πάλιν δ' ἐν τῷ τὸν τῆς ὁ δ' ἴσου, καὶ ὁ δὲ
ἴσος σφυγμός. ἐκ τούτου ἡ ἰδία τῆς διαφορᾶς σφυγμοῦ αὖτη. ἀλλ' ἐν εἰδεῖ κεῖται ἢ ῥυθμῷ, ἢ τάξεως. ἅλις ἤδη γε διά-
φορᾶς, μή πως λάθωμεν εἰς ἐκφορὰν ἐκπεσόντες. εἰ γάρ τις βούλεται τὸν περὶ σφυγμῶν βιβλίον ὅλον ἀνατινώ-
σκειν τοῦ Ἀρχιγένους, ἄλλο βιβλίον ἐξ αὐτοῦ πληρῶσαι δυνήσεται τοῦ κατὰ διαφορᾶς ὀνόματος. νῦν μὲν γὰρ ἡμεῖς οὐδ' ἐκ τοῦ τρίτου μέρους ἐξελέξαμεν ταῦτα. καὶ πολλὰς προαγράψαμεν ῥήσεις, οὐχ οὕτως ἕνεκα τοῦ τῆς 20
διαφορᾶς ὀνόματος ἀποδιάσαντος, ἀλλ' ἵν' ὧδε διέξωμεν τὸ σημαινόμενον πολυειδὲς ὄν. οὐ γὰρ τὰ γένη πολ
λάκις διαφορὰς κέκληκε, τά τε πρῶτα, καὶ τὰ εἴδη τῶν γενῶν, οὐδὲν ἧττον. καὶ ὅσα δὲ μήτε γέ
νη, μήτ' εἴδη τέτακται ὄντα. διαφορὰς δ' αὐτὸ ὅσον μόνον, οὐ τάυτας διαφορὰς κέκληκεν, ὧν ᾧ καὶ ἡ προαιρεῖ τῶν
ψευδοδιαλεκτικῶν ὄντι. τοῦ γὰρ καθ διαφορᾶς ὀνόματος πρά τε τοῖς ἄλλοις ἕλλησιν ἅπασι, καὶ πρὸς τοῖς πα-
λαιοῖς φιλοσόφοις, οὐ τῶν τριῶν τούτων ὧν εἴπομεν αἱρῆ λεγομένης, οὐ μὲν τῶν γενῶν, καὶ τῶν εἰδῶν κοινότερον,
κατὰ δὲ τὸν μὲν ἐν ταῖς διαιρέσεσιν εὑρισκομένων, ὄντων οὐ μήτ' εἰδῶν μήτε γενῶν ἰδικώτερον, ὅσον μόνον
τὸ σημαινόμενον ἐμνημόνευσαν, τοῦ κοινοῦ παντάπασιν ὠλαθόμενοι, ἀλλ' ὑπὸ τῆς ἀφροσύνης νεμεσώμενοι
ταῖς σφετέραις ἑαυτῶν οὐκ ἐμμένουσι νομοθεσίαις. διὰ τοῦτ' ἐγὼ νῦν οὐ παρὰ τῶν ἄλλων ἑλλήνων τὰ σημαινό-
μενα τῶν ὀνομάτων ἀναμιμνήσκω, ῥᾷδιον ὄν μοι πρὸς πάντων λαβεῖν, ἀλλὰ παρὰ αὐτῶν τούτων τῶν ψευδο-
διαλεκτικῶν. οὐδὲ γὰρ ἐπαγγελλομένους ἐξηγεῖσθαι τὰς γνώσεις τῶν ὀνομάτων, οὐ ταύτῃ ἀρχὴν τῆς διαλεκ- 30
τικῆς θεωρίας τιθεμένους, οὐκ ἐξηγουμένους δὲ, ἀλλὰ νομοθετοῦντας μόνον, οὕτως ὀνομάζειν ἐώθασι. καὶ γὰρ Ἀρχιγέ-
νης, οἶδ' ὅτι θᾶττον ἂν ὀπτὸν παθεῖν εἵλοιτο, πρίν ὁμολογῆσαι τὸ τῆς διαφορᾶς ὄνομα, καὶ κατὰ τῶν εἰδῶν λεγό-
μενα. τά τε γὰρ ἄλλα οὐ ἡ αἵρεσις αὐτῶν θᾶττον πόλιν, ἢ δόγμα φησὶ χλιᾶναι πρὸ δίδυναι, ἀλλ' ἐὰν σιωπήσης νο
μοθετοῦντων καὶ μηδὲν ἀντέπῃς, εἶτ' ὠδὶ προέψεις πρί τινος διαλεγόμενα, πρὸς ἅπαντα ταῖς ἑαυτῶν νομοθε-
σίαις γιγαντία φθέγγονται. πολὺ δὲ τοῦτ' ὀλίγον πρὸ τοῦ παπάππου τῆς αἱρέσεως αὐτῶν χρυσίππου. νομοθετεῖ μὴ
γὰρ ὀνόματα πλείω, ἢ σόλων ἀθλητὰς ἰσαῖς τοῖς ἄξοσι νομίσματα. συγχεῖ δ' αὐτὸς πρῶτος αὐτὰ. καὶ εἰ ὅριο
σαῦτο διαδόχος αὐτοῦ τῆς νομοθεσίας, τί δὴ ποτε ἂν ἐμελέτησε τοῖς ἑαυτοῦ πράγμασι, κατακρῆναι φασίν. ἔξεσιν
οὖν ὃ βέλτιστοι κατακρῆναι, μὴ ὀκ ἀμαρτάνουσιν οἱ δοκοῦντες ποιοῦτοι εἶναι; ἔξεσι φασί. τί γὰρ ἄλλο εἰπεῖν ἔχουσιν, ὅταν
ἐν φρέατι, δοκῶ δή τι τοῦ λόγου, συχνεθῶσι. τί δή ποτ' οὖν τοῖς ἄλλοις ἀνθρώποις ὀκ ὧν τρέπουσιν; ἢ μόνῳ χρυ-
σίππῳ, μὴ τοῖς ἀπ' αὐτοῦ δοκοῦσιν ἔξεσι; διὰ τί πρὸς τῶν θεῶν; ὅτι δηλαδὴ γυμνὸς ἀπίκιος ἦν τῶν ἀμφὶ Κό- 40
δρον τε καὶ Ἐρεχθέα. ἀλλ' εἰ τῶν τοιούτων ὄντως ἦν, ὀκ ἂν προεχάραξεν οἷον νόμισμα τί τὸ κατὰ διαφορᾶς φωνῆς ἔ-
θος. νυνὶ δὲ τὸ δεινότατον, οὔτε γνωσθεὶς ἀθήνησιν, οὔτε γραφεὶς, ἀλλὰ χθὲς καὶ πρῶτος ἥκων ἐκ κιλικίας,
πρὶν ἀκριβῶς αὐτὸν ἐκμαθεῖν ἡντινῦν ἑλλάδα φωνὴν, ἀθλητὰς ἕνεκα ὀνομάτων ὠδὶ χαίρει νομοθετεῖν. ἀκίνδα
δὲν σκρεῖναν μιμούμενα. ἵνα κίνδαν εἴπωμεν, μὴ κολοιὸν, μὴ ἡ κόρακα. μηδ' ἄλλο μηδὲν, ὧν οἰκειότερον ἦν εἰπεῖν
τὸν οὕτω θρασύν. ὅθεν ἦν δὲν Χρύσιππος εἰς τὸν τῶν ἀθλητῶν ἀγωνιζόμενον διάλεκτον. τάχ' ἄν ποτε καὶ αὖθις ἥ-
μιν δεῦρο ἔλθοι. τὰ δ' Ἀρχιγένους ταυτὶ τὰ νῦν ἡμῖν προκείμενα θαυμασθὸς ὁρᾶς ὁμολογεῖς, φοβηθέντος μὴ
εἰπεῖν πρῶτα γένη καὶ πρώτας διαφορὰς, καὶ γενικὰς διαφορὰς, καὶ γένη διαφορῶν, καὶ τι τούτων ἅπάντων
σωπῆσαι μὴ τοῖς ἕλλησιν ὄντα, ὥσπερ Ἡροφίλου δὲ καὶ τῶν Ἡροφιλείων χαλεπὸν ἅπάντων μυριάκις ἐρημένων,
ἀγανακτοῦντος δὲ τὸ μὴ ποιότητος ὄνομα κατὰ πάντων κοινόν. καὶ μὴν τὸ μὴ μὴ διαφορᾶς ἐγχωρεῖ κατὰ πάντων λέ-
γειν, καὶ τῶν ποιῶν, καὶ τῶν ποσῶν, καὶ τῶν πρός τι, καὶ ὅλως ἁπαξαπάντων. πρὸ γὲ τὸ διαφέρειν ἕτερον ἑτέρου 50
τὸ δ' διαφορᾶς ὄνομα γέγονέ τε καὶ γενόσται. διαφέρει δ' ἀλλήλων τὰ μὴ δύο ἐν τοῖς πρώτοις γένεσι τῶν κα-
τηγοριῶν, ὡς ἄνθρωπος, καὶ λευκὸν, καὶ δίπηχυ, καὶ δέξιον. τὸ μὲν γὰρ αὐτῶν οὐσία; τὸ δὲ ποιόν, τὸ δὲ ποσόν, τὸ δὲ
πρός τι. τὰ δ' ἐν τοῖς ὑπὸ αὐτὰ, καθάπερ τὸ λευκὸν, καὶ τὸ τριγωνον. τοῦ μὲν γὰρ τὸ χρῶμα γένος, τοῦ δὲ τὸ σχῆ-
μα. ὑπέπεσε δ' ἄμφω ταῦτα πάλιν ὑπὸ τὸν τοῦ ποιοῦ κατηγορίαν. ὥστε τὸ λευκὸν τῷ τριγώνῳ μὲν τῷ
πρώτῳ κατηγορίαν ὡσαύτως ῥυθμίσεται. ποιὸν γὰρ ἑκάτερον. ἐν γένει δ' ἔσαι διαφέροντα, τὸ μὲν τῶν χρωμά-
των, τὸ δὲ τῶν σχημάτων. ἀλλὰ δ' αὖ κατ' εἴδος διαφέρει, τῷ γένει μὴ διαφέροντα, καθάπερ τὸ λευκὸν καὶ τὸ
ξανθὸν. τῷ μὲν γὰρ γένει ταυτὰ, χρώματα γὰρ, εἰδικὴν δὲ τινα ἔχει διαφοράν. εἶδος γὰρ χρώματος ἁπαξαπάντων τὸ μέ
λαν, καὶ τὸ ἐρυθρὸν, καὶ τὸ κυανοῦν, οὕτω τὸ λευκόν τε καὶ ξανθὸν. ἀλλὰ δ' αὖ καὶ τὸ ἄτομον τε καὶ ἀριθμῷ ἓν, διά-

φέρει

φέρει, καθάπερ καὶ τὸ λευκὸν ὃ διεχθῆναι δύναται, τοῦ δὲ τοῦ λευκοῦ τοῦ διεχθῆναι δυναμένου, διαφέρει μέν τινα διαφορὰν ἰδίαν, ὑπὸ δὲ ταυτὸν πέπτωκεν εἶδος τὸ λευκόν. ἀλλὰ καὶ γένος αὐτῶν ταυτὸν, τὸ χρῶμα, καὶ κοινὸν κατηγορία, τὸ ποιόν. οὕτως πᾶν παντὸς, ἕτερον ἑτέρου πάντως κατά τι διαφέρει. ἐπεὶ οὖν ἡ διαφορὰ παρὰ τὸ διαφέρειν εἴρηται καὶ νενόηται, τὸ διαφέρειν δὲ κἂν τοῖς ἀτόμοις, κἂν τοῖς εἴδεσι, καὶ τοῖς ὑπ' ἄλληλα γένεσιν εὑρίσκεται, καὶ περὶ πάνθ' ἁπλῶς τὰ ὁπωσοῦν ὄντα, ἀνάγκη καὶ τὴν διαφορὰν ἐν ἅπασιν ὑπάρχειν τοῖς οὖσιν, οὐ μὴν τήν γε ποιότητα. διὰ τοῦτο Ἀρχιγένης μὲν κακῶς τὰ πρῶτα γένη τῶν ἐν τοῖς σφυγμοῖς διαφορῶν, ποιότητας ὠνόμασεν, ἡμεῖς δὲ ὀρθῶς καὶ ταῦτα καὶ τ' ἄλλα πάντα διαφορὰς, ὅθεν καὶ τοὐπίγραμμα τῷ λόγῳ παντὶ περὶ σφυγμῶν διαφορᾶς ἐποιησάμεθα. τὶ λοιπὸν ἔτι λείπει τῶν ἀναβληθέντων; οὐδὲν, ἢ τὸ δεῖξαι τήν τε παρὰ τοῖς παλαιοῖς ἰατροῖς, καὶ τοῖς ἄλλοις ἕλλησι περὶ τοὔνομα τῆς διαφορᾶς συνήθειαν. ὁ μὲν γὰρ ἔμπροσθεν λόγος παρ' Ἀρχιγένους αὐτοῦ τὰς πίστεις ἐποιήσατο, καὶ οὐδ' ἐξ ἁπάντων μέν τοι τῶν βιβλίων αὐτοῦ, ἀλλ' οὐδ' ἐκ τοῦ περὶ σφυγμῶν ὅλου. ὡς εἶγε κἀπὶ τἆλλα τὶς ἐρχοιτο τοῦ Ἀρχιγένους συγγράμματα, καὶ πυρετῶν διαφορὰς εὑρήσει καλοῦντα τὸν ἄνδρα, καὶ παθῶν καὶ διαιτημάτων, τοῦ μυριάκις χρώμενον καθ' ὧν εἴπομεν πραγμάτων τῷ τῆς διαφορᾶς ὀνόματι. τὸ δὲ καὶ παρὰ τῶν ἄλλων τε ἰατρῶν, καὶ ὅλως ἑλλήνων χρήσεις παραγράφειν, οὕτω μοι δοκεῖ μακρὸν ὑπάρχειν, ὥστε βίβλους μεγίστας δύνασθαι πληρῶσαι. κάλλιστον οὖν αὐτῶν ἕκαστον ἐκ λέγειν. εὐθὺς γὰρ καὶ τοῖς ἄλλοις τῶν ἑλλήνων ὀνόμασιν ἐθισθήσεται, καὶ ἧττον ἡμῖν πράγματα παρέξει πρὸς τὸν ἑξῆς λόγον. καὶ ἡμετέρας δὲ δύο πραγματείας ὁ βουλόμενος ἔχει, τήν τε περὶ ἀττικῶν ὀνομάτων, καὶ τὴν περὶ τῶν ἰατρικῶν. ἴσως δ' ἄν ποτε καὶ περὶ τῶν ἰωνικῶν ποιήσαι μ' ἄν, ὥστε ἐξ ἐκείνων ὅσα περὶ λέξεώς τε καὶ ὅλως ὀνομάτων ζητεῖται, μανθάνειν. νυνὶ δὲ τὸ συνεχὲς τοῦ λόγου παραινέσθω, τοῦτο μὲν ἐνταῦθα καταπαυσάντων ἡμῶν, ἐν δέ τοι τοῖς ἑξῆς ὅσα λείπει προσθέντων.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ

ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Γ'.

Τὸ μὲν δὴ περὶ τῶν πραγμάτων ἡμᾶς διαφέρεσθαι, τῷ μὲν ἴσως ἀναγκαῖον εἶναι δόξει, τοῦ δ' εὔλογον, τῷ δέ τινι καὶ συγγνώμης ἄξιον. κατὰ μὲν γὰρ τὸν τραγικὸν ποιητὴν, εἰ πᾶσι καλὸν ἔφυ σοφόν θ' ἅμα, οὐκ ἦν ἂν ἀμφίλεκτος ἀνθρώποις ἔρις, νυνὶ δὲ οὐδὲ δοκεῖ πᾶσι ταυτὸν, οὔτε καλὸν, οὔτε σοφὸν, οὔτε ἀληθὲς εἶναι, ἀναγκαῖον οἶμαι διαφέρεσθαι. κατὰ δὲ τὸν φιλόσοφον τὸν εἰπόντα. ἢν γὰρ καὶ τὰ μέγιστα τύχη τετελευμένα, εἰπὼν αὐτὸς, ὅμως οὐκ οἶδε, δοκὸς δ' ὠδὶ πᾶσι τέτυκται. διὰ τὸν δοκὸν τοῦτον εὔλογον διαφέρεσθαι. κατὰ δὲ τοὺς ἡγουμένους εἶναι βεβαίως τε καὶ ἀραρότως γνωστὸν, ἀλλὰ χαλεπὸν εὑρεθῆναι τοῖς πολλοῖς, συγγνωστὸς ὁ μὴ τυγχάνων αὐτοῦ, τὸ δὲ καὶ περὶ τῶν ὀνομάτων διαφέρεσθαι, καὶ μὴ δὲ μετρίως τοῦτο, μὴ δ' ὡς ἔτυχε ποιεῖν, ἀλλὰ βίβλους ὅλας μεγίστας ἀναπιμπλάναι τῆς περὶ ταῦτα τερθρείας οὔτ' ἀναγκαῖον, οὔτ' εὔλογον, οὔτε συγγνώμης ἄξιον, ἐμοὶ γοῦν εἶναι δοκεῖ. τοσαύτης γὰρ οὔσης τῆς ἐν τοῖς πράγμασιν ἀσαφείας, ὥστε εἰ καὶ τριπλασίονα βίον ζήσαιμεν, οὐ νῦν ζῶμεν, οὐδὲ τότ' ἂν ἴσως ἁπάντων ἡμῖν ἀκριβῶς γνωσθέντων. εἰ καὶ διὰ τοῦτ' εἰπόντος Ἱπποκράτους ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρὰ, πῶς οὐκ ἄτοπος ὁ περὶ τὰ μηδὲν προσήκοντα τρίβων τὸν χρόνον; ὥσπερ οὕτω πολὺν ἔχων, ὥστε καὶ τοῦτ' ἐκ περιττοῦ μανθάνειν, καὶ τἀναγκαῖα κατὰ σχολὴν ζητεῖν. ἆρ' οὖν οὐ τοῦτο δρῶσιν οἱ τὰ τοιαῦτα γραφόντες, οἷά περ καὶ ὁ ἀρχιγένης ἐν τῷ περὶ σφοδροῦ σφυγμοῦ λόγῳ. ἔστι δὲ ἡ ῥῆσις μακρὰ, καὶ πᾶσαν παραγράφειν ἐνταῦθα αὐτὴν, ἄτοπον, ἀλλ' ὅμως ὁ βουλόμενος ἐκ τοῦ περὶ τῶν σφυγμῶν συγγράμματος ἀναγινωσκέτω. τέταρτον γάρ ἐστι ἀπὸ τῆς ἀρχῆς κεφάλαιον. ἄρχεται δ' αὐτοῦ τοῦτον τὸν τρόπον. τὴν σφοδρότητα τοῦ σφυγμοῦ οὐκ εἶναι ἁπλῶν ποιοτήτων φησὶ Μάγνος. ὡς οὖν ἀνεγνωκότι σοι τοῦτον ἅπαντα τὸν λόγον τὸν περὶ τῆς σφοδρότητος, ἤδη πειράσομαι λέγειν ἃ γινώσκω. θαυμάζω γὰρ οὐ τοῦτο μόνον ὅτι περὶ ὀνόματος ἐρίζει. τοῦτο μὲν γὰρ τὸ ἁμάρτημα σχεδὸν ἤδη τοῖς πλείστοις οὐκ ἰατροῖς μόνον, ἀλλὰ καὶ φιλοσόφοις συνήθες, ἀλλ' ὅτι μὴ δ' αὐτὸ τοῦτ' αἰσθάνεται, ὅτι περὶ ὀνομάτων ἐρίζει, καὶ διὰ τοῦτο οἶμαι, νομίζων περὶ πράγματος διαλέγεσθαι, μακροὺς ἀποτείνει λόγους. οἱ πρὸς τοῖς ἄλλοις ἀτόποις, ἔτι καὶ ἀσαφῶς κείμενοι, βίβλου τινὸς ἑτέρας ἐξηγουμένης αὐτοὺς οὐ μικρᾶς δέονται, ἵν' ἀεὶ κατατριβώμεθα δηλαδὴ περὶ ὄνου σκιᾶς ἀμφισβητοῦντες, μὴ δὲ τοσοῦτον ἄρα πρὸς τῆς διαλεκτικῆς ὠφεληθέντες, ὡς γνωρίζειν δύνασθαι, τὶς μὲν ὑπὲρ ὀνόματος ἐστὶ, τὶς δὲ ὑπὲρ αὐτοῦ ζήτησις τοῦ πράγματος. ὄντος γάρ τινος σφυγμοῦ βιαίου κατὰ τὴν προσβολὴν, ὡς ὠθεῖν τε καὶ ἀνατρέπειν τὴν ἁφὴν, τὸ μὲν ὅπως ἄν τις αὐτὸν ἀκριβῶς διαγινώσκει ζητεῖν, καὶ προσέτι τὰς αἰτίας ὑφ' ὧν γίνεται, καὶ τὶ δηλοῦν πέφυκεν ὁ τοιοῦτος σφυγμὸς, περὶ πράγματος ἐστὶ σκοπεῖσθαι. τὸ δὲ τὶ κλητέον αὐτὸν, ὑπὲρ ὀνόματος. ἵν' οὖν σαφῶς ὠδιγνώμεν, ὅτι τὸ μὲν ὑπὲρ ὀνομάτων ἐστὶ τὸ μηδὲν ζητεῖν, τὸ δ' ὑπὲρ αὐτῶν τῶν πραγμάτων σκοπεῖσθαι, τὰς τέχνας αὔξει, καλέσωμεν τὸν προειρημένον σφυγμὸν Διῶνα. κἄπειτα λέγωμεν, ὅπως μὲν ἀκριβῶς διαγινώσκεται, τουτέστι ὅτι θλιβόντων τὴν ἀρτηρίαν, οὐκ ὠδιπολῆς ψαυόντων, ἔπειθ', ὅτι γίνεται τῇ ῥώμῃ τῆς ζωτικῆς δυνάμεως, ὡς ἐν τοῖς περὶ σφυγμῶν αἰτίας ἐνδείκνυμεν. εἶθ' ὅτι σημεῖον ἐστὶ ἐν νόσοις ἀγαθὸν, καὶ ἄλλα τέ τινα, καὶ κρίσεις οἵας πέφυκε δηλοῦν. εἰς τέτταρα γάρ τοι μέρη νενεμημένης ἁπάσης τῆς περὶ τοὺς σφυγμοὺς θεωρίας, εἰς τε τὸ περὶ τῆς διαφορᾶς αὐτῶν, καὶ τὸ περὶ διαγνώσεως, καὶ τὸ περὶ τῶν αἰτίων, καὶ τέταρτον τὸ περὶ τῆς δι' αὐτῶν προγνώσεως, οὐδὲν αὐτῶν παραβλάπτεται, καλεσάντων ἡμῶν τὸν ἰσχυρῶς πλήττοντα σφυγμὸν Διῶνα. καὶ γὰρ ὅπη τῶν

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 38 sur 494

ἄλλων διαφέρει μεμαθήκαμεν. ἄν τε θέωμεν, ἄν τε δίωμεν, αὖτ' ἄλλό τι καλεῖται, καὶ ὅπως διαγνωσθήσεται, ὑπὸ τίνος αἰτίας γίγνεται, καὶ τί διαλοιπὸν ἐστὶν αὐτοῦ πρὸς Μάγνον Ἀρχιγένης, τάχα μὲν παρανομοῦντα καὶ αὐτὸν εἰς τὸ τῶν ἑλλήνων ἔθος, τό, περὶ τὰς προσηγορίας, ὅμως δὲ σωίζοντα τό γε πρᾶγμα, ὡς τὸ πλεῖστον αὐτῷ τῇ πρὸς ἀλλήλους προθυμότερος ἀμφισβητήσεως ἕνεκεν ὀνόματος ὅδι. τί γὰρ δὴ καὶ φησὶν ὁ Μάγνος αὐτὴ λέξει. χρὴ τοίνυν καὶ μέγεθος ἀξιόλογον εἶναι τοῖς σφυγμοῖς καὶ πληρότητα καὶ τάχος πρὸς τὸ διακτύλοις, εἰ μέλλει τις κυριολογεῖν σφοδρὸν σφυγμὸν ὀνομάζων. οἶδ' ἐγὼ ἂν ἀφ' ὧν ὁ Μάγνος ὅτι μὴ περὶ πράγματος, ἀλλὰ περὶ κυρίως ὀνομάζειν, ἢ μὴ κυρίως πρὸς ἀλλήλους διαφέρεσθαι. ἀφέσεσθαι δ' ἔτι ποιεῖ δῆλον τῷ ἐφεξῆς. ἀξιοῖ γὰρ τὸν Δημήτριον ᾧ ταῦτα τὰ βιβλία τὰ περὶ τῶν ἐφθορημένων μετὰ τοῦ Θεμίζωνος χρόνους ἀνεθήκε, σωεπισκέψασθαι καὶ αὐτόν, ὡς ἂν φιλόσοφον τε ὄντα, καὶ τί τὸ κύριον ὄνομα, καὶ τί τὸ μὴ τοιοῦτον, ἀκριβέστερον εἰδότα. λέγει δ' οὕτως. οὐδὲν γὰρ χεῖρον καὶ ταῦτα παραγράψαι τῇ ῥήσιν αὐτῶν τοῦ Μάγνου. ὡδὶ οὖν τοῦτον καλῶς ἂν τοῖς ἁπλᾶς διαφορᾶς κατέταξεν, σύ μοι διαίτησον. σοὶ γὰρ ὧν βάλλει μᾶλλον τὰς κυριολογίας κεῖνον, καὶ ἀρ' τῶν ὀνομάτων τεκμήρασθαι τὴν ὑπόστασιν τῶν σημαινομένων. εἰθ' ἑξῆς μᾶλλον ἀφέστερον ποιεῖ λέγων ὧδί. ἐγὼ δ' οὐκ ἀλλοῖος τὴν ἐμαυτοῦ γνώμην μέχρι τοῦ δεῦρο φημὶ δὲ τὸ τ' ὀφοδρότητος ὄνομα σημαίνειν οὐχ ἁπλῶς διαφορὰν σφυγμῶν. σύμμετρον δὲ ἐκ μεγέθους, καὶ τάχους, καὶ πληρότητος. οὐκοῦν καὶ τοῦδε τοῦ τί σημαίνει τὸ ὄνομα τὸ τῆς σφοδρότητος, ἀμφισβητεῖν ὁμολογεῖ. καὶ ὅλως εἴτις βούλεται τὸν πάντα λόγον ἀναλέξασθαι, γέγραπται δὲ ἐν τῷ τρίτῳ τῶν ἐφθορημένων μετὰ τοὺς Θεμίσωνος χρόνους, εὑρεῖ αὐτὸν ἀεὶ διανούμενον, ὅτι περὶ ὀνόματός ἡ ζήτησις ὅδι. τάχ' οὖν τινὲς θαυμάζειν ἔπεισι τῆς καινοτομίας τοῦ Μάγνου. καὶ γὰρ ἔοικε μεταπίπτειν τὰ συμαινόμενα τῶν ὀνομάτων, εἴτε ὀρθῶς, εἴτε οὐκ ὀρθῶς οἱ πρόσθεν ἰατροὶ κατεχρήσαντο αὐτοῖς. θεωρίαν μὲν γάρ τινα ἐφθορέισκειν εἰς τὰ τῆς τέχνης ὄργανα διαφέρουσαν, ἀνεμέσητον οὐ Μάγνῳ μόνον, ἀλλὰ καὶ πάντι τῷ διωαμένῳ, κἂν τὴμβρον τις ἢ τοιοῦτος, κἂν μετὰ μυριάδας ἐτῶν παμπόλλας γίνηται. τὸ δ' ὥσπερ ὀνομάτων ἐρίζειν οἷς τοῦτον τρέπει ἡ σκέψις, οὐκ ὀρθόν. ἀλλ' εἰ τις ταῦτα θαυμάζει τε καὶ μέμφεται, καλῶς μὲν ἴσως ποιεῖ, δοκεῖ δὲ ἀγνοεῖν τὴν προαίρεσιν τῶν ἀνδρῶν. ἀρέσκονται γὰρ οὗτοι πάντες οἱ πανδυματικοὶ καλούμενοι τοῖς ἀρ' ἡμῶν ἐρίζειν. ὥστ' ἐπεὶ χρύσιππος ἀνδρὸς εἴδισεν ἀμφισβητεῖν περὶ τῶν κατὰ τὴν φιλοσοφίαν ὀνομάτων, οὐ δ' αὐτοὶ περὶ τῶν κατὰ τὴν ἰατρικὴν ταῦτα ποιεῖν οἰκεῖον. καὶ ζήνων δὲ ὁ κιτιεὺς, ἔτι πρότερον ἑτοίμως καινοτομεῖν τε καὶ ἐπορθοῦν τὸ τῶν ἑλλήνων ἔθος ἐν τοῖς ὀνόμασιν. οὐκοῦν ἔτι θαυμαστὸν οὐδέν, εἰς τοῦτον ἐκπεπτωκέναι ἡμῖν ἐν αὐτοῖς φιλονεικείας οὐ νεωτέρους ἰατρούς τε καὶ φιλοσόφους. ἀλλὰ τί θαυμάζειν αὐτῶν ἄξιον, εἰ μὴ δ' ὅτι περὶ ὀνόματος ἐρίζουσι σωιῶσιν. ὥσπερ οὖν οὐδ' ὁ Ἀρχιγένης, καί τοι τἄλλα σωετὸς ὤν, οὐκ ἠξίωσεν αὐτὸ τοῦτ', ὡσημαινόμενον, ὅτι καινοτομεῖ περὶ τοὔνομα τῆς σφοδρότητος ὁ Μάγνος, οὕτω παραιτεῖσθαι τί τῶν χρησιμωτέρων, ἀλλ' ἄνω καὶ κάτω στρέφεται κατὰ τὸν τόπον, τάττ' ἄλλα διαμαρτάνων, καὶ ὅτι μηδ' αὐτῷ τῇ ῥήσιν ἑκάστοτε τοῦ Μάγνου παραπίθεται, ὅτι πολὺ σαφέστερον οὖσαν ὧν αὐτὸς γράφει, μεταλαμβάνων. ἄλλο δ' ἔτι μεῖζον ἁμάρτημα ἐν τοῖς ὀνόμασι μικρολογίας ἁμαρτάνοσι χεδὸν ἅπαντες οἱ μὲν ἠρόφιλον περὶ τῶν σφυγμῶν γεγραφότες. δέον γὰρ, ὡς ὀλίγῳ πρόσθεν ἡμεῖς διειλόμεθα, καὶ αὐτὸν οὕτω διειλημμένος, ἰδίᾳ μὲν περὶ τῆς διαφορᾶς τῶν σφυγμῶν, ἰδίᾳ δὲ περὶ τῆς διαγνώσεως αὐτῶν, ἰδίᾳ δ' ἔτι περὶ τῶν ἐν αὐτοῖς αἰτίων, κἄπειθ' ἑξῆς ἰδίᾳ περὶ τῆς θέσεως αὐτῶν πραγνώσεως διδάσκειν; οὐκ οἶδ' ὅπως ἅπαντ' ὀμοῦ συγχέουσί τε καὶ παραλιπόντες ὅλως, τῶν δ' ὧδὶ σμικρὸν κομιδῆ μνημονεύοντες, τά δ' ἀχρήστως τε καὶ περιττῶς ἀκριβοῦντες. τά δ' ἀλόγως εἰς ταὐτὸ συναγαγόντες, ὥσπερ ἓν ὄντα, καί τοι πάμπολυ διαφέροντα. κατὰ γοῦν τοῦτον αὐτοῦ λόγον τὸν περὶ τῆς σφοδρότητος ὁ Ἀρχιγένης, ὅταν μὲν γραφῇ ὡς ἐκ τοῦ καθ' ἕνα χωρισμὸν φανερὰ γίγνεται καθ' αὑτὴν ἡ σφοδρότης οὖσα, ὁ τόνος ὡς εἶπον τῆς τῶν ἀρτηριῶν κινήσεως, τὸ τῆς σφοδρότητος αἴτιον εἰπών, αὐτὴν οἴεται δεδηλωκέναι τὴν σφοδρότητα. εἰ γὰρ δὴ τοῦτ' ὀρθῶς ὦ Ἀρχίγενες ἡ σφοδρότης, ἀπόκρινε τὴν αἰτίαν ἡμῖν αὐτῆς. ἀλλ' οὐκ ἔχεις. ἢ πάλιν ταὐτὸν ἀναγκαδέσει λέγειν τὸν τόνον. καὶ ἔσαι σοὶ ὁ τόνος τῆς τῶν ἀρτηριῶν κινήσεως ἅμα μὲν αἰτία τῆς σφοδρότητος, ἅμα δὲ ἡ σφοδρότης αὐτή. πολλῷ τοίνυν ἄμεινον οἱ πρὸ ἀρχιγένους περὶ σφυγμῶν γράψαντες, οἱ μὲν τὸ αὐτιβατικὸν, οἱ δὲ τὸ βίαιον, οἱ δὲ τὸ ἰσχυρὸν, οἱ δὲ τὸ ἀναπρεπῆ τῆς προσβολῆς τῶν ἀρτηριῶν, ἐκάλεσαν σφοδρότητα. καὶ τοῦτο καὶ αὐτὸς ὁ ἀρχιγένης ἐπίσταται. τί γοῦν φησι. δοκεῖ δὲ πᾶσί γε τῇ τῆς ἁφῆς πληγῇ κεῖσθαι, καθ' ὁ καὶ πληγὴν ἀπ' ἀρτηρίας φασίν αὐτὴν τινές. εἶτ' οὐκ οἶδ' ὅπως οἴεται διαβάλλειν αὐτῶν τὴν δόξαν, ὡσλίπως γράφων. φαίνεται δὲ καθ' ὅλην τὴν διαστολὴν τὸ στενὸν ἡ ὁρμῆς, καθ' ὃ καὶ εἰ προσπίεζοιμεν οὖν δακτύλους, στρεωτέρα ὑποπίπτει ἡ πληγὴ, οὐ κατὰ τὸ πέρας τῆς διαστολῆς, ἀλλὰ κατωτέρω τό τε γινομένη. ἡ μὲν λέξις αὕτη. πάρεστι δὲ σκοπεῖσθαι ὡς οὐδὲν ἡ αὐτὴ λογία πράττει. τί γὰρ πρὸς ἔπος, εἰ καὶ πρὸ τοῦ πέρατος ἡ διαστολῆς, ἢ ἡ πληγῆς ποιότης δῆλη γίγνεται, ἧς μὴ οὐκ εἶναι πληγὴν ἀπ' ἀρτηρίας τὴν σφοδρότητα. εἰ μὲν γὰρ τοῦτ' ἔλεγον οἱ πρὸ ἀρχιγένους, ὡς οὐκέτι ἡ σφοδρότης αὐτιβατικὴ πληγὴ κατὰ τὸ πέρας τῆς διαστολῆς γινομένη, καλῶς αὐτέλεγχε αὐτὸς ὑπομιμνήσκων, ὅτι καὶ πρὸ τοῦ πέρατος ἤδη φαίνεται τὸ βίαιον ἡ προσβολῆς, ἐπεὶ δ' ἁπλῶς ἔφασαν αὐτιβατικὴν εἶναι πληγὴν τὴν σφοδρότητα, τὸ δεικνύειν ὅτι καὶ πρὸ τοῦ πέρατος τῆς διαστολῆς ἤδη φαίνεται τοιαύτη, μάταιον. ἀλλ' ἔσω τοῦθ' ὅπερ ὁ ἀρχιγένης βούλεται. τόνος μὲν τις ἡ σφοδρότης, τόδ' ἰσχυρὸν τὴν πληγῆς οὐκ εἶναι σφοδρότης. ἐζητήσαμεν αὐτὸν τὴν αἰτίαν σφοδρότητος σφυγμοῦ. οὐ γὰρ δὴ που ταυτόν ὄντ, σφοδρότης τε καὶ σφοδρότητος αἰτία. τὸ μὲν γὰρ φαίνεται, καὶ πᾶς ἰατρὸς ζητεῖ διὰ νοσοῦντος. ὅγε μὴν πάντάπασιν ἀγύμναστος, οὐδὲν γνωρίζει τὸν σφυγμὸν ἢ σφοδρὸν, ἢ ἀμυδρὸν εἶναι. οὐ μὲν ἥ γε

αἰτία

ἀκτία φαίνεται. καὶ ὅλα ὅσα οὐδὲν ὑπὲρ αὐτῆ ὁμολογεῖται. Ηρόφιλος μὲν γὰρ φησὶ βούλεσθαι ἡ κατὰ ἡ ἀρτηρίας ζωτικῆς δυνάμεως ἀκτίαν εἶναι σφυγμόν. Αθηναῖος δὲ τὸν ζωτικὸν τόνον τὴν ἰσχύν. Ασκληπιάδης δ' ἀμφοῖν καταγελάστεται. καὶ τόνος, ὦ δαιμόνιε, καὶ πάντα τὰ τοιαῦτα καινὰ φάσκων ὑπάρχειν ὀνόματα. τὴν δ' ἀκτίαν ἡ σφοδρότητα· εἰς πλῆθος καὶ λεπτότητα συνδύματος ἀνοίσει, καθάπερ οἶμαι καὶ Ερασίστρατος. οὐδὲ γὰρ οὗτος τοῖς χιτῶσιν αὐτοῖς τῶν ἀρτηριῶν μεταδίδωσι ἡ τονικῆς δυνάμεως, ἀλλὰ ἡ καρδίας ἰσχυρῶς ἐκθλιβούσης τὸ συνδύμα, τῆ τότε δηλαδὴ τῶν ἀρτηριῶν φορᾷ τὸ ἀντιβατικὸν ἐν τῆ πληγῆ φησι γεννᾶσθαι. καὶ τί δεῖ τούτων μνημονεύειν; ὁ γάρ τοι Μάγνος ὁ αὐτὸς ἀεὶ ἡ συνδυματικῆς αἱρέσεως ἐστὶν πρωτοεύρετος, ἑτέρως τὸ ἰσχυρὸν ἡ πληγῆς γίνεσθαι φησί, ἢ ὡς Αρχιγένης. ἀλλὰ πρὸς μὲν ἡ τοιαύτης διαφωνίας οὐ νῦν ὁ καιρός. ὑπομνήσω δ' οὖν εἰς τὰ πρόσθεν τό γε τοιοῦτον, ὡς τὸ μὲν ἰσχυρὸν ἡ πληγῆς ἐν τῷ τὴν ἀφὴν ὠθεῖν καὶ ἀντιβαίνειν, καὶ ἀναστρέπειν κείμενον ἅπασι ὁμολογεῖται. τὸ δ', ὑπὸ τίνων ἀκτίας γίνεται, διαφωνεῖται. γελοῖον δ' ὄντι ἐν τῇ διαφωνίᾳ τοῦ τί ποτ' ὄντι ὁ δεῖνα τῆς σφυγμὸς, καὶ ὅτου διαλάσκειν, ἀλλ' ὑπὸ τίνων γίνεται γράφειν. τὸ μὲν γὰρ τί ποτ' ὄντι φαίνεσθαι δεῖ, τὸ δ' ὑπὸ τίνων γίνεται λόγῳ φωράσθαι. δῆλον δὲ ὡς οὐδ' ὅπως διανεγκεῖν ὁ σφοδρὸς σφυγμὸς ἡ ἀκτίας, ὑφ' ἧς γίνεται, διηρθρωμένως ἐγίνωσκεν ὁ ἀρχιγένης. καὶ ὅλα ὅσα ἐν τῷ τόνῳ ἡ κινήσεως τῶν ἀρτηριῶν τιθέντων, πλέον ὅσον μὲν ἄτοπον εἰπεῖν σφοδρότητα, αὐτὴν δὲ κατὰ τὸ ποιόν ἡ πληγῆς φάναι σωίσασθαι βίαιόν τινα οὖσαν καὶ ἀντιβατικὴν προσβολήν. ὅτι δὲ συγλέγχεται πρὸς τὰ πράγματα καὶ διηρθρωμένον οὐδὲν λέγει, δῆλον ἐξ ὧν ὠθιφέρηται πρὸς ὁ σφυγμὸς. τί γὰρ φησι, σφοδρὸς μὴ οὖν σφυγμὸς ὁ μείζονα τόνον ἔχων ἡ κινήσεως, καὶ ῥοιζώδης ὤν. ἀμυδρὸς δὲ ὁ ἐκλελυμένον τὸν τόνον ἔχων, καὶ ἀσύστροφον τὴν πληγήν. οὐ γὰρ ἁπλῶς εἶπε. σφοδρὸς μὴ οὖν ὅτιν σφυγμὸς ὁ μείζονα τὸν τόνον ἔχων ἡ κινήσεως, ἀλλὰ προσέθηκε καὶ ῥοιζώδης ὤν. ὅ τί ποτ' αὐτῷ βούλεται μὰ τὸν θεὸν οὐκ ἀκριβῶς συνίημι. ποιητικὸν γὰρ τόνομα ὅτι ὁ ῥοιζῶν, οὐ πολιτικὸν, οὔτε σωεχῶς λεγόμενον οὐδαχῶ, οὐδὲ τί ποτε σημαῖνον, προδήλον. ἀλλ' εἰ μή τι χρὴ τοῖς γραμματικοῖς ὠσεδύμῃ ἐξηγουμένοις τὸ παρὰ τῷ ποιητῇ λεγόμενον ὠδὶ τοῦ κύκλωπος· πολλῷ ἧσσον ῥοιζῶ πρὸς ὄρος πρέπει πίονα μῆλα, τάχος κινήσεως ὁ ῥοιζος δηλοῖ. ὁ μὴν εὐβάλετό γε ὁ ἀρχιγένης αὐτὸς ὁπότ' αὐτέλεγε τῷ Μάγνῳ. πλὴν εἰ πῆ ἁπλησίον τι τοῖς ῥήτορσι ποιεῖ, κατηγορεῖ πολλάκις ὧν οὐκ ἔγνωκεν. ἀλλ' οὐκ ὤμην ἐγώ γε τί ποτ' οὖν ὄντι ὁ βούλεται δηλοῦν ὁ ῥοιζος, εἰ μὴ τὸ τάχος. ἀλλ' ἆρα γε τὸ ἰσχυρὸν ἡ πληγῆς; ἀλλ' οὕτως πάλιν ἅμα δυοῖν ἔσαι τὸν ὁρισμὸν πεποιημένον, ἀκτίᾳ τε τοῦ ποιοῦντος καὶ γινομένῃ πρὸς αὐτὸ, καὶ μείζων ἡ ἀρρία. πότερον ἑκάτερον αὐτῶν βούλεται τὸν σφοδρὸν εἶναι σφυγμὸν, τό, τε τοῦ τόνου μέγεθος, καὶ τὸ βίαιον ἡ πληγῆς, ἢ τὸ συναμφότερον. οὔτε γὰρ ἑκάτερον, οὔτε συναμφότερον, οὐ καλῶς. ὅτι μὲ διωμάτην, ὡς ἐλέχθη, τὴν ἀκτίαν τῇ γινομένῃ. πρὸς αὖ ἡ ταυτὸν εἶναι. καὶ γὰρ δὴ τὸ φάναι μείζονα τόνον ἔχει ἡ κινήσεως τὸν σφοδρὸν σφυγμὸν, ἀσαφές. οὐδὲ γὰρ οὐδ' ἐνταῦθα σωίημι τί λέγει, πότερον ὑπὸ μείζονος τόνου γίνεσθαι τὸν σφοδρὸν σφυγμὸν, ἢ τὸν μείζονα τόνον σφοδρὸν εἶναι σφυγμόν. κατὰ μὲν γὰρ τὸ πρότερον τῶν σημαινομένων, οὐ τί ποτ' ὄντι ὁ σφοδρὸς σφυγμὸς, ἀλλ' ὑπὸ τίνος γίνεται, δεδήλωται. κατὰ δὲ τὸ δεύτερον, ἀδήλως τε καὶ ἀμφισβητουμένως κατὰ τὰς αἱρέσεις ἡ διδασκαλία. χρὴ δ' εἰπεῖν τι καὶ ἄλλο, καὶ τὸν σφοδρὸν σφυγμὸν ἐν τοῖς ἀδήλοις τῶν ὄντων πραγμάτων. ἀλλ' ὁ τόνος οὐκ ἀδηλότης, ἢ πάντως ἂν ἅπασιν ὡμολογεῖτο. τινὲς μὲν γὰρ οὐδὲ σωίεναι φασὶν ὅλως τί ποτε σημαίνεται πρὸς τοῦ τόνου ὀνόματος, καί τοι σωιέντες τε καὶ ἀεὶ δανόμενοι σφοδρὸν σφυγμόν. τινὲς μὲν ὁμολογοῦσι τὸ λεγόμενον, ὑπάρχειν δ' οὐ συγχωροῦσιν. οὕτως οὐ ταυτὸν δεῖ τόνος κινήσεως καὶ σφοδρὸς σφυγμὸς, εἴγε τὸ μὴ αὐτῶν ἀδηλότητι φαίνεται, τὸ δὲ ὂ μόνον ἄδηλον τοῖς ἀδήλοις, ἀλλὰ καὶ διαμφισβητούμενον καὶ ἀσαφὲς ὅλως δεῖν. ἆρ' οὖν ἡ μὴ τοῦ σφοδροῦ σφυγμοῦ διδασκαλία καὶ ἀσαφὴς, καὶ ψευδὴς κατὰ πάντα τὰ σημαινόμενα, σαφεστέρα δὲ καὶ ἀληθεστέρα ἡ τοῦ γνωστὸς αὐτοῦ τοῦ ἀμυδροῦ; τάχα γὰρ ἐκ τῆς αὐτοῦ θέσεως σωιζόμενός τινος τῶν γε τῷ πρότερῳ λόγῳ δωκησόμεθα. τί δὴ φησιν ἀμυδρὸς δὲ ὁ ἐκλελυμένον τόνον ἔχων καὶ ἀσύστροφον τὴν πληγήν. ὑπὸ τοῦτο δὴ φανερῶς τῷ μὴ μεγάλῳ τόνῳ τὸν ἐκλελυμένον αὐτέθηκε, δέον οὐ τοῦτο, ἀλλὰ τὸν μικρὸν αὐτιθέναι. ἢ κακῶς γε τῷ σφοδρῷ τὸν μέγαν εἶπε, τῷ δὲ ῥοιζώδει ἀσύστροφον ἡ πληγῆς. εἰ μὴ οὖν γνόσῃ τί ποτ' ὄντι τὸ ἀσύστροφον, ἴσως ἂν σωῆκα τοῦ ῥοιζώδους. νωὶ δὲ αὐτὸ τοῦτο πάλιν ἀσαφέστερον ὄντι πολλῷ τοῦ ῥοιζώδους. ὥστ' οὐδέτερον αὐτῶν ἐξηκριβωμένον γίνεται θατέρου. πότερον γὰρ βραδὴ νομίζομεν λέγειν αὐτὸν ἀσύστροφον, ἢ τὸ ἄῤῥωστον, ἢ τὸ μαλακὸν, ἢ τὸ δυνατὸν προπῆσον, ἢ τὸ διαλελυμένον, οὐκ ἔχω συμβαλεῖν. ὧν δὲ μόνον ὧν τούτῳ τῷ τρόπῳ πλέον μοι νομίζω γεγονέναι, τὸ καὶ τὴν ποιότητα ἡ πληγῆς αὐτὸν εἰς τὴν ὑπόνοιαν ἡ σφοδρότητος παραλαμβάνειν. καί τοι κατ' ἀρχὰς ὁπότ' αὐτέλεγε τῷ μάγνῳ μόνον τόνον εἰπόντι ἡ τῶν ἀρτηριῶν κινήσεως. ἀλλὰ νῦν καὶ ἀσύστροφον ἐφὶ τὴν πληγήν. καὶ μὴν αὐτεῖπεν ὀλίγῳ πρόσθεν τοῖς ὑπὸ τῆς ἀφῆς πληγῆ κεῖσθαι νομίζουσιν αὐτόν. ἐμοὶ μὲν δὴ καὶ τοῦτο πάντα τεταραγμένου, καὶ μηδὲν ἀκριβὲς ἔχοντος εἰπεῖν, εἶναι δοκεῖ. οἶδ' ἔστιν μὴ ταῦτα, τά δ' οὖν ἐφεξῆς αὐτῶν οἶδ' ὅτι λῆρος εἶναι δῆλον μακρὸς, ἄν γε μὴ σοφιστὴς τις ἦς καὶ αὐτὸς, ἀλλὰ τῶν ἡ ἰατρικῆς ὄργανον ἐρασής. ἡ μὲν οὖν ἔξησις αὕτη τοῦ Αρχιγένους τόν δὲ τὸν τρόπον ἔχει. ἔσι δὲ κατὰ τὴν σφοδρότητα τοιαύτας καὶ ἄλλας ὑπαγαγεῖν διαφορᾶς, ἐκλελυμένη ἐμπίπτει ἡ πληγὴ καὶ ἀβαρὴς, οὗ ἀμαυρὸν σφυγμὸν ἤδη τινὲς ἐπάλεσαν. ἄλλη δὲ βαρεῖα μὲν ἔκλυτος, ταύτῃ ἀμυδροῦ σφυγμοῦ διαφορὰν θείη τις ἄν, ἢ δ' οὐκ ἔκλυτος μὲν ἀλλ' οἷον παραπεπορισμένη, καὶ εἴσω ῥέπουσα τὸ βάρος ἔχουσα. περιδυμένη καὶ δεδυκυῖα διαφορὰ, κατὰ σφοδρότητα εἴη ἂν σφυγμοῦ, καὶ κατὰ τὸν σφοδρὸν, ἡ μὲν τις πληγὴ εἴη ἂν ἐξεσισκὴ, ὑγρότερον ἐξωθοῦσα τὴν ἀφὴν, οἷα ἂν τροφῆς μάλισα νεαρᾶς ἐγκίνεται. ἡ δὲ δύσθρωσος δεῖ μᾶλλον οἷον διακυλωνισμένη τοῦ κινοῦντος. ἡ δ' ὑπείσισι πάσι καὶ ὧδι τοῖς ἐν ἕρκει πλεονασμοῖς

φαίνεται. ταῦτ' ὦ πρὸς θεῶν πότερον βασανιστὰ πίς, ἢ λεκτὰ φήσει; τὴν γοῦν βίον βραχὺ ὡς πρὸς τὴν τέχνης ὄντα μέγεθος, οὐ βραχὺ οὕτω γε. ἀλλὰ τὸ μηδὲν ποιεῖ, πόσον ὄχλον ἐπεισάγων αὐτῇ ψεύδους θεωρίας. πόθεν γοῦν οὗτοι πάλιν ἥκουσιν ἡμῖν οἱ σφυγμοί, βαρεῖς καὶ ἀβαρεῖς. τί δ' οὐ καὶ ταυτὶ ἐν ἀρχῇ τῶν διαφορᾶν ἐδίδασκον, ἵνα μὴ ὀκτὼ ποιότητας ἔλεγεν ὑπάρχειν τοῖς σφυγμοῖς. ὡς γὰρ μέγεθος καὶ τάχος, καὶ σφοδρότητα, καὶ τἆλλα. τί τὸ κωλύον ἓν καὶ βαρύτητα προσγράψαι. πόθεν αὖτε πάλιν ἡ καινὴ προαγωγία. βαρὺς σφυγμός ἐστι τίς. πόσω μενοῦν ὦ Ἀρχίγονε, ἑρμηνευτὸν ἡμῖν εἰ γε μὴ μόνον ὀνόματα γεγραφὼς ἐστι, πρᾶγμα δ' οὐδὲν ἐργικόν. ἐστι τις σφοδρὸς σφυγμός, ὡς οἱ μὴ προαγωγευταὶ ἔγραψαν, ἀντιβατικὸς ἢ τὴν πληγήν. διάγνωσις δ' αὐτοῦ δηλοῦντων τὴν ἀρτηρίαν, οὐκ ἂν πολὺς γανόντων. αἰτία δ' ἄλλη μὲν κατ' ἄλλον, ἄλλη δὲ ἡ τοῦ τονώδους ὑμᾶς ῥώμη τοῦ τόνου. λέξον μοι καὶ πρὸς τοῦ βαρέος ὡσαύτως, τήν τε φύσιν αὐτοῦ, καὶ τὴν διάγνωσιν, καὶ τὴν αἰτίαν. ἢ γελοιότατον ἂν εἴης, τὶς μὲν ἐστι σφοδρὸς σφυγμός, καὶ ταχύς, καὶ μέγας, ἐγκεχυμένος τε καὶ ὀρθιζόμενος, οὓς καὶ χωρὶς ὁρισμῶν γνωρίζομεν ἄν, εἰ γε μὴ παντάπασιν ἀηθεῖς ἡμῖν ἑλληνικῆς λέξεως; τίς δ' ὅστις ὁ σφυγμὸς ὁ βαρὺς οὗτος, ὃν ἐπεισάγεις ἡμῖν καινὸν οὐκ ἐγκεχυμένος, ἀλλ' ὑπολαμβάνων εἰ τόνημα μόνον γράψειας εἰρηκέναι τι πλέον. ὅπερ δὲ οὐ λέγειν, ἀλλὰ λαλεῖν, δῆλόν. εἰ μὲν ὃν βούλει κατὰ τὴν κωμῳδὴν, λαλεῖν ἄριστος, ἀδιαπτώτατος λέγειν, ἕτερος ἂν εἴη λόγος. εἰ δ' οὐ λαλεῖν, ἀλλὰ λέγειν, τί καὶ διδάσκειν ἐθέλεις, δηλοῦν ἡμῖν, τίνι τῶν αἰσθήσεων, καὶ πῶς διαγνωσόμεθα τὸν βαρὺν ὅστερ σφυγμόν. ἐγὼ μὲν γὰρ οὐδὲ λίθῳ βαρεῖ, οὐδὲ ξύλῳ δύναμαι διαγνῶναι, μὴ ταῖς χερσὶν ἁράμενος, ἢ ἀναθέμενος τοῖς ὤμοις, ἢ ἐξαρτησάμενος τῷ τραχήλῳ. πότερον οὖν καὶ τὴν ἀρτηρίαν τοῦ νοσοῦντος ἐν ταῖς χερσὶ βασάζοντας ἡμᾶς, ἢ ἀναθεμένους δήσει διαγιγνώσκειν, οὕτως ὁ βαρὺς τῷ σφυγμῷ, ἢ τί κελεύεις ὦ ἀρχίγονε. πῶς δὲ ταῦτα τῷ ἀπ' αὐτοῦ τις γέρων σεμνὸς γνενεκοντούτης, ὦ τᾶν, ὦ τέκνον ἔφη, ἐκ λελυμένου καὶ νωχελοῦς, καὶ βραδέος, καὶ μέλλοντος ὁ σφυγμὸς ἂν εἴη. πάλιν οὖν ἡμεῖς ἐφαμεν, ὦ πάτερ, ἐκλελυμένον τινὰ λέγεις, ἆρα γε τὸν βραδύν, ἢ τὸν ἀραιόν. οὐ γὰρ συνίεμεν. ὀλίγον οὖν διασιωπήσας πρὸς βραδὺ ἀπεκρίνατο. καὶ μήν πορίζεταί γε τὸ νωχελὲς ἔφη, οὐκ ἂν ἐροίμην σε. δῆλον γὰρ ὅτι καὶ τοῦτο βραδὺ εἶναι φήσειεν. ἀλλὰ τὸ μέλλον ἔφη οἶμαι βραδὺς δεῖ. ἐκ τούτων συνεὶς ὁ γέρων ὡς ἐπάντων τῶν τεταράχθαι ὀνομάτων ἓν ἐδείκνυτο δηλούμενον πρᾶγμα, βραδύτης σφυγμοῦ, παρακέκλευσθαί τε καὶ φιλονεικεῖν ὑπῆρξατο. μὴ πρῶτον μὲν τὸν μέλλοντα πρὸς αὐτὸ κληθέντα σφυγμὸν οὐ κατὰ τὸ βραδὺ τῆς κινήσεως. ἀλλὰ κατὰ τὸ τῆς ἡσυχίας ἔφασκε μῆκος κεῖσθαι. ὅπερ γὰρ ἐστὶν τὸ μέλλειν, ὀκνεῖν ἄρξασθαι. μετὰ δὲ ταῦτα καὶ τὸν ἐκλελυμένον τ' καὶ τὸν νωχελῆ τὸν οἷον ἄῤῥωστον ἔλεγεν. ἐκλελύσθαι γὰρ καὶ ἀσθενεῖν, καὶ ἀῤῥωστεῖν ταυτὸν δηλοῖ. ἐγὼ τοίνυν πρὸς αὐτὸν ὑπολαβών, οὐδὲν ἔφην πρᾶγμα. καὶ γὰρ εἰ δύο τρία καὶ τρίτον ἀναθέσθαι πρὸς τῶν αὐτῶν ἐθέλεις, συγχωρήσομέν σοι. ζητοῦμεν γὰρ ἀῤῥωστεῖν τἀληθές, οὐκ ἀμφισβητοῦμεν φιλονεικοῦντες. ἔσωσαν δὴ ἔφην, ὁ μὲν μέλλων κατὰ τὸ τῆς ἡσυχίας μῆκος νενομικώς, ὁ δὲ ἐκλελυμένος, καὶ νωχελὴς κατὰ τὴν ἀῤῥωσίαν. ἀναμνήσθητι τοίνυν ὡς βαρὺν ἔφησθα σφυγμὸν εἶναι τὸν ἐκλελυμένον, καὶ νωχελῆ, καὶ βραδύν, καὶ μέλλοντα. ἀφέστηκε δέ μοι πρὸς τῶν σημαινομένων ἀξιώσαντος μαθεῖν, ἓν ἀρχὴ μὲν οὐδέν πλέον ἅπαντος τοῦ βραδέος ἐφαίνετο λεγόμενον. νυνὶ δὲ τὸν μὲν ἐκλελυμένον, καὶ νωχελῆ, τὸν οἷον ἄῤῥωστον ἔφαμεν εἶναι. τὸν μέλλοντα δὲ ἢ τὸ μῆκος τῆς ἡσυχίας νενοεῖσθαι. ἢ βραδὺν ἢ βραδὺν οὐκ ἔτι μένειν. ἆρα οὖν ἀπόκρινασθαί μοι τὸν ἀραιόν, εἰ μὴ τὸν ἀμυδρὸν λέγεις. ἀλλὰ λέγω φησί. τί δὲ τὸν ἡσυχάζοντα μέχρι πολλοῦ. ἆρ' οὐ καὶ τοῦτον ἀραιὸν ἐρεῖς; ὁμολογεῖ. πραίνοιτ' ἂν οὖν ἔφην ἐκ τῶν ὁμολογουμένων ὁ βαρὺς σφυγμὸς ἀμυδρὸς τῇ ἅμα καὶ βραδὺς εἶναι, καὶ ἀραιός. ἐσιώπησεν ὧδε πρὸς τούτοις ὁ προσθεὶς μάλα σεμνῶς. ἀλλ' εἰ καὶ τοῦτ' ἔφην οὐκ ἂν εἴη ποιότης ἑτέρα τις, παρ' ἃς ἅπαντες λέγουσιν ἡ τοῦ βαρέος, ἀλλ' ὄνομα κατὰ τριῶν ποιοτήτων συνόδου κείμενον. τὸν γὰρ ἀμυδρὸν ἅμα καὶ βραδὺ, καὶ ἀραιὸν βαρὺν εἶναι φήσομεν. οὐκ οἶδ' ἔφη τί λέγεις, καὶ φιλονεικεῖς μαχόμενος, καὶ τοῦτ' ἐπὸν ἁπλᾶ ἁπλᾶ, προσβλέψας ἡμῖν ὧδε πικρικόν τι καταγνωσικόν. ἀλλ' ἡμεῖς μετ' ὀλίγας ἡμέρας ὧδε νοσοῦντος τινός, αὐτοῦ τε παρόντος ἐκείνου τοῦ γέροντος, καὶ ἄλλων πολλῶν δυσβουλίων ἰατρῶν, καὶ πάντων παραπομένων ὧδε τοῖς ὑπάρχουσι τῷ πάμνοντι συμπτώμασι, κοιλίαν ἐκταραχθήσεσθαι προεπόντος, ἔστ' ἐρωτώμενοι πρὸς αὐτῶν ὁπόθεν αὐτὸ προειρήκαμεν, πόνον εἰπόμεν εἰς γαστέρα οὐδεὶς ἀφεῖδε. διδάσκουσι δ' αὐτοὺς, ὡς πολλοῦ δέουσι τὰ τηλικαῦτα μανθάνειν, μὴ δὲ τὰ βραχύτατα γινώσκουσιν. ὀλίγων δ' ὕστερον ἡμερῶν, ἐξ ἀρίστου μικτῆρος ἀμυδρᾶς ὀλιγουρίαν προεπόντος, ἔστ' αὖθις παρελθόντας εἰσιόντας, ἔστα ἄλλο τι καὶ ἄλλο, τὸ μὲν προγνόντος, τὸ δὲ θαρραλεύσαντος, ὧν ἐδεήθησαν ἐκείνοι, δεομένοις αὐτοῖς εἰπεῖν ἐκ τίνος τὰς τοιαύτας θεωρίας πολεύεται, μὴ πράττειν, διαπαντὸς ἐσιωπῶμεν, ἐκείνοις μὲν οὐδὲν ἀποκρινόμενοι, πρὸς δ' ὑμᾶς αὐτοὺς λέγοντες τὸ τοῦ κωμικοῦ, ὡς οὔτε σκεβρὸν ὀρθῶται ξύλον, οὔτε γεγραμμένον μεταπεσὼν μοχλεύεται. θᾶττον γὰρ ἂν τις τοὺς ἀπὸ Μαιῶτου καὶ Χρυσοῦ μεταδιδάξειεν, ἢ τοὺς ταῖς αἱρέσεσι προσεπικότας ἰατρούς τε καὶ φιλοσόφους. ὥστ' ἐγὼ τελευτῶν ἔγνων κομψὰ αἰνεῖν μακρὰν ἀδολεσχίαν πρὸς μηδενὸς αὐτοῖς ὅλως διαλεγόμενος. καί μοι ὅπερ πράττεται καὶ πραχθήσεται. καὶ τὰ μὲν γράμματα καφῶς εἰδὼς ἀνωφελῆ πᾶσιν ὀλίγου δεῖν ἐσόμενα, πλὴν ἑνός ἴσως τινός, ἢ δυοῖν, οἳ ἂν καὶ φύσει θαυμασίᾳ, καὶ διδασκαλίᾳ καὶ μελέτῃ χρήσωνται, καὶ πρὸ τούτων ἁπάντων ἔξω τῆς πρὸς τὰς αἱρέσεις κατασῶσι μανίας, ὅμως γράφω, ἅμα μὲν παιδιὰν οὐκ ἄμουσον παίζων, ἅμα δὲ εἰς τὸ τῆς λήθης γῆρας, ὡς ὁ πλαστὼν φησὶν ὑπομνήματα ἑαυτῷ παρασκευαζόμενος, ἅμα δὲ καί τισι τῶν ἑτέρων δηλῆσι χαριζόμενος. ἀλλὰ πρὸς μὲν τὴν πολαζούσης ἀμαθείας ἅμα καὶ φιλονεικείας ἀρκεῖ καὶ ταῦτα. πρὸς ἃ δὲ προθέμεθα λέγειν, ἐπαίμιλλον αὖθις, ὑπολειπτέον τοῖς ἑπόμενα διδαξομένοις, ὡς ὁ βαρὺς σφυγμὸς ὄνομα μόνον ἐστὶ, πρᾶγμα δ' οὐδέν ἐστιν. εἰ γὰρ ὡς ὁ σοφώτατος τῶν καθ' ἡμᾶς ἀρχιγενείων ἀναγκαζόμενος αὐτὸν ἐξηγεῖσθαι, μετελάμβανεν, ἀμυδρὸς ἔσαι καὶ βραδὺς,

βραδὺς, καὶ ἀραιός. εἰ δὲ τὸν τοιοῦτον σφυγμὸν ἐνδείκνυσθαι φαῖεν ὑπὸ πλήθους βαρύνεσθαι τὴν φύσιν, καὶ διὰ τοῦτο καλεῖσθαι δεῖν βαρὺν σφυγμὸν, ὥρα καλεῖν αὐτοὺς οὐ βαρὺν μόνον, ἀλλὰ καὶ ὠμὸν αὐτὸν καὶ ψυχρόν. ὃς οὐδὲν ἧττον πλήθους ὠμότητος χυμῶν, καὶ κατάψυξιν ἐνδείκνυσθαι δύναιτ' ἄν. οὕτω δ' οἶμαι καὶ χολώδη τινὰ, καὶ φλεγματώδη σφυγμὸν ὀνομάζειν οὐκ ὀκνήσομεν ἂν ἅπαξ τῶν ποιούντων αὐτοὺς αἰτίων τὰς προσηγορίας αὐτοῖς τοῖς σφυγμοῖς ὑπαφέρειν ἐθίσωμεν. ὅπερ οὖν ἀεὶ λέγεται τὸ μὴ διωρεῖσθαι παρ' αὐτοῖς, ἰδίᾳ μὲν τὴν περὶ διαφορᾶς σφυγμῶν πραγματείαν, ἰδίᾳ δὲ τῇ περὶ διαγνώσεως, ἰδίᾳ δὲ τὴν περὶ τῶν ἐν αὐτοῖς αἰτίων, ἰδίᾳ δὲ τῇ περὶ προγνώσεως, εἰς τὰς τοιαύτας ἀδολεσχίας ἐμβάλλει. ὁ γ' οὖν ἀρχιγένης περὶ πρώτου πάντων γράφων τοῦ κατὰ τὸ μέγεθος γένους τῶν σφυγμῶν, οὔτε τῶν ποιούντων αὐτοὺς αἰτίων, οὔτε τῆς ἐξ αὐτῶν προγνώσεως ἐμνημόνευσεν, ἀλλὰ τὰς διαφορὰς τῶν κατὰ τὸ γένος τοῦτο συνισταμένων σφυγμῶν, καὶ τοὔνομα ἑκάστης αὐτῶν ἐδίδαξε. βραχέα μὲν πρὸ πρεμβάλλων αὐτοῖς τῆς διαγνώσεως, ἀλλ' οὐδὲ αὐτὸ τοῦτο γινώσκων. ὡς ἐν τοῖς ἑξῆς ἀποδειχθήσεται. δευτέρου δὲ τοῦ κατὰ τὴν σφοδρότητα γένους μνημονεύων τὰς τρεῖς ὁμοῦ διδασκαλίας συνέχεεν, οὐ περὶ διαφορᾶς μόνον καὶ διαγνώσεως, ἀλλὰ καὶ περὶ τῶν ποιούντων αὐτῶν αἰτίων διαλεχθείς. κἂν τῇ περὶ πληρότητος ἔτι μᾶλλον ταραχθεὶς, ἑξῆς ἐν τῇ περὶ ῥυθμῶν, ὀλίγα μὲν προσήψατο, τῆς διαγνωστικῆς θεωρίας. τὰ πλεῖστα δὲ ἐν τῇ πρώτῃ κατέμεινεν. ἐν μόνῃ δὲ τῇ περὶ τάξεως τε καὶ ἀταξίας, ὁμαλότητός τε, καὶ ἀνωμαλίας τὸ πρῶτον μέρος τῆς περὶ τοὺς σφυγμοὺς θεωρίας ἠδυνήθη φυλάξαι καθαρὸν, μήτε περὶ διαγνώσεως, καὶ προγνώσεως τῆς ἐξ αὐτῶν, ἀλλ' οὐδὲ περὶ τῶν αἰτίων οὐδὲν εἰπὼν ἐνταυθοῖ. ἐν δὲ τῷ περὶ τοῦ βαρέος τε καὶ ἀβαροῦς ὡς αὐτὸς ὀνομάζει λόγῳ, πρὸς τοῖς ἄλλοις ἔτι καὶ τοῦτο θαυμαστῶς οὕτως ἔγραψεν. ὃν ἀμαυρὸν σφυγμὸν ἤδη τινὲς ἐκάλεσαν. τίνευ ὦ οὗτος ἔχρην εἰπεῖν; ἐκ ποίας σκυθίας ἥκοντες; ἵνα γνῶσιν ὡς οὐδὲν πλέον δηλοῖ τὸ ἀμαυρὸν ὄνομα, τοῦ ἀμυδροῦ, ἄμφω γὰρ κατὰ τοῦ αὐτοῦ λέγουσιν οἱ ἕλληνες. ἀλλὰ συνηθέστερον αὐτοῖς τὸ ἀμυδρόν. οὗτοι μὲν δὴ δύο σφυγμοὶ βαρύς τε καὶ ἀβαρὺς, ἀρχιγένεια δῶρα, μέχρι τοῦ λαληθῆναι προελθόντες, οὐδεμίαν ἔχουσι διάγνωσιν. οἱ δ' ἐφεξῆς αὐτῶν ἔτ' ἀλλοκοτώτερον σύγκεινται. τίς γὰρ ἐστὶ ἡ ἔσω ῥέπον τὸ βάρος ἔχουσα διαφορὰ σφυγμῶν, ἐγὼ μὲν οὐκ οἶδα. καὶ διὰ τοῦτο πάλιν ἠναγκάσθην ἐρωτᾶν τοὺς ἀπ' αὐτοῦ, τί ποτε εἴη τὸ αἴνιγμα. τῶν δ' αἰνιγματωδέστερόν τε καὶ ἀλλοκοτώτερον τε αὐτοῦ τοῦ συγγράψαντος ἀκκρινομένων, ἔγνων βεβαίως, ὡς εἰσὶν ἄρα τινὲς ἄνθρωποι θαυμάζοντες ἃ μὴ νοοῦσι. καὶ μοι δοκεῖ τοῦτ' αὐτὸ κατανοήσας ὁ ἀρχιγένης, ἑκὼν εἶναι πολλαχόθι γράφων ἀσαφῶς. ἐγὼ μὲν οὖν οὐδὲ χωρὶς τοῦ γελᾶν δύναμαι μνημονεῦσαι ποτε τοῦ ῥέποντος ἔσω βάρους. δῆλον γὰρ ὡς ἕτερόν τι βάρος ἔξω ῥέπον ἐστί. καὶ τοῦτο μὴ ὡς οἶμαι τῷ δέρματι τῆς ἀνθρώπου βαρύ. τὸ δ' ἕτερον τοῖς ὀστοῖς ἐστί. πῶς γὰρ ἂν ἄλλως τὸ μὴ ἔξω, τὸ δ' εἴσω ῥέπειν λέγοιτο τὸ δὲ παραπεποδισμένην, καὶ πεπισυμένην, καὶ δεδυκυῖαν ὀνομάζειν τινὰ διαφορὰν σφυγμοῦ, ἆρ' οὐ καὶ αὐτὰ τῶν ἐξηγησομένων δεῖται; τίς γὰρ ἐστὶ ἡ παραπεποδισμένη; καὶ γὰρ ἡ βραδυτέρα, ἢ χρὴ κινουμένη παραπεπόδισται. καὶ ἡ ἀραιοτέρα, ἢ προσήκει, καὶ ἡ διαλείπουσα, καὶ ἡ ἐκλείπουσα, καὶ ἡ ἀνώμαλος πᾶσα καὶ ἡ ἄτακτος, καὶ ἡ ἄρυθμος, ἀλλὰ καὶ ἡ μικροτέρα τοῦ δέοντος, καὶ ἡ ἀμυδροτέρα, πάντως δή που καὶ αὗται τῶν παραπεποδισμένων εἰσίν. ὅλως γὰρ τὸ παραπεποδίσθαι μᾶλλον αἰτίας ἐστὶ, ἢ διαφορᾶς σφυγμοῦ δηλωτικόν. ἡ δ' αὖ πεπισυμένη, καὶ αὕτη πότερον ἀμυδράτις ἐστὶ, ἢ σμικρά. ἢ τί μέν τοι βούλεται κἀπὶ τῆς δεδυκυίας διαφέρειν; δόξειε γὰρ ἂν ἡ δεδυκυῖα μικρὰ τὶς ὑπάρχειν. ἀλλ' ἴσως μὴ ἡμεῖς σκαιοὶ παντάπασιν ἐσμέν. ἀρχιγένης δὲ μονονοὺ, αὐτὸς ὁ ἑρμῆς, ἕνεκα συνέσεως. ἐχρὴν οὖν αὐτὸν ὡς θεὸν ἀνθρώπους διδάσκειν ὑπεχειροῦντα, μὴ μόνον ὀνόματα γράφειν, ἀλλὰ καὶ διαγνώσεις, ὡς ὑπὸ τῶν σαφεστέρων ἐποίησεν. ἀλλ' εἴπερ ὅλως ἐπεχείρησεν, αἰσθητοῖς γνωρίσμασι διακρίνειν αὐτοῦ. οὐκ ἂν οὕτως μάταια λέγων ἐλάνθανεν, ὥσπερ οὖν καὶ ἡμῶν ἑτέρους πλείονας ἄχρι λόγου συνθεῖναι δυναμένων. καὶ δὴ λόγῳ, πρῶτον μὴ τὸν ἀναπεπτομένον σφυγμόν. οὐ γὰρ δή που δεδυκότα μὴ ἐκείνῳ λέγειν ἔξεστιν, ἀναπεπτομένον δ' ἡμῖν, οὔ. καὶ νὴ δι' ἄλλον νηχόμενον, ἤδη δὲ καὶ γλίσχρον, καὶ κραύρον ἐρῶ, καὶ μέλανα, καὶ λαμπρὸν, καὶ καθαρὸν, καὶ θολερὸν, καὶ δεινὸν, καὶ ἱλαρόν. καί που καὶ βλιτυριζόμενον ἐρῶ σφυγμὸν, καὶ σκινδαψιζόμενον εἰ χρὴ λέγειν ὀνόματα μόνον. ἀλλὰ καὶ τὸ βλίτυρι φασὶ, καὶ τὸ σκινδαψὸς ἄσημα παντελῶς ἐστί. τὰ δ' ἀρχιγένους δῆλα. τί ληρεῖς ἄνθρωπε ἑκών. καὶ γὰρ τὸ βλίτυρι κροῦμα τι δηλοῖ, καὶ τὸ σκινδαψὸς, οὐκ οἰκέτου μόνον, ἀλλὰ καὶ ὀργάνου τινὸς ἐστὶ ὄνομα. τί δὴ φήσει τοῦτο τὶς οἶμαι πρὸς τοὺς σφυγμούς. τί δὲ ἃ σὺ λέγεις ὀνόματα πρὸς αὐτοὺς ἐστὶ, τά τε μικρῷ πρόσθεν εἰρημένα, καὶ ὁ ἀκκεκρημνισμένος, καὶ ὁ τρύζων, καὶ ὁ ὑγροφανὴς, καὶ ὁ καρώδης, καὶ βομβῶν, καὶ ὁ ἐκτεθαμβημένος, καὶ ὁ ἀναληθὴς, καὶ ὁ ἀτενὴς, καὶ ὁ ἀδρανὴς, καὶ ὁ ἀκπεπηγὼς, καὶ ὁ διαπεφυσημένος, καὶ ὁ διηγκωνισμένος, καὶ ὁ ἐγκαλυπτομένος, καὶ ὁ ἐξώστης, καὶ ὁ ἐμβριθὴς, καὶ ὁ ἐγκρέκων, καὶ ὁ νότυλος, καὶ ὁ κατανεναγμένος, καὶ ὁ διανεναγμένος, καὶ ὁ λαγαρίζων, καὶ ὁ ὑποκλεπτόμενος, καὶ ὁ ῥακώδης, καὶ ὁ σεσοβημένος, καὶ ὁ σκυθρωπῶς ἀποχωρῶν. ὅ, τε τῆς ἀρτηρίας ὀλκίμου προσπιπτούσης, ἄλλων τε τοιούτων ὀνομάτων πάμπολυ πλῆθος, ἅπερ ἰδίᾳ μὴ τί καθ' αὐτὰ δηλοῖ. κοινὸν δὲ αὐτοῖς πρὸς τοὺς σφυγμοὺς οὐδέν ἐστι. ὥσπερ οὐδὲ τὸ ὑγρότερον ἐξωθεῖν λέγεσθαι τινὰ σφυγμόν. ἐνταῦθα γὰρ πάλιν ἀκρπλανᾶται τῆς τῶν σφυγμῶν διδασκαλίας ὁ ἀρχιγένης ὑγρότητος μνημονεύων, εἰς μὴ τὰς προγνώσεις χρησίμου πράγματος, ἀλλ' οὐκ ἐκ τῆς περὶ σφυγμῶν θεωρίας. μίξας οὖν αὐτῇ τῇ ἐξερεστικῇ πρὸς αὐτοῦ κληθείσῃ πληγῇ μηδὲν διαφερούσῃ τοῦ σφοδροῦ σφυγμοῦ διαφοράν τινα προσποιεῖται ἑτέραν ταύτην διδάσκειν οὖσαν οὐχ ἑτέραν, ἀλλὰ σφοδρὸν σφυγμὸν μεθ' ὑγρότητος. εἶτα ἐξαπατᾷ τὴν ἰδιώτην τῆς θεωρίας, ὡς μέγά τι προσγράψας, τὸ, οἷα ἀκρ τροφῆς μάλιστα νεαρᾶς ἐγγίνεται. ἡ γὰρ ἐξερεστικὴ πληγὴν φησίν. αὐτὴ μὴ ὑγρότητος ὑγροτέρου ἀκρ τροφῆς μάλιστα νεαρᾶς γίγνεται, τίς λόγος καὶ φησὶν ὦ ἀρχιγένες ἀληθὲς τοῦτο λέγεις. ἀλλὰ ἀδιαρθρώτης τε καὶ συγκεχυμένως. καὶ διὰ τοῦτο ἀσαφῶς. ἐχρὴν γὰρ οὕτως εἰπεῖν ὑπὸ τροφαῖς προσφάτοις σφοδρὸς γίνεται σφυγμὸς μεθ' ὑγρότητος. τοῦτον δ' οὐκ ἔστι ἄλλον τινὰ παρὰ τὸν σφοδρὸν σφυγμὸν εἰπεῖν, ἀλλὰ σφοδρὸν σφυγμόν, καὶ ἄλλο τί ὃ οὐκ ἔστι ὅλως

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 42 sur 494

σφυγμὸς, πρὸς τῷ καὶ ἀκαίρως ἅπτεσθαι κοινῆς θεωρίας, τοῦ τε περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων τόπου, καὶ τοῦ περὶ τῆς δι' αὐτῶν προγνώσεως. ἐν ἐκείνοις γὰρ ἄμεινον ἦν εἰπεῖν ὑπὸ τροφῆς ποῖος τις σφυγμὸς γίνεται. καὶ ἡμεῖς λέγομεν ὦ Ἀρχίγενες, οὐχ οὕτως ῥαθύμως, ὥς σου νῦν, ἀλλὰ μετὰ τῶν οἰκείων διορισμῶν οὐ γὰρ ἁπλῶς ὑπὸ τροφῆς πασῆς σφοδρὸς μεθ' ὑγρότητος γίνεται σφυγμὸς, ἀλλὰ καὶ ὑπὸ τῆς συμμέτρου μὲν κατὰ ποσὸν, ὑγρᾶς δὲ κατὰ τὸ ποιόν. οὔτε γὰρ ἡ πλείων τροφὴ σφοδρὸν τὸν σφυγμὸν, ἀλλ' ἀνώμαλον ἐξ ἀμυδρῶν καὶ σφοδρῶν καὶ μέσων. οὔτε ἡ ξηρὰ τὸν ὑγρὸν ἐργάζεται. ὥστε τῇ μὲν ὑγρότητι τῆς τροφῆς ὑγροτέρου ποτὲ γενομένου τοῦ δέρματος. οὐδὲ γὰρ διὰ τοῦτο διαπαντὸς, ἀλλὰ δεῖται τινὸς διορισμοῦ. τῇ συμμέτρῳ δ' αὖ κατὰ τὸ ποσὸν τροφῇ πάντως ἑπομένης σφοδρότητος ἄμεινον ἐστὶ, ὑγρότητος μὲν μηδόλως μνημονεύειν, ἥ γε οὐδὲ τρέπει ποτὲ κατὰ τὸν ἑαυτῆς λόγον τοὺς σφυγμούς. τροφῆς δὲ συμμέτρου μνημονεύοντας σφοδρὸν ὑπ' αὐτῆς λέγειν γίνεσθαι τὸν σφυγμόν. ἀλλὰ τοῦτο καὶ ἀληθὲς ἦ, πρώτης μὲν τῆς τῶν ἐν σφυγμοῖς αἰτίων ἐστὶ διδασκαλίας, ἐφεξῆς δὲ τῆς προγνωστικῆς. οὐ μὴν πρόκειτο οἱ περὶ τούτων λέγειν. εἰ δ' ἀδιορίστως ἅμα καὶ οὐκ ἐν καιρῷ γράφειν συγχωρεῖται, μὴ μόνον ὑπὸ νέας τροφῆς τὸν τοιούτον ἴσθι γινόμενον σφυγμὸν, ἀλλὰ κἂν τοῖς βαλανείοις ποτὲ, κἂν τοῖς γυμνασίοις, καὶ τοῖς θυμοῖς. γίνεται γὰρ κἂν τούτοις ἔσθ' ὅτε. καὶ πῶς καὶ τίνι τρόπῳ γίνεται, εἰ μὴν μόνον εἰπόντες ἀρκεσθείημεν, οὐδὲν δὴ πω πλέον ἐδιδάξαμεν, εἰ δὲ διοριζόμεθα τῆς προκειμένης ἀρχησόμεθα πραγματείας. μὴ τοίνυν παραφλυαρῶμεν. ἀλλ' εἴ τινα ἔχεις ἡμᾶς διδάξαι διαφορὰν σφυγμῶν ἑτέραν ὧν ἴσμεν, δίδασκε. μὴ μόνον ὀνόματα λέγων, ἀλλὰ καὶ τὸ σημαινόμενον αὐτῶν, καὶ τὴν διάγνωσιν ὅλου τοῦ πράγματος. ἐπεί τοι πάλιν ἵνα ταῦτα τὶς παραλίπῃ. συνάπτεις αὐτοῖς ἑξῆς τὸν διηγκωνισμένον σφυγμὸν παραλίπων τὸν διεζωσμένον τε καὶ ἀρπεπλεγμένον, καὶ προβεβηκότα, καὶ ἀρβεβηκότα, καὶ λακτίζοντα. καὶ γονατίζοντα, καὶ γαστρίζοντα. τίς γὰρ ἡ νομοθεσία διηγκωνισμένον μέν τινα καλεῖν, τοὺς δ' ἄλλους παραλιπεῖν. ἀλλὰ διηγκωνισμένον μέν φησι λέγομεν τὸν οἷόν τε θυμωμένον. οὐκοῦν πάλιν κακῶς παραλείπεις τὸν οἷον λυπούμενον, καὶ ὀργιζόμενον, καὶ μηνιῶντα. μὴ παῖζε φησὶ, τὸν γὰρ ἰσχυρὸν οὕτως καλοῦμεν. οὐ παίζω βέλτιστε. σύ δ' ὑπὸ τρέπεις ἡμᾶς. ἐνὸν ἰσχυρὸν εἰπεῖν, διηγκωνισμένον λέγειν. εἰ γὰρ ἰσχυρὸν εἰρήκεις, ἐπυθόμην ἂν σοι, τίς ποτέ ἐστιν οὗτος ὁ ἰσχυρός. καὶ πῶς αὐτὸν διαγνωσόμεθα. τὸν μὲν γὰρ σφοδρὸν ὅταν ἐν τῷ θλίβειν ἡμᾶς τὴν ἀρτηρίαν ἀντιβαίνῃ, καὶ τὸν ἐναντίον αὐτῷ τὸν ἀμυδρὸν, ὅταν ἀφανίζεται, θλιβόντων διαγνώσκομεν. τὸν δ' ἰσχυρὸν ἐὰν εἴπῃς καὶ τοῦτον ὅπως διαγνωσόμεθα, διδάξεις τι πλέον. εἰ δὲ μὴ, κἀνταῦθα ὄνομα μόνον οὐ πρᾶγμα προσθήσεις, ὅταν Βιαίως φησὶν ἀνατρέπῃ, καὶ ὠθῇ τὴν ἁφήν. ἀλλὰ καὶ ὁ σφοδρὸς ἀνέτρεπεν, ἀλλ' ἧττον φησὶ τούτου Βιαίως, οὐκοῦν ὑπὸ τεταγμένον σφοδρότητι λέγεις, τὸν ἰσχυρὸν δὴ τοῦτον, καὶ διηγκωνισμένον σφυγμόν; ναὶ φησὶν οὕτω λέγομεν. ὥρα τοίνυν ἡμῖν καὶ τὸν ὑπὸ τεταγμένον τῷ τάχει, μὴ τάχιστον, ἀλλ' ἄλλο τι καλεῖν. καὶ τὸν ὑπὸ τεταγμένον μεγέθει μὴ μέγιστον, ἀλλ' ἕτερόν τι, καὶ τοὺς ἄλλους ὡσαύτως. εἰ δ' ἐκείνοις ἀρκεῖ τάχιστον εἰπεῖν, καὶ μέγιστον καὶ βραδύτατον καὶ ἀραιότατον καὶ πυκνότατον, ἀρκεῖ κἀνταῦθα σφοδρότατον εἰπεῖν, καὶ μὴ νομίζειν παρακειμένης τινὸς τῇ σφοδρότητι μνημονεύειν ἑτέρας διαφορᾶς. αἱ γὰρ ἐν ἑκάστῳ τῶν γενῶν ἐπιτάσεις οὐκ εἰσὶν ἔξω τοῦ γένους. οὔτε γὰρ τὸ λίαν λευκὸν, ἄλλο τι καὶ οὐ λευκὸν ἐστί. οὔτε τὸ λίαν μέλαν, ἄλλο τι καὶ οὐ μέλαν. οὐκοῦν οὐδὲ τὸ λίαν σφοδρὸν, ἄλλο τι καὶ οὐ σφοδρόν. ἅπαντ' οὖν τὰ τοιαῦτα λῆρος ἐστὶ μακρὸς, ἐξ ἀνάγκης ἑπόμενα τῷ μὴ διηρθρῶσθαι καλῶς ἀπ' αὐτῶν, μήτε τὴν ἔννοιαν ἑκάστου τῶν σφυγμῶν, μήτε τὴν οὐσίαν, μήτε τὴν διάγνωσιν, μήτε τὰς αἰτίας ὑφ' ὧν γίγνωνται. χρὴ γὰρ ὡς ἤδη πολλάκις εἴρηταί μοι, τὸν ἀληθείας ἐφιέμενον ἀρχὴ τῶν πραγμάτων αὐτῶν ἀρξαμένον, ὁπόσα τε ταῦτα ἐστὶ καὶ ὁποῖα διορίσασθαι. κἀπειθ' ἑξῆς αὐτοῖς ὀνόματα θέσθαι. καὶ μετὰ ταῦτα περὶ τῆς διαγνώσεως εἰπεῖν. εἶτ' ὑπὸ τοῖς δὲ, τῆς αἰτίας, εἶτα τῆς προγνώσεως, ὅπερ ἡμεῖς πεποιήκαμεν. ἐν μὲν τῇ δὲ τῇ νῦν ἐνεστώσῃ πραγματείᾳ τὰς διαφορὰς ἁπάσας ἐπελθόντες τῶν σφυγμῶν, ἐν δὲ τῇ περὶ διαγνώσεως ὅπως χρὴ τοὺς δακτύλους ὑπὸ βάλλοντα καθ' ἑκάστην αὐτῶν ἀκριβῶς αἰσθάνεσθαι. καὶ μετὰ ταῦτα τὴν περὶ τῶν αἰτίων πραγματείαν συνθέντες, εἶτα τὴν προγνωστικὴν, ἀλλὰ νῦν γε, περὶ μὲν τῆς πρώτης ὁ λόγος ἡμῖν ἐστὶ, ἧς τὸ χρήσιμον αὐτὸ πρὸς τὰ τῆς τέχνης ἔργα, διὰ τοῦ πρώτου βιβλίου δεδήλωται, κεφαλὴν ὑπὸ θῶμεν ἤδη τῷ περὶ σφοδρότητος λόγῳ. ἔστι δέ τις σφυγμὸς ὁ ἀνατρέπων τὴν ἁφήν. τουτέστι ἰσχυρῶς τε καὶ ἀντιβατικῶς πλήττων. τοῦτον εἴτε σφοδρὸν εἴτ' εὔτονον, εἴθ' ὅτι βούλεται καλεῖν τις οὕτω θέμενος, ἴσω διαγιγνωσμόμενον αὐτὸν, ἐρειδόντων ὑπὸ πλεῖον τοὺς δακτύλους, οὐκ ὑπὸ πολῆς ψαυόντων. αἰτία δ' αὐτοῦ ῥώμη τῆς τοὺς σφυγμοὺς ὑπὸ τελούσης δυνάμεως. εἰ μὴ οὖν ἡμεῖς πρῶτοι τὴν ὅλην ἐξουσίαν εἴχομεν τῆς θέσεως τῶν κατὰ τὴν ἰατρικὴν ὀνομάτων, εὔτονον ἂν οὐ σφοδρὸν ἐκαλέομεν τὸν τοιοῦτον σφυγμόν. ἐπεί δ' ἔφθασεν ὑπὸ τῶν πλείστων ὀνομάζεσθαι σφοδρὸς, οὐ μετατίθεμεν τοὔνομα. καί τοι γινώσκοντες πρὰ τοῖς ἕλλησι τὸ τῆς σφοδρότητος ὄνομα, κατ' ἐνεργείας ἀεὶ λεγόμενον, ἰσχυρᾶς τε ἅμα καὶ ταχείας. παλαίσματά τε γὰρ ὀνομάζεται σφοδρὰ τὰ μετὰ συντονίας τε ἅμα καὶ τάχους γινόμενα. καὶ ἄνθρωποι κατὰ τὸν αὐτὸν τρόπον, ὅταν εὐτόνως τε ἅμα καὶ ταχέως ἐνεργῶσι, σφοδροὶ προσαγορεύονται. καὶ δὴ καὶ τὸ τῶν λεόντων γένος, ἅπαντες ὀνομάζουσι σφοδρὸν, ὅτι καὶ τοῦτο μετὰ συντονίας τε ἅμα, καὶ τάχους ἐνεργοῦν ὁρῶσιν, ὥστ' εἴπερ ἦν ἐπ' ἐμοὶ θέσθαι τοὔνομα, τὴν μὴ ἁπλὴν ποιότητα τῶν ἀντιβατικῶν τε καὶ ἀνατρεπτικῶν τῆς ἁφῆς τῶν σφυγμῶν, ἰσχὺν ἂν ἢ ῥώμην ἢ εὐτονίαν, ἢ τι τοιοῦτον ἕτερον ὠνόμασα. τὴν δ' ἐκ ταύτης ἅμα καὶ τάχους συνθέρον οὐκ ἐκάλεσα σφοδρότητα. νυνὶ δ' ἐπειδὴ τὸ τῆς σφοδρότητος ὄνομα δι' ἔθους ἐγένετο τοῖς πλείστοις τῶν ἰατρῶν ὑπὸ μιᾶς τῶν πρώτων λέγεσθαι διαφορῶν, ἔγνων χρῆναι μὴ φεύγειν αὐτό. καὶ διὰ τοῦτο τὸν μὴ εὑρώστερον πλήττοντα σφυγμὸν ὠνόμασα σφοδρὸν, τὸν δ' ἀρωστὸς ἀμυδρὸν, οὐδὲν διαφέρον ἢ εὐρώστως ἢ ἰσχυρῶς, ἢ Βιαίως, ἢ εὐτόνως εἰπεῖν. αἰτίαν δ' αὐτοῦ ῥώμην τῆς κινούσης τὰς ἀρτηρίας δυνάμεως εἶναι φησὶ, διαγνωσιν δὲ τῶν δακτύλων εἰς βάθος ἐρειδομένων. ἐν γὰρ τῷ τοιούτῳ τρόπῳ τῆς ἐπαφῆς, ὁ μὴ ἰσχυρὸς σφυγμὸς,

ἰσχυρότερος

ἰσχυρότερος φαίνεται, βιαιότερον ἀνθιστάμενος τοῖς θλίβουσι διακτύλοις. ὁ δ' ἀσθενὴς οὗτος ἐνίοτε καταπίπτει τε καὶ νικᾶται πρὸς αὐτῶν, ὡς ἄσφυκτον δοκεῖν εἶναι τὸν ἄνθρωπον. ἀλλὰ περὶ μὲν τούτων ἐν ταῖς ἐχομέναις πραγματείαις ἐρῶμεν. ὁ δὲ νῦν ἐνεστηκὼς λόγος ἤδη μοι πέρας ἐχέτω. βούλομαι γὰρ ἑξῆς ὑπὲρ τὴν πολυθρύλλητον ἀφικέσθαι πληρότητα, πολλὰ πράγματα παρεσχηκυῖαν ἅπασι τοῖς ἰατροῖς τοῖς νεωτέροις, μέλλουσάν γε δή που καὶ ἡμῖν οὐκ ὀλίγα παρέξειν, οὐκ ἐν τῇ δὲ τῇ νῦν ἐνεστώσῃ πραγματείᾳ μόνον, ἀνεκτὸν γὰρ ἂν ἦν, ἀλλὰ πολὺ δὴ μᾶλλον ἐν τῇ διαγνωστικῇ. τὴν μὲν γὰρ ἐννοίαν αὐτῆς ὁμολογοῦμεν ὑπάρχειν ἐναργῆ, διάγνωσιν δὲ οὐδὲ μίαν αἰσθητὴν εἶναι φαμέν. ἀλλὰ περὶ μὲν τῆς διαγνώσεως, αὖθις εἰρήσεται. περὶ δὲ τῆς ἐννοίας, ἐπειδὴ καὶ ταύτην ἔνιοι συγχέουσιν, ἤδη λέγομεν. ἀρχὴ μὲν οὖν τῶν πραγμάτων ἀρχομένοις ἤτοι τοῦ τῆς ἀρτηρίας σώματος, ἔσται τὶς ποιότης ἡ πληρότης, ἢ τῆς ἐγκεχυμένης οὐσίας. ἀρχὴ δὲ τῶν ὀνομάτων ἐνθὲν δ' ἂν μάλιστα τὶς ὑπάρξαιτο, πλῆρες φαμὲν εἶναι τὸ κεράμιον οἴνου, καὶ πλήρη τὴν θύλακα ἀλφίτων. οὕτω δὲ καὶ τὸ θέατρον, ἢ τὸ στάδιον, ἢ τὸ βουλευτήριον ἀνθρώπων πλήρη λέγομεν, ὑπάρχειν, ὥσπερ αὖ τῆς κενά. οὕτω δὲ καὶ τὴν γαστέρα, καὶ τὸ στόμα ποτὲ μὲν φαμὲν πλήρη εἶναι, ποτὲ δὲ κενά. Πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα θύρσι γένοιτο, Πλῆρές τοι σχαδόνων, καὶ ἀπ' αἰγίλῳ ἰσχάδια τρώγοις. καὶ ὅλως ἅπαν ἀγγεῖον ἐντὸς αὐτοῦ περιέχων εὐρυχωρίαν, ἤ τοι πλῆρες ἢ κενὸν εἶναι φαμέν, ἐπειδὰν μὲν ὑφ' ἑτέρου τινὸς σώματος, εἴθ' ἑνός, ἢ καὶ πλειόνων ἡ εὐρύτης αὐτοῦ καταλαμβάνηται, πλῆρες. ἐπειδὰν δὲ μόνον ἀέρα περιέχει, κενόν. οὕτω μὴ ἅπαντες ἄνθρωποι κυρίως τε καὶ πρώτως ὀνομάζουσι. μεταφερόντες δ' ἐντεῦθεν ἤδη τινὲς ὑπὲρ τὰς ἑαυτῶν τέχνας, οὐκέτι δηλονότι κυρίως οὐδὲ πρώτως, ἀλλὰ δευτέρως τε καὶ τροπικῶς, ὁ μὲν ἔριον ὀνόμασε πλῆρες, ὁ δὲ οἶνον, ὁ δ' ἄλλο τι τῇ χρείᾳ κρίνων ἕκαστος τὸ πρᾶγμα. τὸ μὲν γὰρ διαρκῆ τε καὶ μόνιμον ἔχον αὐτὴν, ὀνομάζουσι πλῆρες, ὥσπερ τὸν οἶνον οἱ γευσάμενοι μέχρι πλείστου παραμενούσης αἰσθάνοντες τῆς ποιότητος, οὐ δ' ἂν ἐν τάχει παύηταί τε καὶ ἀφλύηται ἢ ποιότης, ἢ δύναμις, ἢ χρεία, κενὸν ἐκεῖνον προσαγορεύουσι. οὕτως οὖν καὶ τοὺς λόγους ἐνίοτε ψευδεῖς, ὀνομάζουσι κενοὺς, οὐ μήν γε ὅταν κενὸν εἶναι τινὰ λέγουσιν νοῦν μεταφορᾷ χρῶνται τηνικαῦτα, καθάπερ οὐ δ' ὅταν τοὺς μὲν ἰσχνοὺς ἀνθρώπους κενὸν ἔχειν τὸ σῶμα σαρκῶν φάσκωσι, τοὺς δὲ παχεῖς πλῆρες. ἀλλ' ἐν τούτοις φυλάττουσι τὴν ἀγγείου τε καὶ περιεχομένου νόησιν. ἐφ' ὧν ὡς ἐρέθη κυρίως τε καὶ πρώτως εἴθισται λέγεσθαι τὸ πλῆρές τε τὸ καὶ κενόν. ἕτερα δ' αὖ σώματα διάκενα λέγουσιν, οὐ κενὰ, καθάπερ σπόγγον τε καὶ κίσσηριν. οὐ δὲ γὰρ σῶμα νομίζουσι εἶναι τὸν ἀέρα, χώραν δέ τινα καὶ τόπον κενὸν ὑπὲρ τήδειον ὑπὸ δέχεσθαι σώματα. οὐ μὴν οἱ τοῦ λόγου διασκεψάμενοι τι περὶ τοῦ ἀέρος ἰατροί τε καὶ φιλόσοφοι κενὸν εἶναι παντάπασιν ὑπολαμβάνουσιν αὐτὸν, ἀλλ' οἱ μὲν τινες ὧν τῆς δόξης καὶ ἡμεῖς μετέχομεν, ἐν ὑπάρχειν σῶμα συνεχὲς ἑαυτῷ πάντη, μηδαμόθεν κενοῦ παραπλοκὴν ἔχον. οἱ δὲ τινες ἐν κενῷ πολλὰ σώματα τὰ μικρὰ τὰ πρῶτα προσφερόμενα, προσκρούοντά τε καὶ ἀφπαλλόμενα, μὴ μέν τοι περιπλεκόμενα τε καὶ συγκρινόμενα. καὶ τοίνυν καὶ τὸν κενὸν σφυγμὸν οὕτω μὲν ἡμῖν ἀδύνατον ὀνομάζειν, ὡς οἱ πολλοὶ λέγουσιν τὸν ὄντως κενόν. οὐδὲν γὰρ ἐστὶν ἐν κόσμῳ τοιοῦτον ἀλλ' οὐδὲ κατ' ὑπάρχοντος ὅλως ἐν κόσμῳ κενοῦ, πῶς ἂν εἴη τι κατ' ὑπαρκράτειαν κενόν. ὑπόλοιπον δὴ κενὸν ἡμᾶς λέγειν σφυγμὸν, ὥσπερ θύλακον, ἢ ἀσκὸν ἢ τάλαρον, ἢ σάκκον, ἢ ὅλως ἀγγεῖον ὁτιοῦν. ἀλλ' εἴπερ οὕτω λέγοιτο διχῶς ὑπανοηθήσεται τοιοῦτος γινόμενος, ἵνα μὴ τρόπον, ὥσπερ ὁ πίθος ὅταν ἀέρα μόνον ἐν αὐτῷ ἔχων, ἕτερον δὲ καθάπερ ἀσκὸς. ἢ θύλακος, ἢ τι τοιοῦτον ἕτερον, οὐ δυνατὸν ἐστὶ συμπίπτειν ἐπ' ἀλλήλους τοὺς χιτῶνας, ὥσπερ τὸν πεφυσημένον ἀσκὸν οἴνου μένειν ἀεὶ κενὸν, ἀέρος δὲ μεστόν. εἰ δὲ καὶ τοῦτον ἐκκενώσεις ὡς συμπεσεῖν πανταχόθεν ἀκριβῶς, τηνικαῦτα ἀκριβῶς γίνεσθαι κενόν. καὶ τοίνυν καὶ τὴν ἀρτηρίαν εἰ οὕτως ἐρῶμεν ὑπάρχειν κενὴν ὡς ἀέρα περιέχουσαν, ὥς τε κἂν ὑπὲρ πλεῖστον ἢ διαπεφυσημένη τε καὶ διεστῶσα κενὴν ὀνομάζεσθαι, ἢ οὐχ οὕτως. ἀλλ' ὥσπερ ἐλέγομεν ὑπὲρ τῶν ἀσκῶν. ἐπειδὰν καὶ τὸν ἀέρα τὶς ἐξ αὐτῶν ἐκκενώσῃ. κατὰ μὲν δὴ τὸ πρότερον τῶν σημαινομένων ὁ κενὸς σφυγμὸς ἔσται τοιοῦτος, οἷόνπερ ἐρασίστρατος ἀεὶ βούλεται κατὰ φύσιν ὑπάρχειν αὐτόν. κατὰ δὲ τὸ δεύτερον οὐδὲν διοίσει τοῦ μικροῦ. τὸ γὰρ δὴ τρίτον τῶν σημαινομένων, οὔτε ἀρχιγένης, οὔτε ἀγαθῖνος, οὔτε μάγνης, οὔτ' ἀθήναιος, οὔτε ἄλλος οὐδεὶς τῶν πνευματικῶν ἰατρῶν ἀληθὲς ὁμολογήσει. λέγω δὲ ὅταν ὀλίγα μὲν σώματα περιέχῃ ἐν αὐτῇ ἡ ἀρτηρία. πλείστην δὲ τὴν κενὴν χώραν. οὐ γὰρ εἶναι τοιαύτην οὐδεμίαν ἐν κόσμῳ νομίζουσιν. ἀλλ' ἡνῶσθαι τὴν ὅλην οὐσίαν ἑαυτή. λοιπὸν οὖν ὡς ἔφαμεν ἤ τοι τὸν μικρὸν σφυγμὸν, ἢ τὸν ἀερώδη κενὸν ὀνομάσομεν. οὕτω δὲ καὶ τοὺς ἐναντίους αὐτοῖς, πλήρεις. τόν τε μέγαν, καὶ τὸν οἷον ὑγροφανῆ. ἀλλὰ τούτους μὲν κατὰ τὴν ἐγκεχυμένην οὐσίαν. καθ' ἣν δὴ καὶ μάλιστ' ἄν τις ὀνομάσειε κυρίως, ἢ πλῆρες, ἢ κενὸν ἀγγεῖον. ἑτέρως δὲ καθ' αὑτὸ τῆς ἀρτηρίας τὸ σῶμα. τουτέστι τοὺς χιτῶνας αὐτῆς. οὓς ἄμεινον ἦν οἶμαι σκληροὺς καὶ μαλακοὺς, οὐ πλήρεις, ἢ κενοὺς ὀνομάζειν. οὐδὲν γὰρ ὁμοιομερὲς σῶμα κενὸν ἢ πλῆρες καλεῖται, πλὴν εἰ μὴ κατὰ μεταφοράν. ἧς οὐ χρὴ προσάπτεσθαι κατὰ τὰς ὑπαρκτικὰς διδασκαλίας. ἀλλ' εἰ μὲν ἔχοιμεν ὀνόματα κυρία τούτοις χρῆσθαι προσῆκεν. εἰ δὲ μὴ λόγῳ μᾶλλον ἑρμηνεύειν ἕκαστον τῶν πραγμάτων οὐκ ἐκ μεταφορᾶς ὀνομάζειν, ὅταν γε διδάσκειν τὶς βούληται καὶ μὴ περιλαλεῖν. ἐπεὶ τοῦ γε μεμαθηκότι τὸ πρᾶγμα συντόμου δηλώσεως ἕνεκεν ἐγχωρεῖ καὶ διὰ τῶν ἐκ μεταφορᾶς ὀνομάτων, καὶ διὰ τῶν ἐκκαταχρήσεως ἐνδείκνυσθαι τὸ λεγόμενον. ἡ πρώτη μέν τοι διδασκαλία τῶν τεχνικῶν ἁπάντων πραγμάτων ὑπὲρ τοῦ σαφής τε εἶναι, καὶ διηρθρωμένη κυρίων ὀνομάτων δεῖται. τὸ τοίνυν σῶμα τῆς ἀρτηρίας τουτέστιν ὁ χιτὼν αὐτοῦ ἤ τοι σκληρότερος ἐστὶ τοῦ δεόντος, ἢ μαλακώτερος, ἢ δηλονότι σύμμετρός τε καὶ κατὰ φύσιν ἔχων. οὐ γὰρ δὴ κατ' αὐτό γε τοῦτο πάλιν, ἢ ἀερώδη τινὰ φήσομεν περιέχεσθαι οὐσίαν, ἢ ὑγρὰν. ἐν γάρ ἐστι τὸ συνεχὲς ἑαυτῷ πανταχόθι. πλὴν εἴπου τρήμματά τινα πάνυ σμικρὰ κέκτηται. ἀλλὰ καὶ ταῦτα ἢ ἀερώδη τινὰ περιέχειν οὐσίαν, ἢ ὑγρὰν, ἢ ἀτμώδη πάντως ἀναγκαῖον ἐστίν. ἢ συμπεπτωκέναι παντάπασιν, ἀλλὰ συμπεπτωκότα μὲν εἰς ἴσον τοῖς οὐ δ' ὅλως ἔχουσι καθίσταται. περιέχοντα δὲ ὑγρὸν, ἢ ἀτμὸν, ἢ ἀεραμαλακώτερον ἐργάσεται τὸ τῆς ἀρτηρίας σῶμα. ὥς τε ἐκ

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 44 sur 494

περιόδου πάλιν εἰς τοῦθ' ἥκειν ἡμᾶς ὅπερ ἐξ ἀρχῆς ἐλέγομεν. ὡς ἥ γε σκληρὸς ὅτι ἡ μαλακὸς ὁ ἢ ἀρτηρίας χιτών. ὁ γὰρ ἐν τῷ μεταξὺ λόγῳ ὀνόματι τινὰ τρίτῃ ἐδηλωσε φύσιν, ἀλλὰ τῷ ἑρμηνεύοντι δυοῖν, διαφορός τε γνώσεως αἰτίας. ἵνα δὲ οὐ τοῦτο τὸ προκείμενον, οὐ δὲ χρήσιμον ὅλως εἰς τὰ παρόντα. ὡς ἐγώ γε καὶ πάλαι ἕτοιμός εἰμι τοῖς τῶν σκληρῶν τε καὶ μαλακῶν γνώσεις, εἰ μέλλοιμι τινὸς ἐντεύξεσθαι ἀκριβῶς εἰς τὰ παρόντα χρησθ. πειράσομαι δ' ὡς ἐνὶ μάλιστα σαφῶ βραχυτάτῳ αὐτὸ πρᾶξαι. πάντων τῶν σωμάτων ἐκ γῆς καὶ ὕδατος καὶ ἀέρος καὶ πυρὸς συνισώντων, ἐν οἷς μὲν ἂν ὑπάρχῃ πλεῖον ἢ τι τοῦ γεώδους στοιχείου, ἢ τὸ ὑδατῶδες ὑπὸ ψύξεως πεπηγός, ἀναγκαῖον ἔσται τὰ τοιαῦτα σκληρά. ἐν οἷς δ' ἂν ἢ τὸ πυρῶδες, ἢ τὸ ἀέρῳδες, ἢ τὸ ὑγρὸν στοιχεῖον ἀπαγὲς ὑπερατεῖ, μαλακὰ ταῦτ' ἔσται πάντα. ὅτῳ δὲ καὶ εἰ πρήματα τινὰ καὶ πόρους ἔχοιεν, εἰ μὲν ἢ τοι γεώδους ὄσιας, ἢ ὑδατώδους πεπηγυίας ὑπερατόσης ἐν αὐτοῖς, ἀναγκαῖον εἰς σκληρότητα τοῦ παντὸς σώματος συντελεῖν. εἰ δ' ἢ τοι λεπτομερῶς τινός, ἢ ὑγρᾶς ἀπαγῶς, εἰς μαλακότητα. τούτων δὲ τῶν ἐχόντων, ἥδη δίκαιον ὀρέγεσθαι οὐκ ἄνδρας. ἐπὶ τι μάλιστα φέρουσιν ὑποκείμενον πρᾶγμα τὸ ἢ πληρότητος ὄνομα. πάντως γὰρ ἢ τὴν σκληρότητα καλοῦσιν πληρότητα ἁπλῶς, ἢ τινὰ τῶν ἑρμηνεύων αὐτῆς διαφορῶν. ἀεὶ διαφορὰ δ' ἦσαν. ὅταν ἢ τοι ξηρότης ὑπερατῇ γεώδης, ἢ πῆξις ὑδατώδης, ἐν ᾧ ἔχει πόρους τινὰς τὸ ὑποκείμενον ἐν ἑαυτῷ, εἰ τε μή. ἦ ταῦτα δὲ καὶ τὴν κρότητα, πότερον τὴν μαλακότητα λέγουσιν. ἢ τινὰ τῶν διαφορῶν αὐτῆς. ἦσαν δ' οἶμαι καὶ αἱ τούτης διαφοραὶ κατ' ὑπεράτειαν, ἢ τοι λεπτομερῆς ὄσιας, ἢ ὑδατώδους ἀπαγῆς. ἀλλ' ὀδεμίαν ἀρκείναδαι τούτων τολμῶσιν. ἐὰν γὰρ ἂν ὅτως δή πῃ τε ἢ σκληρότητος ἑτέρου τι τὴν πληρότητα, μή τε ἢ μαλακότητος τὴν κρότητα πιθέμενοι. φεύγουσι δ' ἀεὶ τὸ λόγου πάντα τρόπον, ἔνιοι μὲν αὐτῶν ἀναισχυντότερον. εἰσὶ δ' οἱ καὶ μετ' αἰδοῦς τινός. ἡ δ' ἀπόφασις ἡ γοῦν δύσκριμον εἰς τὴν τοῦ πνεύματος καταφύγει διάκρισιν. ὡς γάρ οἶνου φασὶ ποιότης λέγεται πληρότης, ὅτῳ καὶ τοῦ πνεύματος ἔσι τις πληρότης. ἀλλ' ἐντεῦθεν πάλιν ἡμῶν ἀξιούντων, οἶνος τινὰ πληρότητα καλοῦσιν ἀφαφῆ αὐτόν, ἄῤῥητον ἔσται φασὶ τὸ πρᾶγμα. πῶς δ' ὦ πῶς δεῖ ἢ ὀνομάζειν ὑμᾶς ἐλπίζετε. εἰ γ' μή τε διδάξαι διάδεται τὸ πρᾶγμα, μήτ' ἑρμηνεῦσαι λόγῳ, πῶς ἂν ἢ μάθοιμεν τὰ τ' γραφόμενα ὑφ' ὑμῶν, ἢ κείνας ; ἢ μὴ ἴσθ' φασὶν ἐᾶν αὐτῶν τ' νοσούντων λείκνυμι δι' ὧν πλήρη σφυγμόν. καλῶς ποιήσεις ὦ ἄνδρες ἐπόρ' ὄσιν ἄῤῥητος μὲν, δεικτὸς δέ, μηδὲν μὲν γράφων αὐτοῦ. δεικνὺς δὲ μόνον ἡμῖν τὸ πρᾶγμα. καὶ μὲν καὶ γράφεις ὡς ἑρμηνεῦσαι διάμενον καὶ δεικνύειν ἀδυνατεῖς. ὁ δὲ γὰρ συνεῖναι διάδυνατα κατὰ λεῖξιν οὐδεμία διδασκαλία χωρὶς ἀγκύνησεως. ὦνθάλλειν οὖν με κελεύεις οὐδ' ἀκτύλους ὡς οἶμαι ὑπὲρ τὴν ἀρτηρίαν, ἔστ' ἐρεῖς, ἰδοῦ πλῆρης ὁ σφυγμὸς ὁ τοιοῦτος ὅτι ὃ νῦν ἀνθάπτῃ. ὅπερ δὲ εἰ μὲν ἁπλῆ τις ὑπῆρχε καὶ μία ποιότης τοῖς σφυγμοῖς, ἀληθῶς ἂν ἐλέγετο. νυνὶ δ' ἐπειδὴ πολλαὶ μὲν αὗται καὶ καθ' ὑμᾶς εἰσιν. ἅπασαι ἢ ὑποπίπτουσιν ἀθρόως, ὀκ ἐθ' οἷόν τε χωρὶς ἀγνώσεως ὀδεμίαν αὐτῶν ἐκμαθεῖν. ἰσὸ γοῦν ἅπτομαι ἢ ἀρτηρίας ὡς κελεύεις, ἀλλ' ὀκ εἰδὼς ὅ, τί ποτε τῶν συμβεβηκότων αὐτῇ πληρότητα καλεῖς, ὀδὲν μᾶλλον ὧδε τῇ λείξει σε σωίημι τὸ πρᾶγματος, ἢ πρόδηλον, ὅτ' ὀκ ἐδ' ἐκνυόν. ἔστω γὰρ ὁ πότ' ὦνθάλλω σοῦ δ' ἀκτύλους ἐφ' σφυγμῷ διάειδαι μὲν ὧδε πλεῖον αὐτὸν εἰς μῆκος τε καὶ κύκλον. εἰ δὲ καὶ θλίψαιμι, καὶ πίεσαιμι, βιαιότερον ἐμπίπτῃ τῇ ἁφῇ. φαίνεται δὲ καὶ σκληρὸν καὶ ταχύ. εἰ τά με τὴν βίαιον αὐτοῦ προσβολὴν ὑπονοῆσαι λέγεσθαι πληρότητα, πῶς ὀκ ἄτοπόν τι συμβαίοι ἦ τὴν δ' ἕξιν. ὃν γὰρ ἐν τοῖς ἐμπροσθεν ἐμάθομεν ὀνομάζειν σφοδρὸν σφυγμόν, τοῦτον νῦν μεταδιδάσκομεθα πλήρη καλεῖν. ἢ τοίνυν ἑτέρου τι σύμπτωμα ἢ διαστελλομένης ἀρτηρίας εἰπὲ, καθ' ὃ κελεύεις με τὸ τοῦ πλήρους ὄνομα φέρειν, ἢ ἔπορ πᾶσι ταῦτα ὀδὲν ἄλλο ὄδι, ὄνομα μὲν ὧδε σάγεις τοῖς σφυγμοῖς, πρᾶγμα δ' ὀδὲν διδάσκεις. εἰ δ' ἀρκεῖ σοι λέγειν ἄῤῥητον ἔσται τὸ πρᾶγμα, συγχωρήσεις δ' ἡ που κἀμοὶ λέγειν ἄλλας ὧδε ταῖς ἑρμηνείαις ὑφ' ἡμῶν ποιότητας ἐν τοῖς σφυγμοῖς ὑπάρχειν κατὰ τὴν διαστολὴν ἢ ἀρτηρίας φαινομένας πρὸς τὸν ἀριθμὸν, ὀκ ὀρθῶς ὑφ' ἡμῶν παραλελειμμένας. εἰ δ' ἐρωτήσε τε με τίνας τούτας, ἀῤῥήτους ἔσται φήσω κυρίως ὀνόμασιν. ἐκ μεταφορᾶς δ' ἃ βούλοιδε, διδάξειν ὑφέξομαι. καθάπερ γὰρ φωνὴν τὴν μὲν λιγυκὴν ἔσται, τὴν δὲ μέλαιναν φαμὲν, ὅτῳ καὶ τῷ σφυγμῷ τὸν μὲν τινα λιγυκὸν ὑπάρχειν ἐρῶ, τὸν δὲ μέλανα. ἐν τούτῳ πρώτῳ ὀυδέως τὴν ποιότητα παραλελεῖφθαι πρὸς ὑμῶν. ἑτέραν δὲ δυτέραν. καθ' ἣν ἢ ἔνιοι γλυκύτητ' τὴν, ἢ πικρότητ' αὐτῶν ὁρᾶται. χρῶμαι ἢ τούτων τῶν ὀνομάτων ἀκόλουθ' ἐκ μεταφορᾶς. ἄῤῥητον γ' ἔσται τὸ πρᾶγμα. λειχθῆναι μέν τοι διαμένον. ἰδ' ὅ γέ ἔνιος μοι ἔσται σφυγμὸν ὄπορ τὸν πικρὸν, ἀλλὰ ἢ τρίτη ποιότης ἄῤῥητος ἦ ὄδι, λειχθῆναι μέν τοι διαμένη. καλῶς δ' αὐτὴν ὑπογράφῃς ἕνεκα τρυφνότητα. καθάπερ γὰρ ἐν τῇ γλυκεῖ τὸν τρυφνὸν χυμὸν διαγλυκάσκομεν, ὅτῳ καὶ τῇ ἁφῇ τὸ οἷον τρυφνὸν τῆς ἀρτηρίας προσβολὴν, τούτῳ τῷ τρόπῳ τὴς χρόμενος ὁ τρεῖς μόνον, ἀλλὰ καὶ τριάκοντα φησὶ πρᾶγμα λείφθαι διαφορᾶς σφυγμῶν. καὶ πῶ πάντων ἐκείνῳ μοι πρόσεχε τὸν νοῦν, ὅτι τρυφνὸς μὲν τὴς χυμὸς κυρίως ὀνομάζεται. πλήρης δ' οἶνος ὀδεὶς κυρίως. ἀλλ' εἴ τις ὅτῳ προσαγορεύει, μεταφορᾷ χρῆται, κατ' ὃν ὀλίγου ἐμπροσθεν ἐδηγησάμεθα τρόπον. ἀφ' μὲν δὴ τῶν κυρίως ὀνομασμένων ἅπασιν ἀνθρώποις, ἐγχωρεῖ μεταφέρειν. ὁ μὲν ἀφ' τῶν μετενηνεγμένων ὧδε ἑτέρας ποιεῖσθαι μεταφοράς. ὁ δὲ γὰρ ποιητὴς τοῦτό γε συγχωρητέον ἐστὶν. μή τι γε τοῖς ὠδιημονικόν τι ἢ τεχνικὸν ἐπαγγελλομένοις διδάξειν. ὥσθ' ὁ μὲν ἀφ' τῶν χυμῶν ὧδε τὴν ἁφὴν μεταφέρων τὸ τρυφνὸν ὄνομα συγγνωστὸς ἀφ' τῶν χυμῶν κυρίως ἀρχόμενος. ὁδ' ἀφ' τοῦ ἦ γλυκεῖ πλήρης ὧδε τὸ ἦ τὴν ἁφὴν πλῆρες ἀξιῶν μεταβαίνειν, ὁδὲ ἦ νόμον ὅτός γε ποιεῖται τὴν μετάβασιν, ἀλλὰ καὶ ἢ τῶν ποιητῶν ἐξόσιας ἐπέκεινα πρόεισιν, ἀφ' ἢ πρώτης μεταφορᾶς ἑτέραν ποιῶν δ' υτέραν μεταφοράν. εἰ γὰρ ἅπαξ ἔπορ συγχωρηθείη, καὶ τρίτην ἀφ' ἢ δευτέρας οἶμαι τολμήσει, καὶ τετάρτην ἀφ' ἢ τρίτης, καὶ πέμπτην ἀφ' ἢ τετάρτης ποιήσασθαι μεταφοράν. ὥστε εἰς ἐκφορὰν ὄντως ἐμβάλλειν ἂν ὧδε τριβομένης ὑπ' αὐτῶν. καί τοι γε ὀδ' ἀφ' τῶν κυρίων ὡς ἔτυχε μεταφέρειν ἔξεσιν οὐδὲ τοῖς ποιηταῖς. ἀλλὰ καὶ πάνυ ἀρ' ἢ τις εἴη τὴς ἀκεανοῦ τὰ πέτηλα τὰς κρίνας λέγων, ὀκ ἐπαινέσεται. καὶ πολὺ μᾶλλον ἐπεὶ

δεῖν ἀγνοῦσ᾽ ἢ

δὰν ἀψευδῆ δὲ πρὸς ἄκμονι χαλκεύειν γλῶσσαν, ἢ τὶ τοιοῦτον ἕτερον εἴπῃ. ἀλλὰ γὰρ, ὡς ἔοικεν, οὐδὲν οὕτω πολυλογίας ἐστὶ ποιητικόν, ὡς ὑπὲρ τολμῶν ἀνὴρ, οἷς ἀγνοεῖ. διαφορὰς γοῦν ἑκάστου τῶν πραγμάτων ἐξ εὑρεῖν, ὅσαι τ' εἰσὶ τὸν ἀριθμὸν, ὁποῖαι τὸ εἶδος, ἀν δρὸς ἔργον ἐστὶ θεωρίαν λογικὴν ἠκριβωκότος. ἐφεξῆς δ' ὀνόματα κατ' αὐτῶν θέσθαι, ῥητορικοῦ τινὸς, ἢ τἀληθέστερον φᾶναι, διαλεκτικοῦ. ὅταν οὖν ἄνθρωποι μή τε λογικὴν θεωρίαν ἠκριβωκότες, μήθ' ἑρμηνεύειν ἱκανοὶ, τολμῶσι ἅπτεσθαι πολὺ μειζόνων ἢ καθ' ἑαυτοὺς πραγμάτων αὐτοί τε πολυλογοῦσι, καὶ τοὺς ἐξελέγχοντας ἀναγκάζουσι κἂν ὅτι μάλιστα βραχυλογίαν ἀσκοῦσιν, εἰς τὴν αὐτὴν ἐκείνοις ἐμπίπτειν μακρολογίαν, ὅπερ οἶμαι κἀγὼ νῦν πάσχω. διὰ γάρ τοι τὸ πλῆθος ὧν ἡμαρτήκασιν ἐξίσταμαι τῇ συνήθους ἐμαυτῷ βραχυλογίας. ἀλλὰ κἀνταῦθα καθ' ὅσον οἷόν τε, συντέμνειν πειράσομαι. γένοιτο δ' ἂν τοῦτο τὰ καὶ καθόλου, κοινὰ πάντων ἁμαρτήματα διελέγχοντός μου, τὰ δὲ κατὰ μέρος ἑκάστου παραλείποντος.

01 ἐστὶ δὲ κοινὰ, καὶ καθόλου ταυτὶ, ποτέρα ποιότητα τινὰ τοῦ τῆς ἀρτηρίας χιτῶνος ὁ πλήρης σημαίνει σφυγμὸς, ἢ τῆς ἐγκεχυμένης οὐσίας τὸ ποσὸν, ἢ τὸ ποιὸν, ἢ τοῦ συμφύτου πνεύματος. ὡς καὶ τοῦτο τινὲς ἐτόλμησαν εἰπεῖν, ἤ τοι δύναμιν τινὰ, ἢ ποιότητα. τοῦ μὲν γὰρ σώματος αὐτοῦ τῆς ἀρτηρίας αἱ ποιότητες ὡς ὀλίγον ἔμπροσθεν ἐδείκνυμεν, οὐ πληρότης ἂν οὐ δὲ κενότης. ἀλλὰ σκληρότης τε, καὶ μαλακότης ὀνομάζοντο δικαιότερον. τῆς δ' ἐγκεχυμένης οὐσίας αὐτῆς τὸ ποσὸν, ὀρθῶς μὲν ἄν τις ὀνομάσειε πληρότητα καὶ κενότητα. διαφέρουσι δ' οὐδὲν αὗται μεγέθους τε καὶ σμικρότητος. εἰ δὲ μὴ τὸ ποσὸν, ἀλλὰ τὸ ποιὸν τῆς περιεχομένης ἐν αὐτοῖς οὐσίας ὑπὸ τῶν ὀνομάτων φάσκοιεν δηλοῦσθαι, κυρίως μὲν οὐκ ἂν ὀνομάζοιεν. ὑπάρχουσαν μέν τοι τινὰ ἐροῦσι διαφορὰν, οὐ μὴν αἰσθήσει γε διαγνωστὴν, ὡς ἐν τοῖς περὶ διαγνώσεως ἐπεδείξομεν. ἡ δὲ τοῦ πνεύματος πληρότης τε καὶ κενότης, ἔτι δὴ καὶ μᾶλλον ἀναίσθητος ἐστὶ αὐτὴ καθ' αὑτῆς, εἰδ' ὡς αἴτιον τῆς αὐτῆς ἐν δείξει λαμβάνοι, τῆς μὲν ῥώμης αὐτοῦ τὸν σφοδρὸν σφυγμὸν θήσετε σημεῖον τῆς δι' ἀρρωστίας τὸν ἀμυδρὸν. εἴη δ' ἂν ὁ ταῦτα τιθέμενος ἐκ τῆς πνευ

20 ματικῆς αἱρέσεως. ὥστε κἂν νῦν δῆλον ὡς οὐ κοινὴν ἔννοιαν. οὐδ' αἰσθήσεως πάθος εἰς διάγνωσιν ἥκον ἐρεῖ τις, ἀλλ' ἑαυτοῦ δόγμα πρεσβεύσει. χρὴ δὲ οὐδ' ἐν ταῖς τῆς ἐννοίας τοῦ πράγματος ἀρδώσεσιν, οὔτε ἐν ταῖς διαγνώσεσι περιέχεσθαι δόγμα. κοινὰ γὰρ ἁπάντων ἐστὶν ἀλλ' ἐν μόναις ταῖς αἰτίαις λέγεσθαι, καθάπερ ἡμεῖς ποιήσομεν ἐν τοῖς περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων ὑπομνήμασιν. ἐν ἐκείνοις μὲν γὰρ ἁπάσας διεξιόντες τὰς ἀλλοιούσας τοὺς σφυγμοὺς αἰτίας ἀναγκασθησόμεθα δογμάτων ἐφάπτεσθαι. κατὰ μέν τοι τὴν νῦν ἐνεστῶσαν, αὐτὸ τοὐναντίον οὐδενὸς χρὴ ψαῦψαι τὸν λόγον, οὐδ' ἐπ' ἐλάχιστον δόγματος. ἀρκεῖν ἡγοῦμαι ταῦτα καὶ περὶ πληρότητός τε καὶ κενότητος εἴς γε τὰ πρόντα. λεχθήσετε γὰρ ὑπὲρ πλέον ὑπὲρ αὐτῶν ἐν τοῖς περὶ διαγνώσεως. καὶ μὲν δὴ καὶ ὅσα περὶ αὐτῶν ὑπὲρ πλεῖστον Ἀρχιγένης περιλαλεῖ, καὶ ταῦτ' ἐν τοῖς κρίνειν αὐτοῦ τὸ περὶ τῶν σφυγμῶν βιβλίον εἰρήσετε. διεγνώκειν μὲν γὰρ ἐγὼ τό τε κατ' ἀρχὰς ἀρκεσθῆναι ταῖς τέτρασι ταύταις πραγματείαις, ὑπὲρ ὧν ἤδη πολλάκις ἐμνημόνευσα, πρώτης μὲν τῆς ἐνεστώσης. δευτέρας δὲ τῆς διαγνωστικῆς, καὶ τρίτης τῆς αἰτιολογικῆς. καὶ τετάρ

50 της τῆς προγνωστικῆς. ἀλλ' ἕτεροι πολλοὶ βιαζομένοι τε καὶ καταναγκάζοντες ὑπὲρ τοῦ περὶ σφυγμῶν Ἀρχιγένους βιβλίου γράψαι με, καὶ δεινύντες τίνα μὲν ὀρθῶς αὐτῷ, τίνα δὲ οὐκ ὀρθῶς εἴρηται, συντομωτέραν εἰργάσαντο τὴν νῦν ἐνεστῶσαν ἡμῖν διέξοδον. ἀρχωρήσας γὰρ ἐν αὐτῇ τῶν κατὰ μέρος ἁπάντων, αὐτὰ τὰ καθόλου δίειμι κατὰ τὸν ἑξῆς λόγον. οὐχ ὥσπερ ἔν τε τοῦ δευτέρου τοῦ πρὸ τοῦδε. καὶ κατ' αὐτὸ δὲ τοῦτο τὸ βιβλίον ἐν τοῦ περὶ τῆς σφοδρότητος λόγῳ τὰς ῥήσεις παρέγραψα τοῦ Ἀρχιγένους ὑπὲρ τοῦ δεῖξαι τὰ κακῶς εἰρημένα. μεταβὰς οὖν ἤδη πρὸς τὸν περὶ τῆς σκληρότητός τε καὶ μαλακότητος λόγον ὑπὲρ δεῖξαι πειράσομαι κἀνταῦθα τὴν περὶ τὰ ὀνόματα πλημμελίαν τῶν ἀνδρῶν. δι' ἣν ἀναγκαίως καὶ περὶ τὴν διάγνωσίν τε καὶ πρόγνωσιν ἐσφάλησαν. ἐν γὰρ κυρίως σημαίνοντος ἑκατέρου τῶν ὀνομάτων, οὐκ οἶδ' ὅπως ἐκ μεταφορῶν οὗτοι μεταφορὰς ποιοῦσιν, τίς γοῦν οὐκ οἶδεν ὡς τὸν μὲν σίδηρον καὶ τὸν λίθον, καὶ τὸ ξύλον σκληρὰ σώματα εἶναι φαμέν. ἔλαιον δὲ καὶ μέλι, καὶ γάλα, καὶ ὕδωρ, μαλακά. κριτήριον γὰρ οἶμαι πάντες ἄνθρωποι σκληροῦ καὶ μαλακοῦ σώματος ἔχομεν

40 τὴν ἀφήν. ταύτην οὖν ὑπὲρ βάλλοντες τοῖς ἐντὸς ὑποκειμένοις, ὅσα μὲν ἂν αὐτὴν εὑρίσκωμεν ὑποδεχόμενα, καὶ οἷον ἐγκαταβαινούσῃ πως ὑπείκοντα, μαλακὰ προσαγορεύομεν. ὅσα δ' ἔμπαλιν, αὐτὰ τὸ ἡμετέρον δέρμα βιάζηται τε καὶ ὠθεῖ. τὸ δ' ὑπεῖκον εἰς ἑαυτὸ δέχηται, τὰ βιαζόμενα, σκληρὰ ταῦτα προσαγορεύομεν. εἰ μὲν γὰρ ἁπλῶς εἴκοι τε καὶ ἀνατρέποιτο πρὸς τοῦ βιαζομένου, τὸ μὲν ἀνατρεπόμενον ἀσθενέστερον ἅπαντες ὀνομάζουσι. τὸ δ' ἀνατρέπον, ἰσχυρότερον. οὕτω γὰρ καὶ ἄνεμος ἰσχυρὸς οὐκ ἡμᾶς μόνον, ἀνατρέπειν τε καὶ καταβάλλειν πέφυκεν, ἀλλὰ καὶ δένδρα μέγιστα καὶ πλοῖα. καὶ ἡμεῖς δ' αὐτοὶ καὶ χαλκὸν, καὶ σίδηρον, καὶ λίθους καὶ ξύλα, καὶ εἰ τὶ τούτων ἔτι ἢ σκληρότερον ἀνατρέπομεν, ἐπειδὰν τοῖς ὄγκοις ἢ μέτρια. καὶ ταύτη διήνεγκε τὸ ἰσχυρὸν τοῦ σκληροῦ. τὸ μὲν γὰρ ὡς εἴρητε νῦν ἤδη, τῆς ἀρχαίας ἕδρας ἐξίστησί τε καὶ ἀνατρέπει τὸ πλησιάζον. τὸ δὲ σκληρὸν μὲν, οὐ μὴν καὶ ἰσχυρὸν, οὐκ ἐξίστησι μὲν ἐγκαταβαίνει δὲ τοῦ μαλακωτέρου, κοιλαῖνόν τε, καὶ βοθροῦν, καὶ πιλοῦν αὐτὸ ταῦτά τοι καὶ ὁ πλάτων ἔλεγε, σκληρὰ μὲν οἷς ἂν ἡμῶν ἡ σὰρξ ὑπείκοι. μαλακὰ δὲ, ὅσα ἂν τῇ σαρκί. πολὺ δ' ἀκρι

05 βέστερον ὁ Ἀριστότελης οὐ τὸ ὑποκειμένον ὀνομάζων μαλακὸν, ἀλλὰ προσιθεὶς αὐτῷ, ποτὲ μὲν τὸ εἰς ἑαυτὸ, ποτὲ δὲ τὸ μὴ μεθιστάμενον. ἄν τε γὰρ οὕτως εἴπωμεν. μαλακὸν ἐστὶ τὸ ὑπεῖκον εἰς ἑαυτὸ, ἄνθ' οὕτω, μαλακὸν ἐστὶ τὸ ὑπεῖκον, ἄνευ τοῦ μεθίστασθαι, καλῶς ὁριούμεθα. καὶ μέν τοι καὶ εἰ τὸ συναμφότερον ἅμα προσθέντες ὡς ἐν τοῦ δευτέρου περὶ γενέσεως τε καὶ φθορᾶς ὁ Ἀριστοτέλης ἐποίησε, μαλακὸν εἶναι φαίημεν τὸ ὑπεῖκον εἰς ἑαυτὸ καὶ μὴ μεθιστάμενον. ἔτι σαφέστερον ὁριούμεθα διὰ δυοῖν οἰκείων συμπτωμάτων ἐνδειξάμενοι τὸ μαλακὸν. εἰς ἑαυτό τε γὰρ ὑπείκει καὶ οὐ μεθίστατε. ἑκάτερον δ' ἐστὶ αὐτῷ μόνῳ συμβεβηκός. ὡς τό γε ὑπείκειν κοινὸν ὑπάρχει σύμπτωμα μαλακοῦ τε καὶ ἀσθενοῦς. τὸ δὲ εἰς ἑαυτὸ, μόνου τοῦ μαλακοῦ. καθάπερ τὸ μὴ εἰς ἑαυτὸ, μόνου τοῦ ἀσθενοῦς. καὶ μὴ δὴ καὶ ὥσπερ εἰς τὸ περιέχον μεθίστασθαι τοῦ ἀσθενοῦς ἴδιον, οὕτω τὸ μὴ μεθίστασθαι μόνου τοῦ μαλακοῦ. τὸ μὲν οὖν ὑπεῖκον εἰς ἑαυτὸ, καὶ μὴ μεθιστάμενον ἅπαντες ἕλληνες ὀνομάζουσι μαλακόν. τὸ δ' οὕτως αὐτὸ διατιθὲν, σκληρόν. οὐ δὲ ἔστιν ὥσπερ ἄλλων τινῶν ὀνομάτων πλείω τὰ σημαινόμενα κυρίως ὀνομάζοντι, καὶ μὴ τροπικῶς οὕτως, καὶ μαλα-

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 46 sur 494

κοῦ, καὶ σκληροῦ. ἢ γὰρ ἂν αὐτὰ καὶ ὁ πάντων δεινότατος εἰς σημαινομένου διαίρεσιν εἶπεν Ἀριστοτέλης. ὥσπερ ἀμέλει τούτων ἐφεξῆς ἐν ταυτῷ βιβλίῳ τοῦ δευτέρου περὶ γενέσεως καὶ φθορᾶς ὑπὲρ ὑγροῦ τε καὶ ξηροῦ διαλεγόμενος, ἑκάτερον αὐτῶν ἐδίδαξε πλεοναχῶς λεγόμενον, ἀλλ' οὐ σκληρόν τε καὶ μαλακόν. οὐδ' ἐν ἐκείνῳ τοῦ συγγράμματι πολλῶν ὀνομάζεσθαι φησίν. ὥσπερ οὐδὲ ἐν ἄλλῳ τινί. καθάπερ οὐδὲ ὁ πλάτων. ἀλλ' ἐν ἑκατέρου τῶν ὀνομάτων ἄμφω τοῦ ἄνδρε εὑρίσκετον σημαινόμενον. ὅταν γ', ὡς εἴρηται, κυρίως τὶς ὀνομάζη καὶ μὴ τροπικῶς. ἐπεὶ κατά γε τὰς μεταφορᾶς ἀναρίθμητον ἔσται τὶ πλῆθος σημαινομένων, οὐ τοῦτο μόνον τῶν ὀνομάτων, ἀλλὰ καὶ τῶν ἄλλων σημαινομένων ἁπάντων. αὐτίκα γε τοι πλάτων αὐτὸς φησὶν ἐν σοφιστῇ, σκληροὺς λέγεις καὶ ἀντιτύπους ἀνθρώπους, οὐ κατὰ τοῦ σώματος δή που φέρων ἑκάτερον τῶν ὀνομάτων. οὔτ' οὖν τὸ σκληρὸν οὔτε τὸ ἀντίτυπον. ἀλλὰ καὶ τὸ τῆς ψυχῆς καὶ ταύτης μάλιστα τοῦ ἤθους τε καὶ τοῦ τρόπου. οὕτω δὲ καὶ οἶνον ἔφη σκληρὸν τὶς ἐκ μεταφορᾶς ὀνομάζων, καὶ φωνὴν σκληρὰν, ὠδῆ τήδευμά τε καὶ βίον, ἔθος τ' αὖ καὶ νόμον, ἄνεμόν τε καὶ ὕδωρ, ἤ τοι τὸ ἀπηνὲς, ἢ τὸ δύσμικτον, ἢ τὸ δυσξύμβολον, ἢ τὸ ἀηδὲς, ἢ τὸ δυσκατέργαστον, ἢ τὸ δυσκαταγώνιστον, ἢ τὶ τοιοῦτον ἕτερον ἐκ μεταφορᾶς ὀνομάζων. τὸ δὲ σκληρὸν σῶμα τὸ κυρίως τε καὶ πρώτως λεγόμενον ἀντίτυπόν τε ἐστὶ καὶ κατ' οὐδὲν εἴκει τοῦ πλησιάζοντι. τὸν αὐτὸν οἶμαι τρόπον, ἄνθρωπον μὲν σκληρὸν λέγουσι τὸν μονότροπον καὶ δυσπειθῆ, καὶ πρὸς ἅπαν ἀντιτείνοντα. νόμον τε σκληρὸν καὶ δικαστὴν, οἷς μηδὲν μέτεστι συγγνώμης. οἶνον μὲν τὶ σκληρὸν ὅταν ἰσχυρὸς ᾖ τῇ ποιότητι. καὶ πλήττων βιαίως, ἢ τοι τὴν κεφαλὴν, ἢ τῆς αἴσθησιν τὴν γευστικὴν, ὕδωρ δ' αὖ σκληρὸν, τὸ δυσκατέργαστόν τε καὶ βραδύπορον, ὡς ὑπὲρ πλεῖστον ἐν τοῖς ὑποχονδρίοις μένον, ἕκαστον τε τῶν ἄλλων ὅσα σκληρὰ λέγομεν οὐ κυρίως, οὐ δὲ πρώτως. ἀλλὰ κατὰ συμβεβηκός τε καὶ μεταφέροντες ἀπό τινος ὁμοιότητος οὕτως ὀνομάζομεν. ἐπειδὴ δὲ πολλὰ συμβέβηκε τοῦ σκληρῷ σώματι, καθ' ἕκαστον αὐτῶν αἱ μεταφοραὶ γίγνοντο, οὐ μὴν τούτου γε ἕνεκεν ὠδῆ λαθέσθαι προσήκει τοῦ πρώτου τε καὶ κυρίου τῶν σημαινομένων. ἁπτὸν γάρ τοι τὸ σκληρόν ἐστι, καὶ ἡ σκληρότης ἁπτὴ ποιότης. ὅταν οὖν ὠδῆ γεύσιν ἢ ὄσφρησιν ἢ ὄψιν, ἢ ἀκοὴν ὁ λέγων μεταφέρει τοὐνόμα, τηνικαῦτα χρὴ τὸν ἀκούοντα τῆς πρὸς τὸ κύριον ὁμοιότητος ἀναμιμνήσκεσθαι. καὶ γὰρ καὶ ἡ κρίσις αὕτη τῶν μεταφορῶν ἐστὶ εἴτε ὀρθῶς εἴ τε οὐκ ὀρθῶς εἰσὶν εἰρημέναι. τὰς μὲν γὰρ ἐναργῆ τῆς ὁμοιότητα καὶ πρόδηλον ἐχούσας ἐπαινοῦμεν. ὅσαι δὲ ἀμυδραί τε εἰσὶ καὶ ἄδηλοι ἀπολείπομεν ἅπαντες. ἀλλ' οὔτ' ἄλλο τὶ τοῖς νεοτέροις ἰατροῖς ἀγαθὸν ἑρμηνείας ἔγνωσται. διόπερ ἀσαφεῖς ἐσχάτως εἰσίν, οὔθ' ὡς ἐν καιρῷ χρηστέον ἐστὶ ταῖς μεταφοραῖς. εἰ μὴ οὖν ἀσαφῆ μόνον ἦν αὐτῶν τὰ συγγράμματα, τάχ' ἄν τις ἧττον ἐμέμψατο. νυνὶ δ' ἐπεὶ καὶ τὴν ἀλήθειαν αὐτὴν τῶν πραγμάτων ὧν διδάσκειν ὑπολαμβάνουσιν διαφθείρουσι ταῖς ἀκαίροις † διαφοραῖς δίκαιον ἤδη μέμψασθαι μειζόνως αὐτοῖς. ὅταν δ' ἔτι πρὸς τούτῳ τὶς εἰς τοσοῦτον ἐμπλεξίας ἥκη, ὥστε αὐτὰ τὰ πρῶτά τε καὶ κυριώτατα τῶν ὀνομάτων ὠδῆφέρων τοῖς οἰκείοις πράγμασιν ἐκ μεταφορῶν λαμβάνει τὰ σημαινόμενα, πῶς ἄν τις ἀνάσχοιτο; φωνὴν μὴ γὰρ λευκὴν ἐκ μεταφορᾶς νοήσειεν ἄν τις, σὺ μὴν χρῶμά γε λευκὸν ἔθ' ὁμοίως ἐκ μεταφορᾶς ἀκούειν ἐγχωρεῖ. εἰ μὴ γὰρ τοῦτο λέγεται κυρίως λευκὸν, οὐδ' ἄλλο τῶν κυρίως οὐδέν. οὕτω δὲ καὶ ἄνθρωπον μὲν στρυφνὸν ἐκ μεταφορᾶς. οἶνον δὲ στρυφνὸν οὐκέτ' ἐκ μεταφορᾶς, ἀλλὰ δηλονότι πρώτως τε καὶ κυρίως. ὥσπερ οὖν εἴτις τὸν θηραῖον οἶνον ὀνομάσας στρυφνὸν. εἶτ' ἐξελεγχόμενος ὡς ψευδῶς δοξάζει γλυκὺν οἶνον, ᾧ μὴ δὲ βραχὺ μέτεστι στρυφνότητος οὕτω προσαγορεύων, ἀπίθανος ἂν εἶναι δόξειεν, εἰ κατ' ἐκεῖνο τὸ σημαινόμενον φαίη εἰρεῖσθαι οἱ, στρυφνὸν τὸν οἶνον. ὥσπερ καὶ ἀνθρώπους ἐνίοτε λέγομεν εἶναι στρυφνοὺς ἐν ἴσῳ τοῦ ἀηδεῖς. οὕτω καὶ ὅστις ἁπτὸν ὁτιοῦν σῶμα σκληρὸν εἰπὼν οὕτω κελεύσειεν ἀκούειν τῆς προσηγορίας ὡς οἶνος λέγεται σκληρὸς, οὐκ ἂν οἶμαι δόξειε σώφρων εἶναι. πασῶν γὰρ τῶν ἁπτῶν ποιοτήτων ἐχουσῶν ὀνόματα λῆρος μακρός ἐστι ἐκ μεταφορῶν αὐταῖς ἕτερα ἐπεισάγειν. κατὰ μὲν τὰς ὀσμὰς ὄντως οὐκ ἔστι ἁπασῶν τῶν ποιοτήτων ὀνόματα, καὶ συγχωρήσειεν ἄν τις ἀλλοτρίοις χρήσασθαι μεταφέροντα. κατὰ μέν τοι τὴν ἁφὴν ἅπαντα ὠμόμασται. καθάπερ ὅτι καὶ τοῦτ' Ἀριστοτέλης ἐδίδαξεν ἁπάσας ἐκθέμενος ἐφεξῆς αὐτῶν τὰς προσηγορίας. ἃς κἀγὼ νῦν ἐρῶ. θερμότης, ψυχρότης, ξηρότης, ὑγρότης, βαρύτης, κουφότης, σκληρότης, μαλακότης, γλισχρότης, κραυρότης, τραχύτης, λειότης, παχύτης, λεπτότης. οὕτω μὲν οὖν αἱ ἁπταὶ ποιότητες ἅπασαι ῥηταί. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τὰ μετέχοντα αὐτῶν σώματα. καὶ γὰρ καὶ τούτων ἑπτὰ μὲν αἱ κατ' ἐναντίωσιν εἰσὶ συζυγίαι. τεσσαρεσκαίδεκα δὲ τὰ ὀνόματα. πρώτη μὲν οὖν ἐναντίωσις θερμοῦ καὶ ψυχροῦ, δευτέρα δὲ ξηροῦ καὶ ὑγροῦ, τρίτη δὲ βαρέος τε καὶ κούφου, τετάρτη σκληροῦ τε καὶ μαλακοῦ, πέμπτη γλίσχρου, καὶ γραύρου. ἕκτη τραχέος καὶ λείου. ἑβδόμη παχέως καὶ λεπτοῦ. μὴ τοίνυν ὦ οὗτος ἔμπληκτα λήρει. μήδ' ὀνομασίαν ἑλληνικοῖς τε καὶ κοινοῖς ἁπάντων οἴκοθεν ἐπίφερε καὶ πρὰ σαυτοῦ τὰ σημαινόμενα. ἀλλὰ τὸ μὲν σῶμα τῆς ἀρτηρίας, ἢ σκληρὸν, ἢ μαλακὸν εἰπὲ πρώτως καὶ μάλιστα. τὸν δ' ὅπως ἔχει τοῦτον δεικνύντα σφυγμὸν, οὐ κυρίως μὲν, οὐδὲ πρώτως ἔτι. κατὰ συμβεβηκὸς δ' ἐξέσται σοι καλεῖν σκληρὸν, ἢ μαλακὸν. εἴ τε γὰρ ἡ κίνησις αὐτὴ τῶν ἀρτηριῶν ὁ σφυγμός ἐστι, οὐκ ἄν τις εἴποι κυρίως ὀνομάζων σκληρὰν κίνησιν. εἴθ' ἡ ἀπ' αὐτῆς πληγὴ κατὰ τὴν ἡμετέραν ἁφὴν. εἴτε ἡ τῆς πληγῆς αἴσθησις, οὐδὲν, οὐδὲ τοῦτο λέγεται κυρίως οὐδὲ πρώτως σκληρόν. ἀλλὰ παρονομάζεται δηλονότι τοῦ σκληροῦ σώματος ὁ σκληρὸς σφυγμός. ἐκεῖνο δὲ μόνον οὐκ ἄλλῳ τινὶ παρονομάζοντες, οὔτε κατὰ συμβεβηκὸς οὔτε μεταφέροντες, ἢ καταχρώμενοι προσαγορεύομεν σκληρὸν, ἀλλὰ κυρίως τε καὶ πρώτως. ὅταν οὖν τὶς σκληρὸν σφυγμὸν, ἢ κατὰ τὴν τοῦ πνεύματος λέγει ποιότητα φαίνεσθαι τοιοῦτον, ἢ καὶ κατὰ τὴν ἰδιότητα τῆς θερμότητος, ἢ κατὰ ἄλλο τι τῶν λαληθῆναι μὲν δυναμένων, διδαχθῆναι δὲ ἀδυνάτων, οὐκ ἀνεξόμεθα τοῦ τὰ τοιαῦτα δηλονότι ληροῦντος τε καὶ περιλαλοῦντος. ὥσπερ οὐδ' Ἀρχιγένης ἐν τε τοῦ περὶ σφυγμῶν αὐτοῦ γράμματι, καὶ τοῦ δευτέρου τῆς τοῦ πυρετοῦ σημειώσεως.

† αἱ. μεταφοραῖς

ΓΑΛΙΝΟΥ

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ
ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ δ.



Εἴρηται μοι καὶ κατὰ τὴν ἀρχὴν εὐθέως τοῦ δευτέρου γράμματος, ὅσον εἰς τὰ τῆς τέχνης ἔργα χρήσιμον ἐν τῷ πρώτῳ πεπληρῶται βιβλίῳ, καὶ γὰρ ὁπόσον ἐστὶ τὸ πᾶν πλῆθος τῶν σφυγμῶν, ἐδείχθη. καὶ τὰς προσηγορίας, ὅσαί γε εἰσὶ προσηγορίαι, διήλθομεν. ἠξίωσά τε τὸν βουλόμενον τοῦ ὠθῆ τὸ χρήσιμον ἰέναι τῆς θεωρίας τὴν περὶ τῆς διαγνώσεως τῶν σφυγμῶν πραγματείαν, ἐφεξῆς τῇδε γεγραμμένην ἐν τέτταρσι βιβλίοις ἀναλεξάμενον. εἶτ' ἐπ' ἐκείνῃ τὴν περὶ τῶν αἰτίων ἐν τέταρσιν ἄλλοις. οὕτως ὠθῆ τὴν ἐξ αὐτῶν ἡμῖν γινομένην ἀφικνεῖσθαι, γεγραμμένην καὶ αὐτὴν ἐν τέταρσιν ἄχροις βιβλίοις. τὰ δὲ μετὰ τὸ πρῶτον ἐν τῇδε τῇ πραγματείᾳ τῇ περὶ τῆς διαφορᾶς τῶν σφυγμῶν εἰρημένα. καθάπερ καὶ ταυτὶ τὰ νῦν γραφησόμενα διὰ τὴν περίεργον φλυαρίαν τῶν νεωτέρων ἰατρῶν εἴρηται, δεηθέντων τινῶν ἑτέρων, καί τοι γ' ἀντιτείνοντος αὐτοῖς ἐμοῦ μέχρι πολλοῦ. βέλτιον γὰρ ἐνόμιζον εἶναι μηδόλως ἄχρηστα γράφειν, καὶ περιττὰ, μήθ' ἑκόντα μήτ' ἄκοντα τοῖς φλυαροῦσιν ἀντιφλυαρεῖν. ἀλλὰ γὰρ ὄντως ἀφόρητον ἐστὶ ἐνίων τὸ θράσος ἀγνοούντων μὲν ὁπόσας ἀκρείας ἔχει τὰ κατὰ τοῦ ὁρισμοῦ, προχείρως δ' ὁριζομένων, οὐ τοῦ σφυγμοῦ μόνον, ἀλλὰ καὶ τἄλλα ξύμπαντα. καί τοι γε οὐδεμιᾶς χρείας οὔσης τῶν ὅρων ὅταν καὶ πρὸ ἐκείνων σαφῶς νοῆται τὰ πράγματα, καθάπερ ὠθῆ τῆς τοῦ σφυγμοῦ προσηγορίας, ἣν οὐ μόνον ἰατροὶ νοοῦσιν, ἀλλὰ καὶ πάντες ἄνθρωποι. ὅταν γοῦν ἐκτείνοντες τὴν χεῖρα πρέχωσιν αὐτοῖς τὸν καρπὸν, ἅψασθαι κελεύοντες τοῦ σφυγμοῦ τὸν ἰατρὸν, ἆρ' οὕτως οἰηθῆναι χρὴ λέγειν τοῦ σφυγμοῦ τὴν προσηγορίαν ὡς εἰ καὶ σκινδαψὸν εἶπον, ἢ πρᾶγμα τι σημαίνοντες ἐφθέγξαντο τὴν φωνὴν τὴν δε; δοκεῖ μοι βέλτιον εἶναι φαῖναι νοοῦντας τὶ πρᾶγμα, κατ' ἐκείνου τίθεσθαι τοὔνομα τοῦ σφυγμοῦ. πότερον οὖν οὕτω λέγουσι τὸν σφυγμὸν, ὡς τὸν ἱπποκένταυρον καὶ τὰς σειρῆνας, ἢ τὴν σκύλλαν, ἢ κατὰ τίνος πράγματος ὑπάρχοντος ὑπαφέρουσι τοὔνομα; ἐμοὶ μὲν καὐταῦθα βέλτιον εἶναι δοκεῖ φαῖναι, κατά τινος ὑπάρχοντος πράγματος ὑπ' αὐτῶν λέγεσθαι τὸ τοῦ σφυγμοῦ ὄνομα. καὶ τοῦτ' εἶναι τὸ πρᾶγμα, τὴν κίνησιν τῶν ἀρτηριῶν, ἣν ὁρῶνται κινουμένην δι' ὅλου τοῦ βίου πᾶσιν ἀνθρώποις ἐν ἅπαντι μορίῳ τοῦ σώματος, ἐνθά περ ἂν οὖσαι τύχωσιν. καὶ μέν τοι, καὶ κατὰ τὰ φλεγμαίνοντα μόρια σφυγμοῦ τινὸς αἰσθάνεσθαι φασί. καὶ κροτάφων σφυζόντων ἔν τε πυρετοῖς διαπύροις καὶ πλέονος ἀκράτου πόσει, καὶ κεφαλαλγίαις τισὶ, καὶ μάλιστα ταῖς ἐξ ἐγκαύσεως ἡλίου, καὶ ταῦτα ἀλλήλοις ἑρμηνεύοντες, οὐ δέοντες μακρῶν λόγων, ὧν ἐπλήρωσαν οἱ νεώτεροι τῶν ἰατρῶν τὰ βιβλία, μετὰ τῶν θαυμαστῶν ἀντιλογιῶν ὧν πρὸς ἀλλήλους ποιοῦνται περὶ τὲ τοῦ κατ' αὐτὸν τὸν σφυγμὸν ὅρου, καὶ τῶν ἐν μέρει διαφορῶν αὐτοῦ πασῶν. οἷον τοῦ σφοδροῦ, καὶ μεγάλου, καὶ πλήρους, ὁμαλοῦ τε καὶ τεταγμένου καὶ τῶν ἄλλων ὑπὲρ ὧν ὠθῆ πλέον εἴρηται δι' ἐκείνων τῶν ὑπομνημάτων, ἐν οἷς ἐξηγοῦμαί τε ἅμα καὶ κρίνω τὸ περὶ σφυγμῶν Ἀρχιγένους βιβλίον, ἐπεὶ καὶ οὗτον τὸν ἄνδρα σὺν τοῖς ἄλλοις ἰατροῖς τοῖς νεωτέροις τὸ τῆς φιλαυτίας ἐπενείματο νόσημα. καινὴν γὰρ ἐγὼ τὴν δὲ τὴν προσηγορίαν ὑπὸ τοῦ καινῷ πράγματι τέθειμαι. καί τοι γε οὐκ ἦν ἄξιος Ἀρχιγένης παθεῖν οὗτον τὸ κακὸν, οὐκ ἀμελῶς ἐσχηκὼς ἀνὴρ περὶ τὰ τῆς τέχνης ἔργα, ἀλλ' ὥσπερ ψώρας καὶ ὀφθαλμίας ἀκρλάνουσιν ἔνιοι τῶν πλησιαζόντων ἄκοντες, οὕτω καὶ ὁ ἀνὴρ οὗτος εἰς τῆς περὶ τῶν ὁρίσεων φλυαρίαν ὑπεσύρη. καί τοι μᾶλλον τῶν ἄλλων ἀντιποιούμενος τῶν ἔργων τῆς τέχνης. ὅτι τοίνυν ὧν μάλιστα ἀγνοοῦσι, τούτων ἐφίεγνται, δείκνυμι διὰ συντόμων αὐτοῖς, ἀξιῶν ὧν βούλοντες προβάλλειν ὄνομα. ἐπειδὰν οὗτον πράξωσι κελεύων αὖθις ἀριθμὸν ἐπῶν εἰπεῖν. ἐν ὁπόσῳ βούλονται μέτρῳ ἐλθεῖν ὑπὲρ τοῦ κατὰ τὸ προβληθὲν ὁρισμοῦ. τιτρώσκονται γὰρ ἐκ τῆς τοιαύτης ὠθῆ δείξεως. καί τοι γε ἀναισθησίας ὠθῆ πλεῖστον ἥκοντες. ὡς γὰρ ἐχγωρεῖ μὲν ὑπὲρ ἑκάστου τῶν ὀνομάτων ἐν ὅλον ποιεῖσθαι βιβλίον, ἔσται δὲ ἔπη πλείω τῶν χιλίων. ταῦτα περὶ πάντων ἡμῶν ὁμοίως διερχομένων, ἀλλὰ νῦν γε δεινὸν ἔοικα πείθεσθαι προβάλλειν ἀναγκαζόμενος ἐμαυτῷ τὶ τῶν κατὰ τοῦ σφυγμοὺς, εἰς ἐπίδειξιν αὐτῶν τῆς ματαίας φλυαρίας.

ἔστω δὴ τοῦτ' αὐτὸ τὸ πρῶτον καὶ σαφέστατον ὁ σφυγμός. εἰ γὰρ ὠθῆ τούτου δείξαιμι πόσον ἐποιήσατο ματαιολογίαν, οὐδὲ περὶ τῶν ἄλλων ἔτ' ἄδηλος ὁ λόγος μένει. τὸν γοῦν σφυγμὸν κίνησιν ἀρτηριῶν ὡρίσαντο τινὲς, οἷς ἀντιλέγοντες ἔνιοι πρῶτον μὲν ἡμαρτῆσθαι τὸν ὅρον ἔφασαν. ἐπειδὴ παραλέληπται τὸ καὶ τῆς καρδίας. ἐχρὴν γὰρ οὕτως ὁρίσασθαι σφυγμὸς ἐστὶ ἀρτηριῶν καὶ καρδίας κίνησις, ἔνιοι δὲ οὐ καρδίας φασὶ δεῖν, ἀλλὰ τοῦ τῆς καρδίας ἀρτηριώδους μέρους προσιθέναι, ὡς γίνεσθαι τὸν ὅρον τοιοῦτον, σφυγμὸς ἐστὶ κίνησις ἀρτηριῶν καὶ τῆς κατὰ τὴν καρδίαν ἀρτηριώδους κοιλίας. ἢ νὴ δι' οὕτως. σφυγμὸς ἐστὶ κίνησις ἀρτηριῶν, καὶ τῆς ἀρτηριώδους κοιλίας τῆς καρδίας. οἷς αὖθις ἕτεροι μεμφόμενοι κακῶς εἰρῆσθαι φασὶ τὸ σφυγμὸν κίνησιν ἁπλῶς. εἶναι γὰρ καὶ ἄλλας κινήσεις ἀρτηριῶν, καὶ καρδίας, οἷον τὴν δὲ πεπτικὴν τοῦ περιεχομένου κατ' αὐτὰς αἵματος. ἑλκτικήν τε τούτου καὶ προσθετικήν. ἀφικριτικήν τε τῶν περιττωμάτων. ἐχρὴν οὖν φασὶ προσκεῖσθαι τοῦ ὅρῳ τὸ τῆς τῶν σφυγμῶν κινήσεως εἶδος. ἵν' ἴδιος αὐτῶν ᾖ, καὶ μὴ πολλῶν κινήσεων κοινὸς, καὶ τοίνυν αὐτοὶ τὸν ὅρον ἐποιήσαντο τοιόν δε. σφυγμὸς ἐστὶ ἀρτηριῶν καὶ καρδίας διαστολή τε καὶ συστολή, καὶ δηλονότι καὶ τούτου πάλιν αὐτοῦ τοῦ ὅρου τοσαῦται γεγόνασιν ἐπανορθώσεις, ὥσαι τοῦ πρόσθεν. ἐνίων μὲν αὐτῷ προσιθέντων, καὶ τὸ τῆς καρδίας, ἐνίων δ' οὐχ ἁπλῶς καρδίας, ἀλλὰ τοῦ κατ' αὐτὴν ἀρτηριώδους γένους, ἐνίων δὲ τῆς ἀρτηριώδους κοιλίας τῆς ἀριστερᾶς. εἰσὶ γὰρ οἱ καὶ οὗτον προσέθεσαν ὡς γίνεσθαι τοῦ ὅρους τοσούτους. σφυγμὸς ἐστὶ ἀρτηριῶν καὶ καρδίας διαστολή τε καὶ συστολή, σφυγμὸς ἐστὶν ἀρτηριῶν καὶ τοῦ τῆς καρδίας ἀρτηριώδους μέρους διαστολή τε καὶ συστολή, σφυγμὸς ἐστὶ ἀρτηριῶν, καὶ τῆς ἀρτηριώδους κοιλίας τῆς καρδίας διαστολή τε καὶ συστολή. πολεμοῦσι δὲ τούτοις ἅπασιν ἕτερος χορὸς ἀνδρῶν, οὐ ταῦτα μόνον, ἀλλὰ καὶ τὰς μήνιγγας

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 48 sur 494

σφύζειν λέγοντες. γίνοι δὲ καὶ τὸν ἐγκέφαλον. ἄλλοι δὲ ἀμφότερον. πνεῦ δὲ πρώτως μὲν τὸν ἐγκέφαλον. κατὰ συμβεβηκὸς δὲ τὰς μήνιγγας. ἄλλοι δὲ αὖ πάλιν οὔτε τὰς μήνιγγας, οὔτε τὸν ἐγκέφαλον ἡγοῦνται σφύζειν πρώτως. ἀλλὰ ταῖς μὲν ἀρτηρίαις ὑπάρχειν ὄντως, ἢ συμβεβηκὸς δ' ἐκείνοις. σωιξαίρεσθαι γὰρ αὐτὰ, ταῖς γὰρ αὐτοῖς ἀρτηρίαις φασὶ παμπόλλαις ὄσας. εἰ μὴ δὲν σωιξαίρετ μόνον δ' ἐλαμίαν αὐτὰ διὰ αμιν ἔχοντα ἢ πῶς ῥηθὲν τοιαύτης κινήσεως δ' ἐν ἐπὶ δέκα πῶς ἰδεῖν τοῖς πῶς ιρημένοις ὄροις. εἰ δ' ἔχει τινὰ διὰ αμιν οἰκείαν ὁμοίαν ταῖς ἀρτηρίαις, ἀναγκαῖον ἔσται μνημονεύειν ἢ τὸν ὅρον ἐγκεφάλε καὶ μηνίγγων. ὡς γνώσεσθαι τὸν ὅλον ὁρισμὸν ζώου δὲ, σφυγμὸς ὅτι διαστολὴ, ἢ συστολὴ καρδίας, ἢ ἀρτηριῶν ἐγκεφάλε τε καὶ μηνίγγων. εἰ δὲ τὸ ἕτερον αὐτῶν μόνον ἔχει τῶν τοιαύτην διὰ αμιν, ἐκεῖνο μόνο μνημονεύσομεν, ἢ τοι γ' ὅτω ποιοῦντες τὸν ὅρον. σφυγμὸς ὅτι διαστολὴ καὶ συστολὴ καρδίας καὶ ἀρτηριῶν, καὶ μηνίγγων, ἢ ὅτω. σφυγμὸς ὅτι διαστολὴ καὶ συστολὴ καρδίας καὶ ἀρτηριῶν, καὶ ἐγκεφάλε. καὶ καθ' ἕκασον γένος τῶν ἐμπροσθεν ιρημένων ὅρων ὁμοίως προσθήκη γένοιτο. τινὲς μὲν γὰρ, ὡς ἔφην, ἠρκέσθησαν εἰπεῖν. σφυγμὸς ὅτι διαστολὴ καὶ συστολὴ καρδίας, καὶ ἀρτηριῶν. γίνοι δὲ οὐχ ἁπλῶς ὅτως, ἀλλ' ἤτοι ἢ ἀρτηριώδους γε τῆς καρδίας κοιλίας, ἢ ἢ ἀορτῆς, ἢ τῶν μορίων αὐτῶν τῶν ἀρτηριώδους προσέθεσαν. ἑκάστε δὲ τούτων τῶν ὅρων, οἱ μὲν ἐγκεφάλου, οἱ δὲ μηνίγγων, οἱ δ' ἀμφοτέρων προσθήκας ποιοῦσι. γένοιτο πλῆθος ὅρων ἐκ ὀλίγων. ἠμφισβήτηται δὲ ὅδε ἤδη αὐτοῖς καὶ πρὸς τῶν ἢ καρδίας κοιλιῶν. γίνοι γὰρ ἡγοῦνται μὴ σφύζειν τὴν δεξιάν. εἰσὶ δὲ οἱ σφύζειν μὲν, ὑμῖν πρώτως, ὅδε δι' αὐτὴν, ἀλλὰ τῇ πνεύματι καὶ καλαμένῃ συγκινεμένῃ, ὥσπερ ὅσοι ἢ ἀορτῆς κοιλίας ἢ καρδίας ἢ ἢ ἀρτηριώδους, ἢ ὁπόσην ἄλλως ὀνομάζοντες μνημονεύσει διηνεχθήκοντες τοῖς ἢ τὴν δεξιὰν ἡγεμένοις σφύζειν. ἔτι δὲ μείζων ἄλλη διαφορὰ τοῖς ἰατροῖς ἐκ παλαιῶ πρὸς τῶν ἀρτηριῶν ἐγένετο. ἐνίων μὴ ἡγεμένων αὐτὰς ἐξ ἑαυτῶν σφύζειν, σύμφυτον ἐχόντας ὁμοίως τῇ καρδίᾳ τῇ τοιαύτην διὰ αμιν, ὧν ὅτι καὶ ὁ πραξαγόρας. γίνοι δὲ σφύζειν μὲν αὐτὸ τ' χιτῶνα αὐτῶν διαστελλομένε τε καὶ συστελλομένε, καθάπερ ἡ καρδία, τὴν διὰ αμιν δὲ ἐκ ἔχεσθαι σύμφυτον ἢ ὅτω δοκῶσιν, ἀλλὰ πρὸς καρδίαν λαμβανέσθω. ἧς γνώμης ἔχεται καὶ ἡροφίλο. ἐρασιστράτῳ δὲ δοκέτερον ἀρέσκει. βάλεται γὰρ ἔμπαλιν τῇ καρδίᾳ τὰς ἀρτηρίας σφύζειν. ἐκείνης μὲν ὅτε διαστέλλεται πληρεμένης τῇ πρὸς τὸ κενὸ μένον ἀκολουθίᾳ. τῶν δὲ ἀρτηριῶν ὅτε πληρῶνται διαστελλομένων, πληροῦσθαι δὲ αὐτὰς τὸ πρὸς καρδίας ὠθεῖσθαι πνεύματος φησίν. ἅμα μὲν δὴ ἀναγκαῖον ὄντων ἀμφοτέρα γίνεσθαι τὴν τε διαστολὴν, καὶ τὴν πλήρωσιν αὐτῶν, ἡγεῖται ὁ τὸ ἕτερον θατέρε λόγου αἰτίας ἔχον. ὧν μὲν τῇ καρδίᾳ τὴν διαστολὴν, ὧν ὁ ταῖς ἀρτηρίαις τὴν πλήρωσιν, ὥσπερ ὁρᾶται καὶ τῶν ἐκτὸς. αἱ μὲν γὰρ τῶν χαλκέων φύσαι, διότι διαστέλλονται σῴζε ὄντων πληρῶνται. οἱ σάκκοι ὁ καὶ οἱ βύλανοι, καὶ οἱ ἀσκοὶ, διότι πληροῦνται, σῴζε ὄντων διαστέλλονται. τὸν ὁρισμὸν δὴ τοίνυν ὅλην τὴν οὐσίαν ἀκριβῶς τοῦ πράγματος μέλλει δηλώσειν, οὐδὲν αὐτῶν τῶν κυριωτάτων παραλείπων προσικ. ἢ δ' οὐσίας ἀμφισβητεμένης ἀναγκαῖον ἔσται καθ' ἑκάστην αἵρεσιν, ἴδιον ὁρισμὸν γενέσθαι, ὥστε τοῖς ἐρασιστρατείοις, ὅτως ὁρίσεσθαι ὅτι, γίνοι ἐκνυσὶ τὸ ἴδιον ἐξ ἐρασιστράτε δόγμα ποιεῖ ἢ τῶν σφυγμῶν οὐσίας. τοῖς δ' ἡροφιλείοις ὡς τὸ ἴδιον ἡροφίλου, καὶ τοῖς ἄλλοις ἅπασιν ὡσαύτως, οἰκεῖον ἑκάστοις ὅτι ὅρον ποιητέον ἐφ' σφετέρῳ δόγματι. ὅτω ἢ σύνθεσιν αὐτὸ, οὐδεὶς χρεὼν αὐτῶν ἐπίσταται, ἢ τότε γ' ἔτι μᾶλλον ἀναγκαῖον ἐγνῶσθαι δύο μὲν τὰ πρῶτα τῶν ὁρισμῶν εἶναι, τὸ μὲν ἕτερον ἐξηγούμενον ὡς φῶς τὸν τοῦ πράγματος γνῶναι, ἰῶ ἔχουσιν οἱ ὀνομάζοντες αὐτὸ, τὸ δ' ἕτερον, ὡς εἴρηται, τὸ τῆς οὐσίαν διδάσκον. ἀρετὴ δ' ἑκατέρε τῶν ὅρων ἰδία. τοῦ μὲν τῆς γνῶναι ἑρμηνεύοντος ὁμολογεῖσθαί τε πᾶσι τοῖς ὁμοφώνοις. ὡς μὴ προσπίπτεσθαι ἢ οὐσίας τοῦ πράγματος. τοῦ δὲ τὴν οὐσίαν διδάσκοντος, ὁμολογεῖν μὲν ὡς τῆς γνῶναι, ἕτερον δὲ ὑπάρχειν αὐτό. πρῶτον οὖν τοῦτό σοι γιγνέσθω γνώρισμα τῶν ἐκ φλυαρόντων, ὅταν γνῶ τὸ προκειμένε πράγματος ἀκόσμως αὐτῶν λεγόντων ὅρον. ἐπίτηνον μὲν γὰρ ὁ δύο μόνον. ἀλλὰ καὶ τρεῖς καὶ τέτταρας, ἀμείνων ὅτι ποιεῖσθαι. πρῶτον μὲν τὸν ὁμολογέμενον ἅπασι τοῖς ὁμοφώνοις, ὅς τις οὐδὲν ἀφαίνεται πρὸς ἢ τὸ πράγματος οὐσίας ὦν ψιλῆς καταμένων ἢ γνοίας. ἕτερον δ' ἐπ' αὐτῷ βραχὺ μέν τι ἢ γνοίας ἀρχωρῶντα. βραχὺ δέ τι καὶ ἢ οὐσίας ἐφαπτόμενον. καὶ τρίτον ὧν τῷδε, πλέον μὲν ἢ δὴ ἢ γνοίας, πλέον δὲ καὶ ἢ οὐσίας ἑρμηνεύοντα, καὶ τέταρτον ἐφ' αὐτοῖς τὸν τὴν οὐσίαν ὅλην διδάσκοντα. ὅτον μὲν οὖν δείκνυσι δεῖ, τὴν ἀναφορὰν ὧν τὸν τρίτον ἔχοντα. ὅτον δ' αὖ πάλιν, ὧν τὸν δεύτερον, κἀκεῖνον αὖθις ὧν τὸν πρῶτον. αὐτὸν δὲ τὸν πρῶτον ἐξ αὐτῶ πιστεύει, φανερῶν γε ἀργῶς πραγμάτων ἐρμηνείαν ἔχοντα. διὸ καὶ λόγον αὐτὸν ὀνοματώδη κέκληκεν ὁ Αριστοτέλης, ὡς εἰ καὶ λόγον ὀνόματος ἑρμηνευτικὸν εἰρηκέ. τὸν δ' ἕτερον ὅρον, οὐσιώδη τινὲς ἐκάλεσαν, λόγον εἶναι φησὶν, τὸν τί ἦν δηλοῦντα. τὰ μὲν γάρ ὄντων ἑκάστῳ τῶν ὁριζομένων, τὸ εἶναι ὅτον ἑρμηνεύειν φησί. τὰ συμβεβηκότα δὲ ἰδίως αὐτῷ συνδρχεσθαι τὸν γνωσιμαικὸν. ὑπολαμβάνει δὲ καὶ ἄλλων ὁρισμὸν εἶναι τὸν τὴν τῶν οὐσίαν τοῦ πράγματος δηλώσοντα. τί με δεῖ λέγειν μακρότερον ἔτι περὶ τηλικούτων πραγμάτων, ἃ δυνατὸν ἐστὶν ἐν βιβλίῳ τοῦ τρίτου, καὶ τεταρτοῦ τῶν ὑπομνημάτων ὧν ἐποιησάμην εἰς τὸ δεύτερον Αριστοτέλους τῶν δευτέρων ἀναλυτικῶν. ἐπὶ αὐτοῦ δ' ἐσομένου τοῦ σφυγμοῦ πειράσομαι δεῖξαι τούτων ἕκαστον. ὅσον οἷόν τε μοι διὰ βραχυτάτων. ὡς τις δὲ οἷς ἔπος ὑπομνήμασι προτέρου ὠφέλησον, ὅτος ῥᾷον ἀκολουθήσῃ τοῖς λεχθησομένοις. ἀναδανόμεθα κατ' ἐνίαν μόρια τοῦ σώματος κινήσεως τινός, ὃ μόνον ὠθοῦσαν αὐτῷ τὴν ἀφήν, ἀλλὰ καὶ τοῖς ὀφθαλμοῖς ἐνίοτε. καὶ δι' ἣ κίνησις ὠθεῖ πάντων φαίνεται τῶν ὑγιαινόντων ἐν πολλοῖς μέρεσι τοῦ σώματος. ὧν ἐν ὅτι μὲν τὸ τῆς τὸν καρπὸν τῆς χειρὸς. ἐναργῶς μὲν δὴ ἀνίοντος τινὸς ἐκ βάθες ὠθεῖ τὸ σῶμα καὶ πλήσσοντος ἡμᾶς ἀναδανόμεθα. μετὰ δὲ τῆς πληγῆς ἐνίοτε μὲν ἀρχωρῶντος αὐτοῦ ἁφῆς. εἶθ' ἡσυχάζοντος, ἐνίοτε δ' οὐθεὼς ἀπὸ ἀρχῆς ἡσυχάζοντος ἔμφασις γίγνετ. εἶτα μετὰ ταῦτα πάλιν ἀνίοντος τε καὶ πλήσσοντος, εἶτ' αὖθις ἀποῦντος τε καὶ ἡσυχάζοντος, καὶ ὅτω δὴ παντὸς ποιοῦσ ἀφ' ἧς ἂν ἡμέρας γένηται τῆς ἕως θανάτου τὴν τοιαύτην κίνησιν οἱ ἄνθρωποι πάντες ὀνομάζουσι σφυγμὸν. καὶ ὃς τις ἂν αὐτὴν δὴ ταχέως ἑρμηνεύσαι δυνηθῇ, κάλιστα τὸν γνωσιμαικὸν ὅρον ὁ τοιοῦτος ἐργάζετ. μήτε παραλιπὼν δηλονότι, μήτε προσθεὶς ἐκ περιττοῦ παρὰ τὰ δέοντος ἀρετῆς. εἰ δέ γέ τι προθείη καὶ ἢ

σμικροῦ

σμικρόν, εἰ μὲν ἄχρηστον εἴη τὸ προσιὸν ἐμβλεχθὲν ἀσθενεστέρᾳ μάτλῳ, εἰ δὲ χρήσιμον, ἀσθενεστέρᾳ κατ' ἐκεῖνο τῆς φύσεως ἐνεργείας τῷ τὸ ὑγιὲς τῷ τοῦ πράγματος. οἷον εἰ φαίη τὸν ἀρτηριῶν τοιὰν δὲ κίνησιν εἶναι σφυγμόν. ὁ γὰρ τοιοῦτος ὄρος, ὁ τῆς κίνησιν μόνον, ἀλλὰ καὶ τίνων ἔστιν ἐρμηνεύειν. καί τοι τῶν ἰδιωτῶν. ὅτι μὲν ὅτι τῆς φύσεως τοῦ σώματος τοιάδε κίνησις φανερῶς ἀναδανομένων. ἀγνοούντων δ' αὐτὸ τὸ κινούμενον σῶμα. εἰ δέ τις ἀμόνου εἶδε τὴν ἀρτηρίαν γυμνώσας τοῦ περιττοῦ ἁπλῶς ὅτῳοῦν τῆς ἔξωθεν αὐτῆς περιγραφῆς, ἀλλὰ καὶ σὺν χιτῶσιν, ὁποῖοί τε εἰσὶ καὶ ὁποῖοι κατεσκεύασται, πυραστῷ προσχώσειεν ὅτος, ἢ τῆς τῶν φύσεων. ἔτι καὶ μᾶλλον ἐκεῖνο τοῦ πρόσθεν, ὃς ἔξωθεν αὐτῶν ὥρα μόνον. εἰ γὰρ δὴ καὶ τῆς δυνάμεως εὕροι, καθ' ἣν αἱ ἀρτηρίαι σφύζουσι, καὶ πότερον ἐξ ἑαυτῶν ἔχουσι τὴν ἀρχὴν τῆς κινήσεως, ἢ πρὸς τῆς καρδίας, καὶ εἰ πρὸς ταύτης, ὅπως ἄρα γε πνευματικὴν ὕλην ὑπεμπόσης τῆς τῶν ὑγρῶν κοιλότητα τῷ ἀγγείῳ, ἢ δύναμιν τινα δι' αὐτῶν χιτώνων αὐτῶν, ἔτι τε πρὸς τούτοις, ἢ τις ποτέ ὅτι ἡ χρεία τῆς κινήσεως αὐτῶν, ὅτῳ ἀκριβῶς εἴσεται τὴν οὐσίαν ὅλην τῆς τῶν σφυγμῶν γενέσεως. ὁ μὲν ἅπαντά γε ταῦτα δυνατὸν ὁρᾶν πρόθυμος ἐστὶν ἀκούειν. ὁ γε βάλανος μακρὸς εἰς τοσοῦτον γίνεται ὅσον ὄρος οἱ χαίροντες αὐτοῖς. ὥστε ὁτὲ ὅτι πᾶς ὄρος σφυγμὸν σιωπῶντας ἀκριβῶς, ἢ πάνυ μακρὸς ἔσται. προσκείσθω γὰρ λόγῳ τὸ ἀκριβῶς, ὅτι τῶν τῆς οὐσίαν ἄλλος ἄλλο προσθέντες γένοι τῶν νεωτέρων ἰατρῶν οὐσιῶν νομίζουσιν ὅρον εἰρηκέναι τὸ σφυγμῶν, πρὸς τοῦ κατὰ ἐκεῖνο μέγιστον ἡμαρτηκέναι τὸν μόνον εἰρηκέναι τὸ ὁριζόμενον ὑπὸ αὐτῶν οὐσιῶν, μὴ προσμένοντα τοῦ τῆς γένους. ὃς γὰρ τοῖς πρὸ τούτων λογισμοῖς ἡμῖν ὧν δεικτέον, κεῖται ὁρισμὸν γράφων τὸ τῆς τῆς οὐσίαν. ἀλλ' οὐδὲ τοῦτ' αὐτὸ γινώσκοντες, εἰκότως ἀφαίνονται τὸ δίκαν ἄλογος ἑαυτοῖς. ἀρξώμεθα δὴ ἀπὸ τῶν γνώσεως πικῶν ὅρων, ὃς οὐδὲν ἔφαμεν ἐρμηνεύειν πλέον, ἢ ἅπαντες ἄνθρωποι γινώσκουσιν. ἔοικε δὲ οὐδεὶς ἐρεῖν τοιοῦτος. οὐδὲ ὑπὸ τ' ἐμπειρικῶν οἷς ἔπρεπε μάλιστα πάντων ὅροις χρῆσθαι τοιούτοις, οὓς οἱ δεινοὶ πρὸς τὰς πρόσηγορείας οὐδ' ὅρους ἀξιοῦσιν, ἀλλ' ὑπογραφάς τε καὶ ὑποτυπώσεις ὀνομάζειν. ἐγένοντο δ' ἂν αἱ ὑπογραφαὶ τοιαίδε τινες. κίνησις ἀπροαίρετος ὑπάρχουσα τῶν ζώντων μερίοις ὑπάρχουσα τῶν ζώντων ἀναίμων ζώων, ἡσυχία διακοπτομένη. ἢ μὲν διὰ καὶ εἰ φυσικῶν εἴποι τις τὴν κίνησιν ἢ ἐν ἐκστάσιν, ἢ ὁ καθ' ὁρμὴν, ὁ διοισθ. εἰ δὲ ἢ ὅτι τὰ σμικρὰ μόρια γίνεται τοῦ σώματος, ἢ ὅτι βραχυχρόνιος ἐν τοῖς τῆς ὑπογραφῆς λόγῳ πρόκειται, τελεώτερον ἀφορίσασθαι τῆς γένοιαν. εἰ δὲ καὶ τὰς τῶν ὑγιῶν ἐπηρείας φυλάττοιο, πρόσθησθ' ἂν τῆς κινήσεως ὀνόματι τὸ ἀσθητόν. καὶ τοί γε αἱ τοιαῦται προσθῆκαι διαλείας ἄλογα μᾶλλον εἰσίν, ἢ ἀσφαλείας δι' ὅλου σημεῖον. τὸ γὰρ τῆς κινήσεως ὄνομα πάντες ἄνθρωποι ἴσασι τῆς φαινομένης ἀσθησθαι λέγειν εἰώθασιν, ἐπεί τοι τὰς λόγῳ θεωρητὰς ἔστι τὰς λόγῳ πιθανὸς ὑπὸ σοφιστοῦ παρέχειν ἀεὶ τοῖς σώμασιν ἅπασιν, καὶ μὴ φαίνηται κινούμενα. καὶ αὐτὸ δὲ τοῦτο τὸ ἀσθητὸν ὄνομα δύο σημαίνει, τότ' ὑποπίπτειν ἀσθησθαι πράγμα νῦν ἡδύ, καθ' ὃν ἂν λέγοιτο χρόνον. ἕτερόν τε πρὸς τούτῳ τὸ δυνάμενον ἀσθητὸν γενέσθαι καὶ νῦν ἢ μηδέπω. καθὸ καὶ τὸν ὑπὸ βυθῷ λίθον ἀσθητὸν εἶναι λέγομεν ὅσον ἑαυτῷ δι' ὃ τὸ τῆς φύσεως εἶναι δυνατὸν τῶν ἀσθητῶν. ἡ τοίνυν ἀσθητὴ κίνησις ὑπάρχει μέρεσι τοῦ σώματος ἕως ἂν ζῶμεν ἡμῖν φανομένη, σφυγμὸς ὀνομάζεται. διακόπτεται δὲ ὡς ἔφην ἡσυχία. ὅσοι γὰρ ἀσφαλὲς εἶναι νομίζουσι λέγειν μᾶλλον ὑπὸ ἰατρῶν, ἢπερ ἐκ διαστολῆς τε καὶ συστολῆς συγκεῖσθαι τὴν ὅλην κίνησιν. καὶ τοί γε ὅτῳ ἔχει τὸ φαινόμενον ἀναργὲς, εἰς ὕψος τε καὶ πλάτος καὶ μῆκος ἐκτεινομένης τῆς κινήσεως ὑπὸ τῶν ἰχνῶν τε καὶ μεγαλοσφύκτων. ἕτεροι δὲ τούτων ἀπολιμώτεροι τῶν ἰδίων παθῶν τῆς ἀφῆς ἄσθησιν αὐτοῖς εἶναι φασι, δεδιότες ἀσφαλιζόμενοι περί τινος τῶν ἐκτὸς ὡς ὑπαρχόντος ἐκ τῆς σκεπτικῶν καὶ ἀπορητικῶν ὀνομαζομένων ἀγωγῆς, ὑπὸ ὅτῳ γε ἡμεῖς οἱ τοῦτο μὲν οὖν ἀσφαλτέον ἡμῖν ὅτι. ἴσως γὰρ δι' ὅτι φαίνηται τις αὐτοῖς κίνησις ἀσφαλίζεσθαι τολμήσουσιν, εἰ τὰ πάντα πείθοιντο τοῖς ἀπορητικοῖς. ἐκείνων γὰρ γένοι φασὶν οἱ δὲ τὰ σφῶν αὐτῶν πάθη βεβαίως γινώσκειν, ὃς καλοῦσιν εἰκότως ἀγροικοπυρρονείους. ὑπὸ δὲ τοῦ ὁμολογουμένως πεπεῖσθαι κίνησιν ὁραῖν φαινόμενον ὑπὸ τοῦ διαστήματος σώματός τινος εἰς μῆκος, καὶ πλάτος, καὶ βάθος ἐκτείνομένου μεταβάντες, ἐπειδὴ μετριώτεροι τῶν ἄλλων εἰσὶ πρὸς καλέσωμεν αὐτοὺς διαιρεθέντος τοῦ διαστήματος, ἢ καὶ τὰ τῆς ἡμετέρας προαίρεσιν, ἢ ἧς τύχῃ πού, σκέψασθαι τί ποτ' ὂν τὸ φαινόμενον ὑπὸ αὐτοῦ κινεῖσθαι. δῆλον γὰρ ὅτι παραπλήσιον ἀγγείου ὄφονται τῇ φλεβὶ, πλὴν ὅσῳ τὸν χιτῶνα δηλοῦντα καὶ πολὺ ῥωμαλεώτερον ἔχον, ὃ καλοῦμεν ἀρτηρίαν. ὄφονται δὲ φανερῶς καὶ τὸ πρόσθεν αὐτοῖς ἀμυδρῶς ὁρώμενον. ὡς ἧς κύκλου ὅτου τὸ ἀγγεῖον διαστέλλεται. ἧς δὲ τὸν αὐτὸν τρόπον ἥ τε καρδία γυμνωθεῖσα φαινεῖται κινουμένη. καὶ ὁ ἐγκέφαλος. ὥστε τολμήσαί ποτε λέγειν αὐτὸν τὴν ὁρωμένην κίνησιν ἐν τῇ τῶν σφυγμῶν γενέσει πρὸς σώματα γίνεσθαι τὰ προειρημένα. πότερα δὲ πρώτως τε καὶ καθ' αὑτὸ ἡ ἐξιᾶσι κοιλία τῆς καρδίας, ἢ συγκινουμένη τῇ ἀρισθρᾷ ἧς τὸν αὐτὸν ἐκείνῃ ῥυθμὸν φαίνεται σφύζουσα, παραστήσεται ζητεῖν ὁ ἧς τὴν πρώτην μετάβασιν ἀπὸ τῆς ἰδιωτικῆς γνώσεως πρὸς τὴν οὐσίαν προθησόμεθα, ὁσαύτως δὲ κἀπὶ τοῦ ἧς τὸν ἐγκέφαλον φαινομένην σφυγμὸν παραστήσεσθαι ζητεῖν, εἴτε πρώτου τε καὶ ἐξ ἑαυτοῦ τὴν ῥοφρίαν ἔχει τοῦτον, εἴτε συνεξαιρόμενον τοῖς κατ' αὐτὸν ἀρτηρίαις πολλαῖς καὶ μεγάλαις οὔσαις. ὁ δὲ ὑπὸ μᾶλλον τοῦ δὲ τολμῶν ἀπορῆσαι πρὸς τῆς τῶν σφυγμῶν οὐσίας, καὶ ὅτῳ προσθήσει. τέλειον δ' ἂν τις ὁρισμὸν ποιοῖτο τοῦ σφυγμοῦ προθεὶς τοῖς ἐρμηνεῦσι τὴν χρείαν τῆς γενέσεως αὐτῶν. ὧν ἡμεῖς γὰρ τοῦ πρὸς χρείας σφυγμῶν ὑπομνήματι, φυλακήν τε τῆς ἐμφύτου θερμασίας ἔφαμεν εἶναι, γινώσκοντες, διηλεγχότι τοῦ τὸν τοιοῦτον ὅρον ποιήσασθαι ἧς τίνα τρόπον γίνεται τὸ φυλάττεσθαι τὴν συμμετρίαν τῆς ἐμφύτου θερμασίας. ἆρά γε τὸ ῥιπίζεσθαι κατὰ τὴν κίνησιν, ἢ διὰ τὴν πρόσπτωσιν τοῦ ψυχόντος ἀέρος σωζομένης, ὡς μὴ διαφορεῖσθαι ῥᾳδίως, ἢ καθαιρομένης τὸ καπνώδες τε καὶ λιγνυώδες περίττωμα. χρεία δ' ἐδείχθαι τῆς ἧς τὰς ἀρτηρίας πνευματικῆς οὐσίας, καὶ πῶς τὴν τοῦ ψυχροῦ πνεύματος ῥύσιν. τῆς δ' οὐσίας τῶν σφυγμῶν ὅτι, καὶ πότερον ὅταν αἱ ἀρτηρίαι διαστέλλωνται, τὴν εἰκαῖον ἑλκεσθαι συμβαίνοντας ὕλας αὐτὰς, ἢ ὅταν συστέλλωνται. καὶ πάλιν πρὸς τοῦ ἐκκρίνεσθαι τῶν ἀρτηριῶν, ὁ αὐτὸς λόγος, ἡμεῖς γὰρ ἐδείξαμεν ἑλκεσθαι μὲν διαστελλομένων, ἐκκρίνεσθαι δὲ συστελλομένων. οἷον ἀπὸ τῆς πνευματικῆς καλουμένης αἱρέσεως, συστελλομένων μὲν ὅλκεσθαι νομίζουσι, διαστελλομένων

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 50 sur 494

δ' ἐκκρίνεσθαι. προσθήσει δ' ἄλλος τούτοις ὁριζόμενος τὸν σφυγμὸν καὶ τὴν ποιητικὴν αἰτίαν αὐτοῦ. περὶ ἧς αὐτῆς ἐζήτηται. πότερον ζωτικὴ τίς ἐστιν, ἢ ψυχικὴ δύναμις, ἢ ὅλως οὐδὲ δύναμις, ὡς ἀσκληπιάδης κατασκευάζει. δῆλον οὖν ἐστι ὡς ὅτι οὐσιώδης ὀνομαζόμενος ὅρος, ὅσπερ ἐστὶ λόγος διδασκαλικὸς τῆς τοῦ πράγματος οὐσίας, τὸ δὲ γένος ἐρεῖ τοῦ σφυγμοῦ, καὶ τὰς διαφορὰς, τήν τε χρείαν τῆς γενέσεως, καὶ τῆς ποιητικὴν αἰτίαν, ἔτι τε πρὸς τούτοις ὑλικὴν, ἢ ὀργανικὴν, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλει. οἷον τὸ μὲν γένος ἤ τοι κίνησιν, ἢ ἐνέργειαν, ἢ πάθος ἀρτηριῶν. τὰς δὲ διαφορᾶς, ὅτι καὶ διαστολὴν καὶ συστολὴν. καὶ ὅτι χωρὶς προαιρέσεως, τήν δὲ χρείαν ὅτι τῆς ἐμφύτου θερμασίας ἕνεκεν, ἢ πνεύματος ζωτικοῦ γενέσεως, ἢ καὶ νὴ δία ψυχικοῦ. τὴν ποιητικὴν δ' αἰτίαν, ὅτι δύναμις τίς ἐστι διαστέλλουσα τήν τε καρδίαν, καὶ τὰς ἀρτηρίας, ἤτοι ζωτική τις ἢ ψυχικὴ, ἢ ἀμφότερα. τὴν ὑλικὴν δὲ καὶ ὀργανικὴν τὴν κατασκευὴν τῶν ἀρτηριῶν εἰς ἣν εἶπον ἐνέργειαν ὠθιτηδείαν δεῖξαι. καὶ γενήσεται δηλονότι καθ' ἑκάστην αἵρεσιν λογικὴν ἴδιος ὅρος. ὁ μὲν γὰρ Ἐρασίστρατος ἐρεῖ τὸν σφυγμὸν εἶναι κίνησιν ἀρτηριῶν καὶ διαστολὴν, καὶ συστολὴν ὑπὸ ζωτικῆς τε καὶ ψυχικῆς δυνάμεως γινομένην πληρώσεως ἕνεκεν ἀρτηριῶν ἐχουσῶν ἐν αὐταῖς πνεῦμα ζωτικόν. ὁ δ' Ἀσκληπιάδης, κίνησιν ἀρτηριῶν καὶ διαστολὴν, καὶ συστολὴν πληρουμένων μὲν πνεύματος τῇ πρὸς τὸ λεπτομερὲς φορᾷ, κενουμένων δὲ τῇ καταπτώσει τοῦ χιτῶνος αὐτῶν. ἡμεῖς δὲ φήσομεν ἐνέργειαν εἶναι τὸν σφυγμὸν ἰδίαν. πρώτως μὲν τῆς καρδίας, δευτέρως δὲ τῶν ἀρτηριῶν καὶ διαστολὴν, καὶ συστολὴν κινουμένων ὑπὸ ζωτικῆς δυνάμεως, ἕνεκα τοῦ φυλάττεσθαι μὲν τὴν συμμετρίαν τῆς ἐμφύτου θερμασίας, γεννᾶσθαι δ' ἐν ἐγκεφάλῳ πνεῦμα ψυχικόν. ἀνάλογον δὲ τοῖς ὅροις τοῖς δὲ καὶ οἱ ἀπὸ τῶν ἄλλων αἱρέσεων ὁριοῦντες τὸν σφυγμόν. ἕκαστος δηλονότι καὶ τὰς οἰκείας ὑποθέσεις. ἐὰν μὴ οὖν τελέως ὁρίζοντες συμφωνήσουσιν ἀλλήλοις. ἐὰν δὲ ἐλλιπῶς, ἢ περιττῶς, ἢ καὶ τὶ μοχθηρῶς, διενεχθήσονται. τούτου δὲ σοι πίστις μεγίστη, τὸ σοὺς ἡροφιλείους, οἵπερ δὴ καὶ πρώτοι τὸν σφυγμὸν ἐπεχείρησαν ὁρίζεσθαι, διενεχθῆναι πρὸς ἀλλήλους, ἀντιπαρεξάγοντας δὲ αὐτοῖς καὶ σοὺς ἐρασιστρατείους. ἤκμασε γὰρ ἄμφω ταῦτα πάντα τὰ διδασκαλεῖα μετὰ τὸν ἡροφίλου θάνατον, ἑτέρως πάλιν καὶ αὐσοὺς ποιεῖσθαι τὸν ὅρον τοῦ σφυγμοῦ, διαφωνοῦντας ἀλλήλοις τε, καὶ τοῖς ἡροφιλείοις. αὐτοὶ μὲν γὰρ οἱ παλαιοὶ χωρὶς ὅρων ἐποιοῦντο τὰς διδασκαλίας. ἐνδεικνύμενοι τὰ σημαινόμενα τῶν ὀνομάτων ὧν ἔλεγον αὐτῇ τῇ καὶ τὴν ἑρμηνείαν ἰδέᾳ, καθ' ἣν δηλονότι καὶ τὰς παρ' ὁμήρῳ λέξεις ἅπασί τε τοῖς ἄλλοις παλαιοῖς οἱ γραμματικοὶ σαφηνίζουσι. τὸ γὰρ τῇδε τῇ ἑρμηνείᾳ μή πω σαφὲς, ἐξ ἑτέρας εὔδηλον γίνεται, καθάπερ ὠθὶ τοῦ πήσυρου. ἐν μὲν γὰρ τοῦ, Γίσυρου εὐραύχενου ἵππου, σαφὲς οὐδέ πω τὸ σημαινόμενον ἐστὶ. ἐν μὲν τοι τοῦ, ἔνθεν μὲν τέσσαρα σάκε εἵλοντο δούρατα δ' ὀκτὼ, καὶ πίσυρας κυνέας, εὔδηλον ἐγένετο. τεττάρων γὰρ ὄντων τῶν καθοπλιζομένων ὥσπερ σάκη τέσσαρα λαβεῖν αὐσοὺς φησὶν, οὕτω καὶ περικεφαλαίας τέσσαρας. ὡσαύτως οὖν ὅταν ἀναγνῶμεν ἔντινι τῶν παλαιῶν ἰατρῶν βιβλίῳ, σφύζειν τὸ φλεγμαῖνον μόνον μόριον, ἢ τὴν ὠθὶ φλεγμονῇ κίνησιν τῶν ἀρτηριῶν σφυγμὸν ὀνομάζοντας μόνην, ὠθὶ δὲ τοῦ καὶ φύσιν ἔχοντος τοῦ σώματος, οὐδέ ποτε χρωμένους τῇ προσηγορίᾳ, λογιζόμεθα μὴ πᾶσαν ἀρτηριῶν κίνησιν, ἀλλ' ἤτοι τὴν μεγάλην καὶ σφοδρὰν, ἢ τὴν αἰσθητικὴν αὐτῷ τοῦ κάμνοντι προσαγορεύεσθαι σφυγμόν. οὕτω δὲ δοκεῖ τῇ προσηγορίᾳ τοῦ σφυγμοῦ κεχρῆσθαι, καὶ ὁ Ἐρασίστρατος. ὅταν δ' αὖ πάλιν ἀναγνῶμεν αἰγιμίου τὸ περὶ παλμῶν βιβλίον, εὑρίσκομεν ὃ νῦν ἡμεῖς καλοῦμεν σφυγμὸν ὑπὸ ἐκείνου παλμὸν ὀνομαζόμενον. ἐναντίως δ' αὐτῷ τὸν ἡρόφιλον εὕροις ἂν εὐθὺς ἐν ἀρχῇ τῆς περὶ σφυγμῶν πραγματείας διορίζοντα σφυγμὸν παλμοῦ. φαίνεται γὰρ ὁ ἀνὴρ οὗτος ἅπασαν ἀρτηριῶν κίνησιν ἣν ὁρῶμεν ἐξ ἀρχῆς ἡμῖν ἕως τέλους ὑπάρχουσαν ὀνομάζων σφυγμὸν, ἐξ οὗ καὶ τὰς διαγνώσεις τῶν παρόντων καὶ τὰς προγνώσεις τῶν ἐσομένων ποιούμεθα, μηδὲν τοῦ κατὰ τὴν καρδίαν, ἢ τὸν ἐγκέφαλον, ἢ τὰς μήνιγγας δεόμενοι σφυγμοῦ. κυριωτάτη μὲν οὖν ἔννοιαν τοῦ σφυγμοῦ πᾶσι τοῖς νῦν ἰατροῖς ἐστιν ἡ εἰρημένη. καὶ γὰρ δέονται ταύτης ὡς εἶπον ἄρτι. τὸ δ' ὠθὶ τῇδε, πᾶν ἤδη σφιστικόν. ὅθεν οὐδὲ ὁρίζεσθαι προσήκει τὰ τοιαῦτα τῶν πραγμάτων. οὐδ' αὐτὸν ἐμβάλλειν εἰς λόγους. καὶ παρ' αὐτοῖς τοῖς διαλεκτικοῖς διαπεφωνημένους ἕξεως τε μεγάλης δεομένους, ἵν' ἀκριβῶς τὶς αὐσοὺς κατορθώσῃ, πρὸς τοῦ μηδ' ἀναγκαῖον εἶναι δι' ὅρων οὐσιωδῶν ποιεῖσθαι τὰς διδασκαλίας. οἱ δ' ἐννοηματικοὶ καλούμενοι τῶν ὅρων τοῖς μὲν ἤδη γινώσκουσι τὸ πρᾶγμα, περιττοί. τοῖς δ' ἀγνοοῦσι οὐκ ἀναγκαῖοι, δυναμένης γε δὴ τῆς διδασκαλίας διὰ μακροτέρου λόγου γενέσθαι σαφεστέρας. εἰ μὲν γάρ τις δύναται διὰ βραχέος θ' ἅμα καὶ σαφοῦς λόγου περιλαβεῖν ἀκριβῶς τὴν ἔννοιαν τοῦ δηλωμένου πράγματος ὑπὸ τῆς προσηγορίας, ἄριστος ἂν εἴη διδάσκαλος. οὐ μὴν ὅγ' ἀπολειπόμενος τῆς τοιαύτης. ἕξεως ἄχρηστος, ὥσπερ οὐδ' ὁ μὴ καλῶς ἑρμηνεύων, ἄριστον μὲν γὰρ οὕτως σαφῶς ἑρμηνεύειν, ὡς οἱ περὶ λυσίαν τε καὶ δημοσθένη ῥήτορες. οὐκ ἄχρηστοι δὲ εἰσὶ καὶ οἱ νῦν ἐν τοῖς δικαστηρίοις λέγοντες. οὔκουν κωλύω σοὺς δυναμένους τὰ σημαινόμενα πράγματα πρὸς ἑκάστου τῶν ὀνομάτων ἐναργῶς τε ἅμα καὶ ταχέως ἑρμηνεύειν τοῖς ἀγνοοῦσιν. ὅς γε καὶ αὐτὸς ἐρῶ φαίνομαι οὐκ σπουδάζων. ἀλλ' ὅτι περιττόν ἐστι πράττειν οὕτως, ἐν οἷς ἤδη γινώσκουσι τὸ ἑρμηνευθησόμενον ἅπαντες. οὐδ' ὅλως τὲ χρὴ σοὺς οὐσιώδεις ὅρους λέγεσθαι τοῖς ἀρχομένοις ἡστινοσῦν μαθήσεως. ἀλλ' ὅταν ἀπὸ τῆς ἐννοίας ἀρξάμενοι προσάγωμεν αὐσοὺς ὠθὶ τὴν τῆς οὐσίας γνῶσιν, εἴη ἂν ἤδη χρήσιμον ἐν βραχεῖ λόγῳ περιλαβεῖν τὸ σύμπαν, ἕνεκα προχείρου μνήμης. ὅσοι τοίνυν ἰατροὶ καὶ φιλόσοφοι τοῖς ἀρχομένοις ὁτιοῦν μανθάνειν ἀπὸ τῶν οὐσιωδῶν ὅρων τὴν ἀρχὴν τῆς διδασκαλίας ποιοῦνται. κἂν ὅτι μάλιστα δυνατοὶ λέγειν ὦσι, κἂν σαφῶς ἑρμηνεύσωσιν, ὅμως, ἀσαφεῖς γίνονται μὴ δυναμένων νοεῖν τῶν ἀκούοντων ἐν ὅροις βραχέσι λεγόμενα πράγματα, μακρᾶς ἑρμηνείας εἰς νόησιν δεόμενα. προαποδειχθῆναι γὰρ χρὴ διὰ λόγων πολλῶν τὴν οὐσίαν τοῦ ζητουμένου πράγματος, ἵνα γνωσθεῖσαι τε καὶ πιστευθεῖσαι νοηθῇ ποθ' ὕστερον ἐν βραχείᾳ λέξει. ταῦτα οὖν εἰκότως μεμφόμενος ἀεὶ τοῖς ὠθιχειροῦσι ἅπαντα δι' ὅρων διδάσκειν εἵνεκα παραδείγματος, ὧν τόν δὲ τὸν λόγων ἧκον, ἐρῶ πολλάκις ὧν δειξάμενος, ὡς ὅτι περ ἂν προβάλλει τὶς ὄνομα, βιβλίον ὅλον ποιεῖν ὠθιδεικνῦντα πῶς ὁριστέον ἐστὶ τὸ δηλούμενον ὑπὸ αὐτοῦ πρᾶγμα. λέγωμεν οὖν αὖθις ἀναλαβόντες ὑπὲρ τοῦ κατὰ τὸ σφυγμὸν ὅρου μνημονεύοντες ὀνομαστὶ τῶν δοξάντων αὐτὸν ὁρίσθαι καλῶς.

ἤρξαντο

ἤρξαντο μὲν οὖν, ὡς ἔφην, ἡ διαίρεσις πρώτης ἁμαρτίας, οἱ περὶ Ἡρόφιλον. διεδέξαντο δ' αὐτὴν ἔνιοι τῶν ἐρασιστρατείων. εἶθ' οἵ τε πνευματικοὶ καλούμενοι καί τινες τῶν μεθοδικῶν. εἰ μὲν δὴ ἅπαντων μνημονεύω, συνοίσει τάχ' ἔνδς ἕνεκα τῆς ἀκριβείας βιβλίου. βαλοιμίνην δέ μοι τὴν ἐκ ἀναγκαίαν ταύτην πολυλογίαν ἐν ἑνὶ καταπαῦσαι γράμματι, τοσόνδε μόνον ἀπαρκέσει δεῖξαι ἅμα τοῖς ἐπέσθαι ἀνδράσιν αὐτὸν, ὅσους ἂν ὑποδέξασθαι δύνηται τὸ βιβλίον. ἐκ τούτων γὰρ ἑνέσται καὶ τοὺς ἄλλους ἅπαντας κρίνειν. ὁ μὲν τοίνυν Ἡρακλείδης ἐμπειρικῷ πρέπουσαν ὑπογραφὴν ποιούμενος, τὸν σφυγμὸν εἶναί φησι κίνησιν ἀρτηριῶν καρδίας. ἴσμεν δ' ὅτι τὴν ἀρχὴν οὐδ' ὁτιοῦν διαφέρουσιν οἱ ἀπὸ τῆς ἐμπειρικῆς αἱρέσεως, ἀλλ' ὑποτυπώσεσί τε καὶ ὑπογραφαῖς χρῶνται. καλοῦσι δ' ὅτως αὐτοὶ τοὺς λόγους, ὅταν διὰ βραχέων ἑρμηνεύσι τὴν ἔννοιαν τοῦ πράγματος, ὁ τὴν προσηγορίαν, τὸ πράγματος φθεγγόμενοι. ταύτην δὲ ἡγεῖται καὶ ἀνθρώπους ἔχειν ἔννοιαν τοῦ σφυγμοῦ προσηγορίαν, αὐτός τε προτείνοντας, ὥστε τὴν χεῖρα καὶ τὸν σφυγμὸν ἁψασθαι τὸν ἰατρόν. ὅταν δέ τινα λέγωμεν ἀσφυκτον ἐκ τῆς φωνῆς ταύτης ἡγούμεθα σημαίνειν τὸν ὅτῳ διακείμενον ἀνθρωπον, ὡς μηδεμίαν ὑποπίπτειν κίνησιν ἐν μηδενὶ μορίῳ τοῦ σώματος ἀρτηρίας μηδεμιᾶς. εἰσὶ δ' ἔνιοι τῶν ἀπὸ τῆς ἀρτηριακῆς αὐξανομένας τε, καὶ πληθομένας, καὶ πληρουμένας, κενουμένας, ὀδὲν αὐτῷ μέλειν, καὶ διὰ ὅτι μηδ' ὑποπίπτει μηδεμιᾶ τοῦ ἡμετέρου διαθέσεως τὸ γένος τῶν κινήσεων, ἀλλ' ἔνιοι λόγῳ θεωρητόν. ὦ λόγῳ καὶ τὰ φυτὰ πάντα φασὶν οἱ φυσιολογοῦντες ἀεὶ κινεῖσθαι, καὶ τό γε τότε μεῖζον, ὅτι καὶ τἄλλα πάντα μέχρι τῶν σκληροτάτων λίθων, καὶ γὰρ καὶ τούτων ἀκριβῆ τι διαπαντὸς. ἔνιοι δὲ καὶ προσκείσθαι φασὶν αὐτὰς ἐκ τοῦ πολέμου τοῦ μὴ δὲν τοιαύτην κίνησιν ὁ μόνον ἔτι ζῶντος, ἀλλὰ καὶ τεθνεῶτος ἤδη τ' ἀνθρώπου καὶ οὐ ταῦτα φυσιολογοῦντας ἀναγκαῖον ὑπάρχειν, ὥστε οὐκ ὀρθῶς ἐρεῖν ἀκινήτους ὑπάρχειν τὰς ἀρτηρίας ὧν τῶν τεθνεώτων, οὐδ' ἀσφύκτους ἔνιοις φαίνεσθαι τῶν ἔτι ζώντων. εἰσὶ δὲ λέγοντες πῶς ἅπασιν ὅτως, οὐδ' ὅλως εἶναι κίνησιν, ἡμᾶς νοεῖν τε καὶ ὀνομάζειν, ὁ τὴν λόγῳ θεωρητὴν, ἀλλ' ἥτις αὖ εἰς φανερὰν γνῶσιν ἥκει διαθέσεως. ἐκ τοιούτων μὴ δὲν λογισμῶν, ὅτε ταραντῖνος Ἡρακλείδης, καὶ ἄλλοι τινὲς τῶν ἐμπειρικῶν ἑαυτοὺς πείσαντες ὑπεγράψαντο τὸν σφυγμὸν εἶναι κίνησιν ἀρτηριῶν καὶ καρδίας. ἐπεὶ δὴ καὶ ταύτην ἑώρων ἀδήλως κινουμένην ὡσαύτως ταῖς ἀρτηρίαις. αὐτείποτ' οἱ αὐτοῖς ἔνιοι τῶν δογματικῶν ὀκ ἀξιοῦντες ἀδήλοις μόνοις κινεῖσθαι τὴν κίνησιν, ἀλλ' ἔνιοτε καὶ τοῦ λόγου. τὸν γοῦν ἥλιον μὴ τῆς σελήνης καὶ τῶν ἀστέρας ἅπαντας ὁμολογεῖσθαι μὲν ἅπασιν ἀνθρώποις κινεῖσθαι. μὴ γὰρ ἂν ἀπ' ἀνατολῆς εἰς δύσιν ἀφικνεῖσθαι ὡσαύτως φορὰν ἄνευ κινήσεως, ὁ φαίνεσθαι ἢ κινουμένης. ἐχέτω δὴ φασὶν εἰ καὶ μηδὲν ἄλλο, τοῦτο γοῦν προσκεῖσθαι τοῦ λόγου τὴν ἐμπειρικὴν, τὸ τὴν κίνησιν τὴν ἀρτηριῶν καὶ τῆς καρδίας ἀδήλην εἶναι. καὶ λέγειν αὐτοὺς τὸν σφυγμὸν εἶναι κίνησιν τὴν ἀρτηριῶν καὶ καρδίας ἀδήλην. ἔνιοι δ' ἀντιλέγοντες αὐτοῖς, κινήσεις ἀδήλους φασὶ κατά τε τὴν καρδίαν τε καὶ τὰς ἀρτηρίας, ὁ τὰς σφυγμώδεις μόνον, ἀλλὰ καὶ τὰς παλμώδεις φαίνεσθαι. καὶ ταύτας οὕτω ἐχούσας προσλαμβάνεσθαι κατὰ τὴν ὑπογραφὴν τὴν σφυγμῶν. ἐάνθ' ἁπλῶς ἐπωσιν ἀρτηριῶν καρδίας εἶναι τὸν σφυγμὸν κίνησιν, ἐάντε προσθῶσι τῆς ἀδήλου τὴν. ἔνιοι δὲ μὴ πασμῶν, καὶ πρόμων μνημονεύουσιν. ὡς καὶ τοιούτων ἐνῶν κινήσεων ἐσι ὅτε γινομένων ἐν ἀρτηρίαις τε καὶ καρδίᾳ παρὰ φύσιν δηλονότι. καὶ διὰ τοῦτο ἀξιοῦσι προσκεῖσθαι τοῦ ὅρου, τὸ φυσικὴ. πιστὸν ὅλον αὐτὸν ἐργαζόμενοι. σφυγμὸς δέ ἀρτηριῶν τε καὶ καρδίας κίνησις φυσικὴ. τούτοις ἀντιλέγοντες οἱ συναγορεύοντες τοῦ τε ταραντῖνε ὅρου φασί, μηδὲ ποτ' ἐν ἀρτηρίαις ἢ καρδίᾳ τὰς διαύτας γίνεσθαι κινήσεις, μόνον τῶν ὑδροσῶν σωμάτων ὄντας. ἀλλ' ὅτι μὴ ὅτε πασμός, ἢ ὁ τρόμος ἐν ὑδροῖς μόνον γίνονται, καὶγὼ σύμφημι. παλμὸς δὲ προφανῶς ὁρᾶται καὶ ὅτε τὸ θέρμα σωιστάμενον. ἐναργῶς δὲ καὶ τοῖς ἀερκώδεσι μορίοις, ἄπορ ὅτι μυδᾷ μέρη καὶ κατά γε τοὺς φόβους, καὶ τὰς ἀγωνίας ἐναργῶς ἡ καρδίᾳ φαίνεται παλμώδης. τὸ σμικρὰ δὲ ἀντιλογία πρὸς τῶν παθῶν τούτων γέγονεν Ἡροφίλῳ πρὸς τὸν διδάσκαλον Πραξαγόραν, ὀκ ὀρθῶς ἀφελομένου ἀρτηριῶν πάθος εἶναι καὶ παλμὸν καὶ τρόμον, καὶ πασμὸν, ὁ γένει διαφέροντα τῆς σφυγμώδους ἐν αὐτῇ κινήσεως, ἀλλὰ μεγέθει. κατὰ φύσιν μὲν γὰρ ἐχόντων ἅπασι πάσης πρωτασίεως γίνεσθαι τοὺς σφυγμούς, αὐξηθέσης δὲ τῆς κινήσεως αὐτῶν εἰς τὸ παρὰ φύσιν, πρῶτον μὲν πασμὸν ἀκριβεῖσθαι, δεύτερον δ' ἐπὶ αὐτῷ τρόμον, καὶ τρίτον τὸν παλμὸν ἀλλήλων διαφέροντα μεγέθει πάντα ταῦτα τὰ πάθη. διὰ τί τοίνυν Ἡροφίλῳ οὐθέως ἐν ἀρχῇ τῆς περὶ σφυγμῶν πραγματείας ἀνατρέπειν πειρᾶται τὴν τοῦ διαστήματος δόξαν. ἀλλ' ὡς ἔθος Ἡροφίλῳ διὰ ἑρμηνείας ἀσαφοῦς, ἵν ὕστερον οἱ ἀπ' αὐτοῦ μεταλαμβάνοντες ἔγραψαν, ἐν οἷς ἐποιήσαντο πραγματείαις περὶ τῆς Ἡροφίλου αἱρέσεως. ὥς τε εἰ μνημονεύω νῦν αὐτῆς Ἡροφίλου ῥήσεως, ἵν' ἐν ἀρχῇ τοῦ πρώτου περὶ σφυγμῶν ἔγραψεν, ἢ τῶν ἑρμηνέων τοῖς ἀπ' αὐτοῦ, μεγάλου ἑνὸς βιβλίου γρήσεται περὶ μόνου τούτου ὑπομνήματος περὶ τρόμου, καὶ παλμοῦ, καὶ πασμοῦ καὶ ῥίγους. ἀρκεῖ δέ μοι καὶ ταῦτα τὸ πλῆθος ἐναργῶς ἐπιδεδειγμένα τῶν ἐπιζητουμένων λόγων εἰς τὸ προκείμενον ζήτημα καταλιπεῖν αὐτό. τοῦτο μόνον ἐπόντι κατὰ φύσιν μὲν ἐχόντων ἡμῶν τὰς περὶ τὴν καρδίαν τε καὶ τὰς ἀρτηρίας κινήσεις διατελουμένων τε περὶ κύκλον αὐτῶν, καὶ οὐδεὶς εἰς ἑαυτὰς συναγομένων γίνονται. παρὰ φύσιν δ' ἐχόντων, καὶ παλμώδεις, ἢ κλονώδεις, ἢ πασμώδεις, ἢ τρομώδεις ἡ κίνησις φαίνεται τῆς ἀρτηριῶν, ὀδὲν ἄποπον εἶναι τὸν σφυγμὸν ὀνομάζεσθαι ποτὲ μὲν πασμώδη, ποτὲ δ' κλονώδη, ποτὲ δ' παλμώδη, ποτὲ δ' τρομώδη. καὶ γὰρ δὴ καὶ ἡμῖν δοκεῖ τινὰ κλονώδη σφυγμὸν ὀκ ὀλίγα φαινόμενον ἐναργῶς, ὃ τῆς φύσεως ἐρμήνευσα τοῦ πρώτου γράμματος ἢ τῆς πραγματείας, ὥστε καὶ τοῦτον τὸν λόγον ὀκ ὀρθῶς ἂν τις προθείη τοῦ ὅρου τοῦ σφυγμοῦ, τὸ φυσικὴ. πρὸς δὲ τὰ ἀδήλου ἐπιδεῖξαι ὀκ ταύτην ἔνιοι τῆς προθέσεως ἀξιοῦσι ποιεῖσθαι τὸ πολλάκις ἑρμηνεύον τῶν Ἀριστοτέλους ἄξιον εἰπεῖν. ἐκεῖνο γὰρ ὁ ἀνὴρ αὐτάρκως ἔνιοτε διελθὼν, τὶ προσιθέναι φυσὶ δεῖν αὐτῷ διὰ τὰς ὁρισικὰς ἐνοχλήσας ἕξωθεν ἄλλο, τὸ δοκοῦν ἑκάστοτε συμφέρειν τοῦ λόγου. καὶγὼ τοίνυν ὑπογράφομαι τὸν σφυγμὸν ἀρτηριῶν καὶ καρδίας κίνησιν ἀδήλου. καὶ μάλιστ' ὅτι καλοῦμεν ἀσφύκτους οἷς ὀκ ἔσι ἡ κίνησις ἀδήλη. καί τοι σωζομένης αὐτῆς πολλάκις, ὡς πρὸς τὴν οἰκείαν ὕπαρξιν. ὁ γὰρ ἂν ἔζησαν εἰ πα-

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 52 sur 494

πάσιν ἡ κίνησις ἀφῄρηται τῆς καρδίας, ἢ τῶν ἀρτηριῶν. ὅ γε μὴν Προφίλεως Ἀλεξανδρεὺς ὁ Φιλαλήθης
ὠνομασμένος, διῃρημένον ἐποιήσατο διὰ τὰς ποιότητας ἐπιρρείας τὸν ὁρισμὸν τοῦ σφυγμοῦ, τὸν μὲν ἕτερον ἀφ' αὐτοῦ τοῦ
πράγματος ἀφ' οἰκείας φύσεως, ὃν ὡς ἐν εὐσυνειλήτοις ὀνομάζει. τὸν δὲ ἕτερον ὡς ἐν ὑποκειμένοις σφυγμὸν εἶναι φησὶ καρδίας, καὶ ἀρτηριῶν συστολὴν, καὶ διάστασιν ἀπροαιρέτως οἵαν τε
φαίνεσθαι. τῶν δ' ὡς ἐν ὑποκειμένοις, τὴν ἐκ τῶν ἀρτηριῶν διαπαντὸς ἀπροαιρέτου κινήσεως πρὸς τὴν ἁφὴν
πληγὴν, καὶ τὸ μετὰ τὴν πληγὴν γινόμενον διάλημμα. καὶ λέγει γε τινὰς λογισμοὺς ἐπ' αὐτοῖς ὡς οἴεται πι-
θανοὺς ἐν τῷ .ε. τῶν ἀρεσκόντων. ὥσπερ καὶ ὁ παραπίνω Ἡρακλείδης ἐν οἷς ἀνέπλεγέ πρὸς τὸ περὶ σφυγ-
μῶν προφίλου. ἀνεπιλογίαστος δ' ὢν ἔκισται πρὸς αὐτοῦ τοῦ Φιλαλήθους ὅρους ἐγκρύπτοντος μετ' αὐτὸν, φῶναι μὲν ἀπί-
θανοι πάνυ, καὶ πεφανῶς ἐρεικῶδ, τινὲς δ' ἧττόν τε καὶ μᾶλλον πιθανὰ, πρὸς ἃς ἀπολύτησαν τινὲς τῶν ἀπ'
αὐτοῦ, καὶ μακρός γε λόγος ἑκατέροις πεφάνεται. διὸ κεφαλαίων δὲ κἀγὼ περὶ αὐτῶν ἴσως ὀλίγου ὕστερον ὅ- 10
λως ἐρῶ. πρότερόν γε πεγραφὰς αὐτοῦ τοῦ Δημοσθένους ὅρους, ὡσαύτως τοῖς διαλασκάλῳ Φιλαλήθους ὠνομασμέν-
νοις. ὃ καὶ τὰ τρία περὶ ὀφθαλμῶν δεῖ συγγράμματα, πρὸς πολλοῖς ἑνδεκαμοῦσι. διαιρεῖται δ' οὖν
καὶ ὅστος τὸν σφυγμὸν ὁμοίως τοῖς Ἀλεξανδρεῦσι, καὶ φησὶν εἶναι, τὸ μὲν ἐν τῷ τὸ ὑποκείμενον καρδίας, καὶ ἀρτη-
ριῶν διαστολὴν ἢ συστολὴν φυσικὴν, φαίνεσθαι δυναμένην. τὸν ἂ δὲ ὃ ποιούμεθα τὰς ἀδιαλείψεις καρδίας, ἢ ἀρ-
τηριῶν πρὸς τὴν ἁφὴν πλῆξιν φυσικὴν. ἢ τὸ μετὰ τὴν πληγὴν γεγόμενον διάλημμα. χρῆται δὲ τῇ τοῦ ὅρου
τοῖς κ. σωμοιόσημον πεπαιδιαζόντικῶ. νομίζων τὸν καὶ συμπλεκτικὸν ὄντα, τὸ μὲν συγκείμενον ἀφ' ἁμφοῖν ὁρίζε-
σθαι μόνον, ἰδίᾳ δ' ἑκάτερον οὐκ ὁρίζεσθαι, μόνον ἰδίᾳ δ' ἑκάτερον οὐχ ὁρίζεσθαι. βούλεται δ' αὐτὸς τὸν τῶν ἀρτη
ριῶν κίνησιν εἶναι σφυγμὸν αὐτὸν καθ' ἑαυτὸν μόνον. εἶναι δὲ φησὶν ὁ καρδίας αὐτὴν καθ' ἑαυτὴν μό
νην καὶ τοῦτο. εἶναι δὲ καὶ τὸ συναμφότερον σφυγμόν. ὡσαύτως δὲ καὶ τὴν διαστολὴν μόνην σφυγμὸν ὀνο-
μάζεσθαι, καὶ τὴν συστολὴν καὶ τὸ συναμφότερον. ἐπειδὴ δ' ὅτως ὀνομάζεσθαι τὸν σφυγμὸν, ἐπειδὴ ἧττον τὴν 20
διαστολὴν μέγας τε καλεῖται καὶ μικρὸς καὶ σφοδρὸς, καὶ ἀμυδρὸς, καὶ ταχὺς, καὶ βραδύς. ἧττον δὲ τὴν συστο-
λὴν ἀραιὸς ἢ πυκνός. ὅταν μὴ ὦν ἧττον ὁ ὑποκείμενον τὰ μέρη λέγει τὸ σφυγμὸ, διαστολὴν ὀνομάζει ἢ συστολήν.
ὅταν δ' ὡς ἐν ὑπολήψει, πληγὴν, καὶ διάλημμα νομίζων ἀδιάγνωστον ἀναδῆσαι τὴν συστολὴν εἶναι. μεγάλη γ' πά
λιν ἐγκαῦδα γέγονεν ἐναντιολογία τοῖς ἰατροῖς ὁ περὶ ὀνόματος μόνου ἔτι, καθάπερ φῆναι τῶν εἰρημένων ὁ μὲν
ὁδὲ περίεργος τε καὶ περιττὴ ταῖς πολλαῖς αὐτῶν ὁμοίως. ἀλλὰ τὸ μέγιστον αὐτὸ ἢ κυριώτατον ὑπομνημονεύω
ἐν θεωρίας, καὶ κρίναι ἀδίκαιος ἐγὼ, καθάπερ καὶ τἄλλα περὶ ὧν διεφώνησαν οἱ ἰατροὶ πρὸς ἑλλήνων, ὅτως
καὶ ὅδε παμπόλλοις ἔτεσιν ἀρχῶν διετέλεσε. χρόνῳ δ' ὕστερον ὀλίγῳ τὴν τ' αἰτίαν ἐν διαφωνίας αὐτῶν
εὗρον, ἐν τε περὶ τότε μόνου βιβλίου ἔγραψα τὸ πρῶτον περὶ τ' τ σφυγμῶν διαγνώσεως. ἐν ᾧ διώρισται τίνων
μὲν σφυγμοὶ τῷ συστολῇ ἀναδηλοῦν ἔχουσι. τίνων δ' ὁ φαινό] δ' ὂν ὁ κατ' ἐκεῖνο τὸ βιβλίον ἅπας λόγος ἐπέστα
γόμενος τοῖς οἰομένοις αὐτὸν ἐκ πληγῆς τε καὶ διαλείμματος συγκεῖσθαι. τινὲς γὰρ καὶ χωρὶς τοῦ διελεῖσθαι τὸν ὡς 30
ἐν ὑποκειμένῳ τῷ ἧττον τὰς ὑδισκέψεις ἁπλῶς, ἀπεφήναντο τὸν σφυγμὸν ἐκ πληγῆς καὶ διαλείμματος συγ-
κεῖσθαι. καί τοι καὶ ἐκ διαστολῆς τε καὶ συστολῆς λέγεσθαι συγκειτ? ζητημά τι γίνεσθαι πρὸς τῶν ἀρεμίαν, ἢν τ' ἐπὶ τῇ
διαστολῇ πᾶν ἢ συστολῆς. καὶ ἰῶ πρὸς τῇ συστολῇ πᾶν ἢ διαστολῆς, ἥ τε καρδία καὶ αἱ ἀρτηρίαι ποιοῦνται. καὶ
πεπαλίπωμεν δέ ποτε τὸ ἢ καρδίας ὄνομα μόνου ἔτ' ἀρτηριῶν μνημονεύσαντες, ὑπακοῦειν χρὴ κατ' ἐκείνης εἰρῆ
σθαι τὰ αὐτά. καθάπερ καὶ ὧδε ἢ καρδίας εἰπωμεν τι, παλιπόντες ἢ ἀρτηρίας, ἡγεῖσθαι χρὴ καὶ ἐπ' ἐ-
κείνων λελέχθαι τὸ αὐτό. τῶν δ' αὐτῶν ἀρεῖαι ἔχηκε καὶ ἡ ἧττον τῶν ἀναπνοῶν ἀρεμία διῃρημένων
ὀργάνων. ἡσυχάζει γ' ὅτε θώραξ ὁ κῆ πνεύμων ἐν τοῖς μεταξὺ χρόνῳ ἢ ἔσωτε καὶ ἔξω φορᾶς τοῦ πνεύματος,
καὶ κατά γε τὸν χρόνον τῶν ἡσυχίων τότων ἀραιὰν, ἢ πυκνὴν ὀνομάζουσι τὴν ἀναπνοήν. ἢ γε μὴν διάγνωσις ἐχ
ὁμοία τότων ὅτι τῶν ἡσυχίων κῆ τῶν ἐν τοῖς σφυγμοῖς. ἐναργῶς μὲν γ' ἀεὶ πρὸς ἢ ἀναπνοῆς φαίνονται. τῶν δ'
ἐν τοῖς σφυγμοῖς ἠρεμιῶν, ἃ μὲν ἐδείξαν ὅσ' ὅλως εἶναι διάγνωσιν, ἃ δὲ τοῖς ἐκτὸς μόνοις. ἥπερ δὴ καὶ 40
τὴν καὶ ἡμεῖς εἶναι φαμὲν. ὁ μὲν ὑπ' πάντων γε τῶν σφυγμῶν. ὅτι μὲν οὖν ὥσπερ ἀναπνοὴ πυκνὴ καὶ ἀραιὰ
τῶν ὑδικαίρων ὅτι σημεῖον, ὅτω καὶ σφυγμὸς πυκνὸς, καὶ ἀραιὸς ἐν τῇ δι' αὐτῶν προγνώσει μαθήσῃ. τὸ δὲ μέρη
τὰς ἡσυχίας εἶναι ἢ ὅλης ἀναπνοῆς τε καὶ τῶν σφυγμῶν, ἀμφισβητεῖται. καὶ γὰρ οἱ δοξάζοντες ὅτως, ὁ πρώ-
τως ἀλλὰ ἧττον συμβεβηκὸς εἶναι μορίῳ φασὶν ἐν ταῖς ἐνεργείαις ταύταις τὰς ἡσυχίας. ἐν ᾗ γ' ταῖς εἰσπνοαῖς τε
καὶ ἐκπνοαῖς ἐνεργεῖ πρόσφατος τὰ ἢ ἀναπνοῆς ὄργανα. ἧττον δὲ οὖν σφυγμοὺς διαστελομένης τε καὶ συστελο-
μένης ἢ καρδίας τὰς μεταξὺ τῶν ἐνεργειῶν τούτων ἡσυχίας πεπλησίακε τι πρᾶγμα εἶναι τῇ κατὰ τὸν τε-
θναιώτα αὐτοῖς ὑπαρχούσῃ. ὥσπερ καὶ οἱ λέγοντες ἐνέργειαν εἶναι ἀρτηριῶν τε καὶ καρδίας τὸν σφυγμὸν,
ἢ κίνησιν ἀρτηριῶν τε καὶ καρδίας, ἢ διαστολὴν καὶ συστολὴν ἀρτηριῶν τε καὶ καρδίας, δύξουσι παραλιπεῖν
τὰς ἡσυχίας, ὡ μικρὰν μοῖραν ἐχούσας εἰς πρόγνωσιν. οἱ γοῦν ἀραιὸς, καὶ πυκνὸς σφυγμὸς κατὰ ὅτον τὸν γένον
εἰσὶ μετὰ ἢ ἐν αὐτοῖς ὁμαλότητός τε καὶ ἀνωμαλίας, ἀταξίας τε καὶ τάξεως, ὁ σμικρὰ δηλοῦντες, ὥσπερ 50
καὶ ὁ διαλείπων, καὶ ὁ παρεμπίπτων κατ' αὐτὸ τὸ γένος ὅτον σωιεπόμενοι σημείου ὁ σμικροῦ, ὁ δ' αὐτὸ τῶν
ἐθμῶν ὄντες. ἐαν οὖν τις ἐθέλοι τὸν σφυγμὸν ὁρίζομένον ἐπεισάγειν αὐτῷ τὸν περὶ τῶν ἡσυχίων λόγον, εἴ
τε μέρη τίθεσθαι χρὴ τῶν σφυγμῶν αὐτὰς, εἴ τε μὴ, καὶ εἰ μέρη πότερον πρῶτα καὶ κατὰ τὸν ἴδιον αὐτῶν
λόγον, ἢ κατὰ συμβεβηκὸς, οὐκ ὀλίγου ἀναλώσει χρόνου, ἀλλ' ἡμεῖς ὥσπερ ὧδε τῶν ἄλλων ἄχρι τοῦ διεξε
τὴν κατ' ἕκαστα μακρολογίαν ἀφικόμενοι μετέβημεν ἐφ' ἕτερόν τι καὶ νῦν οὕτω πράξομεν ἐπανελθόντες ὑδὲ
τοὺς Ἀλεξάνδρου καὶ Δημοσθένους ὅρους, οὓς ἐπιπίσαντο τοῦ σφυγμοῦ. φαίνεται γὰρ εἰ καὶ μὴ τῇ λέξει,
τῇ γε δυνάμει ταῦτα τοῖς διαλασκάλῳ βουλόμενος ὁ Δημοσθένης. ὁ μὲν γὰρ Ἀλεξανδρεὺς ἀπολείπειν ἐφη
τὴν τῶν σφυγμῶν ἐνέργειαν ὑπάρχειν. ὁ δὲ φυσικὴν. καὶ ὁ μὲν οἵαν τε φαίνεσθαι, ὁ δὲ φαίνεσθαι δυναμένην.
οὕτως μὲν οὖν ἐν τοῖς κατὰ τὸ ὑποκείμενον ὅρῳ τοῦ σφυγμοῦ φαίνεται τοῖς διαλασκάλῳ συμφερόμενος ὁ
Δημοσθένης

Δημοσθένης. ὡσαύτως δὲ καὶ τοῦ κατὰ τὰς ὑπασκέψεις. εὔδηλον γὰρ ὡς οὐδὲν διαφέρει πληγὴν, ἢ πλῆξιν εἰπεῖν. ὥσπερ οὐ δ' ἀποαίρετον ἢ φυσικήν. ὅτι δὲ μόνῳ τὸ τόν. η. σύνδεσμον εἰς τὸν ὅρον παραλαβεῖν, ἀπέστη τοῦ διδασκάλου πρόσθεν εἴρηται. καθ' ὅν τινα λογισμὸν οὕτως ἔπραξεν. ἑξῆς οὖν ὑπασκεψώμεθα τοῦ ὑπὸ τῶν ἄλλων ἡροφιλείων εἰρημένους ὅρους. ὁ μὲν οὖν βακχεῖος ἐν ταῖς ἄλλαις ἀκροάσεσι τὸν σφυγμὸν εἶναι φησὶ συστολὴν, καὶ διαστολὴν ἅμα, ἐν ἁπάσαις ταῖς ἀρτηρίαις γιγνομένην. πρὸς ὃν ὅρον ἐπηρεαστικῶς μὲν ἀντεῖπον οἱ ἐρασιστράτειοι, τὸ σφέτερον ἁμάρτημα κατηγορίας ἀρχὴν ποιησάμενοι. δοκεῖ γὰρ αὐτοῖς ἡ μὲν καρδία πρώτη διαστέλλεσθαί τε καὶ συστέλλεσθαι τῶν ἀρτηριῶν ἁπασῶν. ὑπεμπομένου δὲ τοῦ πνεύματος ἀπ' αὐτῆς εἰς τὰς ἀρτηρίας κατὰ τὴν ὑπὸ πλήρωσιν αὐτῶν γίνεσθαι τὴν διαστολήν. πρῶτον μὲν τῶν πλησίον αὐτῆς τῆς καρδίας, δεύτερον δὲ τῶν ἐφεξῆς τάνταις. εἶθ' ἑξῆς τῶν ὑπὸ ταῖς δέ. καὶ οὕτω κατὰ τὸ συνεχὲς ὑπὸ τὰς ἐσχάτας ἁπασῶν ἀρτηριῶν διικνεῖσθαι τὴν κίνησιν. οὐδεμίαν αὐτῶν τῶν ἀρτηριῶν ἐχουσῶν δύναμιν, οὔτε ἰδίαν, οὔτε παρὰ καρδίας ὑπεμπομένην αὐταῖς ἢ χρώμεναι διαστέλλουσί τε καὶ συστέλλουσιν ἑαυτὰς ὥσπερ ἡ καρδία. τοῖς δὲ περὶ τὸν ἡρόφιλον ἀρέσκει τὰς ἀρτηρίας συνεχεῖς οὔσας τῇ καρδίᾳ διὰ τῶν χιτώνων ὑπῤῥέουσαν ἔχειν τὴν παρ' αὐτοῖς δύναμιν, ἢ χρώμεναι παραπλησίως αὐτῇ τῇ καρδίᾳ, διαστελλόμεναι μὲν ἕλκουσι πανταχόθεν, ὅθεν ἂν δύνωνται τὸ πλήρωσιν αὐτῶν τὴν διαστολήν, συστελλόμεναι δὲ ἐκλίβουσι. καὶ διὰ τοῦτο φαίνεσθαι καθ' ἕνα χρόνον ἅμα πάσας αὐτὰς διαστελλομένας τε καὶ συστελλομένας τὴν αὐτὴν προθεσμίαν τῇ καρδίᾳ τῶν κινήσεων ἀμφοτέρων φυλαττούσας. ἐρασιστράτῳ δὲ ἀκολουθεῖ μὲν οὐκ ἅμα φαίνεσθαι τήν τε καρδίαν καὶ τὰς ἀρτηρίας διαστελλομένας τε καὶ συστελλομένας. ἔχει δ' οὐχ οὕτως τὸ φαινόμενος ὥστ' οὐκ ὀρθῶς ἐνεκάλεσαν οἱ ἐρασιστράτειοι τοῦ βακχείου τὸ φαινόμενον εἰπόντι. βέλτιον δ' ἀντεῖπον ὅσοι φησὶ μόνων τῶν κατὰ φύσιν σφυγμῶν ὑπὸ αὐτοῦ γεγονέναι τὸν ὁρισμόν, ἐν γὰρ τὸ παρὰ φύσιν ἔχειν τὸ ζῶον, ἐνίοτε φαίνεσθαι μὴ πάσας ἅμα διαστελλομένας τὰς ἀρτηρίας. Ἀριστόξενος δὲ ὁ ἡροφίλειος οὐ τοῦτο μόνον ἐνεκάλεσεν, ἀλλὰ καὶ τὸ παραλελεῖφθαι μὴ τὸ γένος τῶν σφυγμῶν κατὰ τὸν ὅρον, ἐκ διαιρέσεως δ' αὐτοῦ λελέχθαι τι περὶ διαστολῆς, καὶ συστολῆς, αὐτὸς γὰρ ἀξιοῖ τὸν σφυγμὸν λέγειν ἐνέργειαν ἀρτηριῶν. τοῦτο γὰρ εἶναι τὸ πρῶτον γένος. εἶτ' ἐπεὶ καὶ ἄλλαι τινὲς ἐνέργειαι εἰσὶ τῶν ἀρτηριῶν αὐξανομένων τε καὶ τρεφομένων, προστίθησι τὴν ἰδίαν, ὡς εἶναι τὸν ὅλον ὅρον τοιόν δε. σφυγμὸς ἐστὶ ἐνέργεια καρδίας καὶ ἀρτηριῶν ἴδιος. ὅτι μὲν οὖν τὸ γένος τοῦ πράγματος οὗπερ ἂν ὁριζόμενοι τύχωμεν ἁπάντων πρῶτον λέγεσθαι χρὴ κατὰ τὸν ὅρον, ὀρθῶς εἶπεν ὁ Ἀριστόξενος. ἐπεὶ δ' ἐστὶ τὸ μὲν τι προσεχὲς αὐτοῦ γένος, οὕτω γὰρ ὀνομάζουσι τὸ διὰ μηδενὸς ἑτέρου μέσου. τόδ' ἔτι δι' ἑνὸς ἢ δυοῖν μέσων, ἢ καὶ τὸ πάντων ἀνωτάτω, ζήτησις οὐ μικρὰ γέγονεν. ποῖον χρὴ γένος λέγεσθαι πρῶτον ἁπάντων κατὰ τὸν ὅρον. ἆρά γε τὸ ἀνωτάτω μεθ' ὃ μηδὲν ἐστιν ἔτι γενικώτερον, ἢ τὸ προσεχές. ἢ καί τι τῶν μεταξὺ τούτων. ὅταν ἀμφοτέρων τῶν εἰρημένων ἢ σαφέστερον. εἰκότως οὖν ἐνίοις ἤρεσε τὸ προσεχὲς γένος τῶν σφυγμῶν κίνησιν εἰπεῖν. οὐσῶν δὲ κινήσεων πολλῶν, ἥ τε γὰρ φορὰ, καὶ ἡ ἀλλοίωσις, ἥ τε αὔξησις τε καὶ φθίσις. ἔτι τε πρὸς τούτοις γένεσίς τε καὶ φθορὰ, κινήσεις εἶναι δοκοῦσιν, ἀκόλουθον ἦν εἰπεῖν ἥν τινα κίνησιν εἶναι βούλονται τὸν σφυγμόν. εἶπον γὰρ ἂν δηλονότι φοράν. εἶτα τῆς φορᾶς πολλὰς ἐχούσης διαφορὰς ἐχρὴν ἐφεξῆς εἰπεῖν ἥν τινα φορὰν εἶναι βούλονται τῶν τοῦ σφυγμοὺς ἀπτελούντων ὀργάνων. ἄνωθεν δέ τι ἀρξάμενος ἀπὸ τοῦ πρώτου γένους εἰ τοῖς διαλεκτικοῖς ἕπεσθαι βούλοτο τὸν σφυγμὸν ἂν ὁρίσατο καρδίας, καὶ ἀρτηριῶν ἐνέργειαν εἶναι κατὰ κίνησιν τὴν κατὰ φορὰν γινομένην ἐν τοῦ διαστέλλεσθαι, καὶ συστέλλεσθαι. τάχα δὲ ἀξιώσει τὶς τούτοις προσθεῖναι καὶ τὰς ἡρεμίας. ὥσπερ οὖν καὶ ἠξίωσαν ἔνιοι. τινὲς δ' ἀφαιροῦσιν ὡς κατὰ συμβεβηκὸς οὐ πρώτως αὐτῶν γινομένων, ἀλλὰ πρὸς Ἀριστόξενον ἱκανὰ καὶ ταῦτα. διαλεκτικῶς μὲν ὁρίζεσθαι βουλόμενον, οὐ φυλάττοντα δὲ τοῦ διαλεκτικοὺς νόμους οὐδ' αὐτόν. ἀξιοῦσιν γὰρ οἱ δεινοὶ περὶ τοῦ ὁρισμοὺς ἀπὸ τοῦ πρώτου γένους ἀρξαμένους ἡμᾶς, εἶτα διὰ τῶν μεταξὺ προϊόντας ποιεῖσθαι τὸν ὅλον ὅρον. ἔγραψα δ' ἂν ἴσως τὸ παράδειγμα τοῦ τοιούτου τρόπου τῶν ὅρων, εἰ μὴ τὰ πλάτωνος ἦν δύο βιβλία πᾶσι γνώρισμα. καθ' ἃ διδάσκει τε καὶ γυμνάζει, τῇ διαιρετικῇ μεθόδῳ χρωμένους ποιεῖσθαι τοῦ ὁρισμούς. ὑπεγράφει δὲ τοῦ βιβλίου τούτου, τοῦ μὲν ἑτέρου σοφιστὴς, τὸ δ' ἑτέρου πολιτικός. ὑπὸ δὲ τὸν ὑπὸ τοῦ ζήνωνος εἰρημένον ὅρον ἔλθωμεν, ἀνδρὸς οὐδενὸς δευτέρου τῶν ἡροφιλείων. οὗτος δὴ τὸν σφυγμὸν φησὶν εἶναι τῶν ἀρτηριωδῶν μερῶν μικτὴν ἐνέργειαν ἐκ συστολῆς καὶ διαστάσεως, καθ' ἣν ἐν ἅπασι τοῖς μέρεσι τὴν αὐτὴν ὑπάρχειν τάξιν ἠκολούθησεν, ἐάν τε ἐν τοῖς ἴσοις, ἐάν τε ἐν τοῖς ἀνίσοις ἐκείνη συντελεῖται χρόνοις. καὶ οὕτως οὖν ἐνέργειαν μὲν εἰπὼν εἶναι μικτὴν, οὐ μόνον τὸ γένος ἀπεφήνατο τῶν σφυγμῶν, ἀλλὰ καὶ τὴν, ὡς οἴεται προσεχῆ διαφοράν. ὑπερβὰς μὲν ὅτι κατὰ κίνησιν ἡ ἐνέργεια γίγνοιτο, καὶ τῆς κινήσεως κατὰ φοράν. τῶν δὲ τῆς φορᾶς εἰδῶν ἢ διαφορῶν μνημονεύσας συστολῆς τε καὶ διαστολῆς. εὔδηλον γὰρ ὅτι τὴν διάστασιν ἀντὶ τῆς διαστολῆς εἴρηκεν. οὐ κακῶς δ' εἶπε μικτὴν εἶναι τὴν κίνησιν οὐχ ἁπλῆν, οὐ δὲ μονοειδῆ, σύνθετος γάρ ἐστι ἐξ ἐναντίων μορίων, ὡσαύτως τῇ κατὰ τὴν ἀναπνοήν. εὔδηλον δὲ καὶ ὅτι τὸ ἕτερον μέρος μόνον τῆς συνθέτου ταύτης κινήσεως, οὐ βούλεται σφυγμὸν ὀνομάζειν. ἀλλὰ μέρος σφυγμοῦ. τὸ γὰρ οἴεσθαι διὰ τοῦτο καὶ τὴν διαστολὴν ὅλην ὀνομάζεσθαι σφυγμὸν, ὅτι μέγας σφυγμὸς λέγεται κατ' αὐτὴν, οὐκ ἐννενοηκότων ἐστὶ, ὡς ἀπὸ τῶν ἐν τοῖς μέρεσι συμβεβηκότων ἐνίοτε τὴν ἐπωνυμίαν ἴσχει τὸ σύμπαν. ἐν γοῦν τοῦ σιμὸς ἄνθρωπος, καὶ γρυπὸς, καὶ γλαυκὸς, καὶ χαροπὸς, καὶ φαλακρὸς, ἑτέροις τε παμπόλλοις ἀπὸ τῆς κατὰ τὰ μόρια διαθέσεως ἐπωνυμία τοῦ ὅλου γίγνεται. τῶν δ' ἄλλων σχεδὸν ἁπάντων ἡροφιλείων, ἢ ἀρτηριῶν, ἢ καρδίας, ἢ ἀμφοτέρων τούτων τὴν διαστολὴν, καὶ συστολὴν σφυγμὸν ὀνομαζόντων οὗτος οὐ καρδίας καὶ ἀρτηριῶν. ἀλλὰ τῶν ἀρτηριωδῶν μερῶν ἔφη διὰ τὴν περὶ τῆς καρδίας ζήτησιν ἦν ἔμπροσθεν εἶπον. ἐκπέφυκε γὰρ ἡ μεγίστη τῶν κατὰ τὸ ζῶον ἀρτηριῶν ἐκ τῆς ἀριστερᾶς κοιλίας αὐτῆς. αὐτὴ δὲ τὸ σῶμα τῆς κοιλίας ταύτης ὅτι μὴ ταυτόν ἐστι τὸ τῶν ἀρτηριῶν ὁμολογεῖται καὶ αὐτοῖς τοῖς ἀρτηριώδη

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 54 sur 494

καλοῦσιν αὐτὴν, ὡς γὰρ νευρώδες τι σῶμα λέγομεν ἕτερον ὂν νεύρου, οὕτω καὶ ἀρτηριώδη τὴν κοιλίαν ταύτην ἐκάλεσαν. ἑτέραν προφανῶς ἔχουσαν οὐσίαν τῶν ἀρτηριῶν. οὐ συγχωρεῖται δ' αὐτοῖς ὑπὸ τῶν ἀντιλεγόντων οὐδ' ἀρτηριώδης ὀρθῶς ὀνομάζεσθαι. τὴν αὐτὴν γὰρ ἔχει φύσιν τῇ δεξιᾷ καρκοειδεῖ τὴν οὐσίαν οὖσα. διὸ κἂν τοῖς μυσὶν ἔνιοι τὴν καρδίαν ἐνηρίθμησαν. ἀλλ' οὗτοι μὲν ὅπως σφάλλονται δι' ἑτέρων δέδεικται. λέγειν δ' οὕτως ἐτόλμησαν διὰ τὴν ὁμοιότητα τῆς σωματικῆς οὐσίας αὐτῶν. ὁμοιότητον γάρ ἐστι τὸ τῆς καρδίας σῶμα τοῦ τῶν σκληρῶν μυῶν. καὶ μέν τοι καὶ φαίνεται σαφῶς ἀμφοτέραις ταῖς κοιλίαις σφύζουσα. καὶ καθ' ὃν ἔγκειται καιρὸν ἔτι τοῦ ζώου, καὶ μετὰ τὴν ἐξαίρεσιν ἄχρι χρόνου τινός, ἀλλὰ καὶ ὅτι τὸν κατὰ φύσιν μόνον ὥρισται σφυγμὸν ὁ ζήνων. καὶ κατὰ τοῦτο εἰκότως ἐγκέκληται, τὸ γὰρ ἐν ἅπασι τοῖς μέρεσι τὴν αὐτὴν ὑπάρχειν τάξιν τῆς κινήσεως τῶν ἀρτηριῶν, ὑπὸ μὲν τῶν κατὰ φύσιν ἐχόντων, ἀληθές. ὑπὸ δὲ τῶν παρὰ φύσιν, ἐνίοτε ψεῦδος. ἐγκαλεῖ δ' ἀριστόξενος εἰκότως τῷ ζήνωνι, καθάπερ καὶ ἄλλοις πολλοῖς τῆς περιττῆς προσθήκης ἐν τοῦ φαῦναι, ἐάν τε ἐν τοῖς ἴσοις, ἐάν τε ἐν τοῖς ἀνίσοις ἐκείνη συντελεῖται χρόνοις. κατὰ γὰρ τὴν κοινὴν καὶ γενικὴν ἔννοιαν τῶν σφυγμῶν μὴ περιέχεσθαι μή τε τοῦτο, μήθ' ὅλως ἄλλο τι τῶν κατὰ τὴν διαίρεσιν τοῦ προκειμένου πράγματος εἰς τὸν ὁρισμόν. ὁ γοῦν εἰπὼν τὸν ἄνθρωπον εἶναι ζῶον, εἶτα προσθεὶς αὐτῷ διαφορὰν τὸ πεζόν. εἶθ' ἑξῆς τὸ δίπουν, οὐκέτι δεῖται τὰς ἐν αὐτοῖς τοῖς ἀνθρώποις προσθεῖναι διαφοράς. ὡς γενέσθαι τὸν ὅρον τοιοῦτον. ἄνθρωπός ἐστι ζῶον πεζὸν δίπουν. καθ' ὃ τεχνῖται, καὶ ἄτεχνοι, καὶ σοφοὶ, καὶ ἀμαθεῖς γίνονται. μόνων μὲν γὰρ ἀνθρώπων ὄντως εἰσὶν αἱ τοιαῦται διαφοραί. περιττὰι δὲ ὡς πρὸς τὸν οἰκεῖον ὁρισμόν. ἀρκεῖ γὰρ ἤ τοι ζῶον, πεζὸν, δίπουν εἰπεῖν, ἢ ζῶον λογικὸν θνητόν. οὐ γὰρ τὸ προκείμενον εἰς τὸν ὁρισμὸν πρᾶγμα τέμνεσθαι χρὴ, καθάπερ ἔφην. ἀλλὰ τὸ γένος αὐτοῦ, καὶ μέχρι τοιούτου τέμνεσθαι, μέχρις ἂν ὑπὸ τὸ προκείμενον ἀφικώμεθα πρᾶγμα. συμπληρωθείσης δ' ἀκριβῶς αὐτοῦ τῆς ἐννοίας, καὶ τοῦ λόγου τὴν οὐσίαν αὐτάρκως δηλοῦντος, ἄχρηστος ἡ μετὰ ταῦτα προσθήκη πᾶσα. καὶ μάλιστ' ἡ κατὰ τὴν διαίρεσιν αὐτοῦ τοῦ μέλλοντος ὁρίζεσθαι πράγματος γιγνομένη. τὸ γὰρ κοινὸν ἁπάντων σφυγμῶν προσήκει δηλοῦσθαι κατὰ τὸν ὅρον. ὅπερ ἐστὶ καθ' ὃ σφυγμοὶ νοοῦνται τε, καὶ λέγονται. οὐ καθὸ τοιοίδε τινὸς σφυγμοί. ὡς ἐὰν γέ τινος ἐφάψηται διαφορᾶς ὁ κατὰ τὸν ὅρον λόγος ὑπὸ κάτω τοῦ προκειμένου πράγματος οὔσης, ἀφορμὴν παρέξει τοῖς ἐγκαλεῖν βουλομένοις ὡς κακῶς τῶν ἄλλων παραλελειμμένων. ὡς γὰρ ὁ ζήνων προσέθηκεν, ἐάντ' ἐν τοῖς ἀνίσοις χρόνοις συντελεῖται τῆς κατὰ χρόνον ἐν γε τοῖς σφυγμοῖς διαφορὰν ἐνδεικνύμενος, οὕτως ἄλλος προσθήσει τὴν κατὰ μέγεθος, εἶτ' ἄλλος τὴν κατὰ σφοδρότητα, καὶ ἄλλος μέν γε τὴν κατὰ πυκνότητα, τὴν κατ' ἀριθμὸν δ' ἄλλος. ἁπάσας δὲ τὰς ὑπολείπους διαφορὰς, ἄλλος τις καὶ ἄλλος. ταῦτα μὲν οὖν εἰκότως ἐμέμψαντο τοῦ τοῦ ζήνωνος ὅρῳ πλεονασθέντι περιττῶς. εἶχον δ' ἐγκαλεῖν εἴπερ ἐβούλοντο, καὶ τὰ παρὰ τοῖς διαλεκτικοῖς εἰρημένα περὶ τῶν πλεοναζόντων ὅρων κατὰ τὴν λέξιν. ὑπὸ δεικνύουσι γὰρ οἱ ἄνδρες ἐκεῖνοι. τὴν τῆς λέξεως αὔξησιν, μείωσιν ἐργαζομένην τοῦ κατὰ τὸν ὁρισμὸν πράγματος, καθάπερ εἰ καὶ τὸν ἄνθρωπον τις εἴποι πεζὸν ζῶον γεωμετροῦν. οἱ γὰρ μὴ γεωμετροῦντες οὐκ ἔσονται ἄνθρωποι. προδήλου γεγονυίας ἤδη καὶ τῆς κατὰ τοῦτον τὸν ὅρον ἀντιλογίας αὐτῶν εἰς ὅσον ἐκτείνεσθαι δύναται, μεταβῶμεν ἀπὸ τοῦ ζήνωνος ὑπὸ τὸν χρύσερμον, ὁριζομένου οὕτωσι τὸν σφυγμόν. σφυγμός ἐστι διάστασις καὶ συστολὴ ἀρτηριῶν, πάντοθεν τοῦ χιτῶνος ἐπανισταμένου, καὶ πάλιν εἰς ἑαυτὸν συντρέχοντος ὑπὸ ψυχικῆς καὶ ζωτικῆς δυνάμεως παρεπομένη διαπαντὸς ἐν τοῦ ὑγιαίνειν καὶ νοσεῖν πρὸς αἴσθησιν ληπτή. φαίνεται δὲ καὶ οὗτος ὁ ἀνὴρ παραλελοιπὼς μὲν τὴν καρδίαν, τῆς δὲ τοῦ χιτῶνος τῶν ἀρτηριῶν κατὰ κύκλον ἐπανίστασίν τε καὶ συνίζησιν ὀνομάζων σφυγμὸν, ἅπερ οἱ πλεῖστοι συστολήν τε καὶ διαστολὴν ἐκάλεσαν. οἱ δ' ἄλλοι τινὸς ἐκ τῶν προφιλείων παρέλιπον, αὐτὸς προσέθηκεν. ὑπὸ γὰρ ψυχικῆς, καὶ ζωτικῆς δυνάμεως ἔφη γίνεσθαι τὴν εἰρημένην τῶν ἀρτηριῶν κίνησιν. ἐκ περιττοῦ μὲν προστιθέμενον, εἰς τὸν ἐννοηματικὸν ὀνομαζόμενον ὅρον ἀπεδιδοίη τις. οὐκ ἐκ περιττοῦ δὲ τοῖς ἀξιοῦσι τοὺς ὅρους οὐσιώδεις λέγεσθαι. τῶν γὰρ ἐν γενέσει πραγμάτων ὁ περιέχων τὸ ποιοῦν αἴτιον ὅρος ἄριστος εἶναι δοκεῖ. τῶν τοιούτων δ' ἐστὶ καὶ ὁ σφυγμὸς ἐν τοῦ γίνεσθαι τὴν ὕπαρξιν ἔχων. ὥσπερ καὶ πᾶσα κίνησις. εἰ δ' ἀληθῶς ἢ οὐκ ἀληθῶς ὑπὸ ψυχικῆς καὶ ζωτικῆς δυνάμεως ἔφη γίνεσθαι τὸν σφυγμόν. οὐ μικρὰ ζήτησις ἐκδέχεται τὸν λόγον. ἣν ὁ πάντ' ἐν πᾶσι λέγειν βουλόμενος ἐπεισάξω τῇ προκειμένῃ σκέψει. καὶ τοί γε οὐκ οὔσης ἀνάγκης, οἱ γὰρ τὴν οὐσίαν τοῦ πράγματος ἑρμηνεύοντες ὅροι κατὰ τὰ δόγματα τῶν ὁριζομένων γίγνονται, πρὸς ἃ τὴν ἀντιλογίαν ἰδίᾳ χρὴ ποιεῖσθαι. δι' αὐτὰ δὲ τὸν ὅρον ὡς οὐ νομίμως γεγονότα μὴ συγκοφαντεῖν. ἐν δὲ τῇ περὶ τῆς ἀληθείας σκέψει τῶν εἰρημένων, ἐν αὐτῇ περιέχεται καὶ ἡ τοιαύτη πᾶσα μακρολογία. εἰ δ' ἐγκαλεῖν τις ἐθέλοι δι' ὅτι συνέχειν εἰς ἕνα λόγον ἀμφοτέρους τοὺς ὅρους, τόν τε ἐννοηματικὸν ὀνομαζόμενον, ὃς κατὰ τὴν κοινὴν ἔννοιαν προέρχεται, καὶ τὸν οὐσιώδη καλούμενον, ὃς τὴν οὐσίαν ἑρμηνεύει τοῦ πράγματος ὀρθῶς τ' ἐγκαλέσει, καὶ πολλοὺς τῶν εἰρημένων ὅρων ὑπευθύνους ἀπεδείξει τῇ τοιαύτῃ κατηγορίᾳ. τὴν ἀρχὴν μὲν γὰρ ἁπάσης τῆς διδασκαλίας ἀπό τινος κατὰ τῆς ἔννοιαν ὁρισμῶν γίγνεσθαι προσῆκεν. ἀπ' ἐκείνης δ' ἤ τοι κατὰ βραχὺ μεταβαίνειν ὑπὸ τοὺς οὐσιώδεις, ἢ ἀθρόως ὑπὸ τὸν ἀκριβῶς ἑρμηνεύοντα τὴν οὐσίαν τοῦ προκειμένου πράγματος. εἴρηται δέ μοι κατὰ τῆς ἀρχὴν εὐθέως τοῦ δὲ τοῦ πράγματος, ὁποῖον μέν τινα τὸν ἀκριβῶς τὸν ἐννοηματικὸν ὅρον προσῆκεν εἶναι. ὁποίους δὲ τοὺς ἀπεχωροῦντας αὐτοῦ κατὰ βραχὺ διόπερ οὐ δὲ χρονίζειν ἔτι κατὰ τὸν λόγον ἀναγκαῖον. ὥσπερ γὰρ τοῦτο λέλεκται πρόσθεν οὕτω καὶ περὶ τῶν ἄλλων ὅλων. ὅσα κατὰ τὸν ὅρον ὁ χρύσερμος εἶπεν. ὁ γε μὴν ἐρυθραῖος ἡρακλείδης ἐνδοξότατος τῶν μαθητῶν αὐτοῦ γενόμενος οὐ πάνυ φαίνεται προσιέμενος τοῦ διδασκάλου τὸν ὅρον. συστολὴ γὰρ ἔφη καὶ διαστολὴ ἀρτηριῶν καὶ καρδίας εἶναι τὸν σφυγμὸν ὑπὸ ζωτικῆς, καὶ ψυχικῆς δυνάμεως πλεῖστον δυνάμενούσης ἀπετελούμενον. τὸ μὲν οὖν διαστολὴν ἀντὶ διαστάσεως εἰπεῖν. ἐν φωνῇ μόνον, οὐχ ἐν πράγματι διαφωνοῦντος ἐστί. τὸ δ' ὠφελεῖν ἐξ αὐτοῦ τὸ παρεπομένην διαπαντὸς ἐν τοῦ ὑγιαίνειν, καὶ νοσεῖν ἐν πράγματι. παραλείπει γὰρ ὡς περιττὸν τοῦτο. καθάπερ γε καὶ τὸ πρὸς αἴσθησιν ληπτὴν εἶναι τὴν εἰρημένην κίνησιν τῶν ἀρτηριῶν καὶ τῆς καρδίας. καί τοι τὸ μὲν διαπαντὸς ἐν τοῦ ὑγιαίνειν φαίνεσθαι τὸν σφυγμὸν, κατὰ τὴν ἔννοιαν ἐστὶ αὐτοῦ μάλιστα. καὶ μέν τοι

καὶ κατὰ

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 55 sur 494

μνασμένῳ δὲ, μὴ ῥαθύμως, ὅπως ἂν ὑπεβάλλων τὴν ἁφὴν ἀκριβῶς αἰσθάνοιτο τῆς κατὰ τὴν ἀρτηρίαν κινήσεως εἰς δύναμιν ἀνθρώπινην. καὶ ἐπειδὴ περὶ πρώτης τῆς κατὰ τὸ μῆκος διαστάσεως προὐθέμεθα λέγειν τὸν εἰς ταύτην ὑπετηδειότατον τρόπον τῆς ἐπαφῆς ἐρῦμεν. ἄθλιπτος μὲν οὖν πάντως ἔστω, πολλαχόθι δὲ καὶ ψαῦον ὑπὸ πολῆς καὶ οἷον αἰωρῶν τῆς χεῖρα. χρηστὸς δ' ὁ τοιοῦτος μάλιστα τρόπος, ἐν τοῖς μικροῖς ἅμα, καὶ ἀῤῥώστοις σφυγμοῖς. θλιψάντων γὰρ τούτους κατά τι, πολὺ τῆς κινήσεως ἀπόλλυτε, πολλάκις δὲ, καὶ σύμπαρα. πρά τε γὰρ τὸ ποσὸν τῆς θλίψεως, καὶ προσέτι τὸ ποιὸν τοῦ κατὰ τὴν ἀρτηρίαν τόνου, ποτὲ μὲν πολὺ ἀπολείπετε τῆς κινήσεως, ποτὲ δ' ἔλαττον, ἔστιν δ' ὅτε καὶ πᾶρα, καὶ διὰ ταῦτα ἀσφαλέστατόν ἐστιν εἰς τὴν τοῦ μήκους διάγνωσιν, ἀθλίπτως ὑπεβάλλειν τῆς ἁφὴν. καὶ γὰρ οἱ σφοδροὶ σφυγμοὶ φέρουσι μὲν ἀλύπως τὴν μετρίαν θλίψιν, ἀλλ' οὐδὲν οὐδ' οὗτοι βλάψονται ψαυόντων ἀθλίπτως. Ὅταν οὖν ὁ τοιοῦτος τρόπος τῆς ἐπαφῆς χρηστότατος μὲν ἢ τοῖς ἀμυδροῖς σφυγμοῖς, ἀβλαβὴς δὲ καὶ τῆς σφοδροῖς, οὐκ ἄν τις ἕτερον αὐτοῦ προέλοιτο. χρὴ δὲ καὶ οὕτω προσδιωρίσασθαι φαινόμενον ἐναργῶς, ὡς ἐν ταῖς κατὰ διαφέροντα μόρια τοῦ μήκους τῆς ἀρτηρίας θλίψεσιν οὐχ ὁμοίως ἐν ἅπασιν ἡ κίνησις φαίνεται βλαπτομένη; ἀλλ' ἐν μὲν τοῖς ἀνώτερον μερέσιν μεῖζον ἡ βλάβη, βραχεῖα δ' ἐν τοῖς κατώτερον, καὶ λανθάνουσα γε πολλάκις ἐν τοῖς σφοδροῖς σφυγμοῖς, οὐ μὴν ἐν γε τοῖς ἀμυδροῖς. ἐν γε τούτοις εἰ τὸ κατώτερον μέρος θλίψωμεν, εὔδηλος ἡ περὶ τῶν ἀνωτέρων γίνεται βλάβη. τάδ' ἀνωτέρω καὶ κατώτερα πῶς ἐνταῦθα χρὴ νοεῖν, οὐκ ἄδηλον. Ὅτι τὰ πορρώτερα μὲν μέρη τῆς καρδίας, κατωτέρω, τὰ δ' εὐγυτέρω καλούμενα ἀνωτέρω. οὕτω ὑπὸ μὲν τῶν κώλων καὶ πάνυ συνήθεσ. ὑπὸ δὲ τῶν ἐν τῇ κεφαλῇ μερῶν καὶ κατὰ τὸν τράχηλον, οὐκ ἔθ' ὁμοίως. κοινὸν δ' οὖν, ἐφ' ἁπάντων, ὡς εἴρητε, τὸ τὰ τῆς καρδίας ἐγγυτέρω θλιβόμενα, μεγάλην τῆς βλάβην ἐργάζεσθαι τοῖς ἐφεξῆς, τὰ δ' ἀπωτέρω πολλάκις μὲν, οὐδ' ὅλως αἰσθητὴν, ὅταν ἱκανῶς ἦ σφοδρὸς ὁ σφυγμὸς, ἔστι δ' ὅτε καὶ φαινομένην, ἐν τοῖς οὐ σφοδροῖς. Περὶ μὲν οὖν τῆς κατὰ τὸ μῆκος διαστάσεως ἀρκέσει καὶ ταῦτα, περὶ δὲ τῶν λοιπῶν δυοῖν ἤδη λέγομεν, ἃς οὐχ οὕτως εἶναι δύο χρὴ νομίζειν, ὡς ὑπὸ τῶν τετραπλεύρων καὶ κυβικῶν σωμάτων ἔστιν ἰδεῖν, ἰδία μὲν τὸ πλάτος, ἰδία δὲ τὸ βάθος ἀφωρισμένον, ἀλλ' ὥσπερ ἐν κύκλῳ καὶ σφαίρᾳ συγκέχυται πάντα, καὶ μία τις ἢ γραμμῆς ἢ ὑπεφανείας περιφέρεια φαίνεται, τὸν αὐτὸν τρόπον ἡγητέον ἔχειν καὶ ὑπὸ τῆς ἀρτηρίας, φαίνεται γὰρ ἐν ταῖς ἀνατομαῖς πολλαχόθι μὲν, κυλινδροειδὴς, πολλαχόθι δὲ κωνοειδὴς τὸ σχῆμα. πῶς οὖν ἐπῆλθε τοῖς ἰατροῖς ἰδία μὲν περὶ πλάτους, ἰδία δὲ, περὶ βάθους, ἀρτηρίας διαλέγεσθαι, δέον, ὥσπερ ἔστι καὶ φαίνεται κατὰ τὰς διαιρέσεις, τὸ μέν τοι μῆκος αὐτῆς, τὸ δέ τι κύκλον ὀνομάζειν. ἀμέλει καὶ ὀνομάζουσιν οὕτω πολλοὶ πολλάκις, οὐ μὴν διὰ παντός γε δυνατὸν, οὔτε τούτοις, οὔτ' ἄλλῳ τινὶ περὶ τῶν ἐναργῶς φαινομένων διηγουμένων, μῆκος καὶ κύκλον ὀνομάζειν μόνον, ἀλλ' ἀναγκασθήσονται πολλάκις εἰπεῖν τινα διαστολὴν αὐτῆς, ὑψηλὴν μὲν, στενὴν δέ. καὶ αὖθις ἑτέραν, ταπεινὴν μὲν, πλατεῖαν δέ. καὶ γὰρ φαίνεται τάν θ' οὕτως ἐναργῶς, ὡς ἀμφησβητῆσαι μηδένα, καὶ διὰ τὰ τοιαῦτα φαινόμενα διαφερούσας ἐννοίας πλάτους τε καὶ βάθους ἠναγκάσθημεν ἔχειν ὑπὸ τῶν ἀρτηριῶν. ὥσπερ δὲ τὰς τοιαύτας διαφορὰς αἰσθήσει διέγνωμεν, οὕτω πολλάκις ὁμολογοῦμεν ἀκριβῶς κυκλοτερῆ τὴν κίνησιν ἡμῖν φαίνεσθαι. καὶ νῦν ἐρῦμεν ὑπὲρ ἑκατέρων τῶν διαφορῶν κοινῆ, πῶς ἄν τις ἄριστα τὴν ὑπεβολὴν ποιούμενος τῶν διακτύλων, διαγιγνώσκειν αὐτὰς δύναιτο. καὶ γὰρ ὃ μικράτις ἀτοπία δόξειεν ἂν ἐν τῇ διαγνώσει ταύτῃ περιέχεσθαι, κατὰ μηδεμίαν ὑπεβολὴν, ἁπάσης τῆς διαστάσεως ἡμῶν αἰσθάνεσθαι δυναμένων, μήθ' ὅταν ὑπὸ πολῆς ψαύωμεν (ἡ γὰρ τοιαύτη μόνον τῶν ἐσχάτων τῆς κινήσεως αἰσθανομένη, τὸ πρὸ τοῦ, παῦ ἀγνοήσει) μήθ' ὅταν ἱκανῶς θλίβωμεν (πρὸς γὰρ τοῦ, κατὰ οὐ σφοδροὺς σφυγμοὺς μόνους ἐγχωρεῖν οὕτω δρᾶν, ἔμπαλιν ἡ τοιαύτη τῇ πρότερον, τῶν ὑστέρων τῆς διαστάσεως ἀναίσθητος ἔσται, τῶν πρώτων μόνον αἰσθανομένη) κατὰ ταυτὰ δ' ἱκανὸν εἰ μέσῃ τινὶ τῶν εἰρημένων ὑπεβολῶν ἑτέρα χρησαίμεθα, τά τε πρῶτα καὶ τὰ τελευταῖα τοῦ διαστήματος ἀγνοήσομεν. Ὅτι δ' ἀληθές ἐστιν ὃ λέγω, πειραθεὶς ὁ βουλόμενος γνώσεται. θλίψας γὰρ οὐ σφοδροὺς σφυγμοὺς (τούτους γὰρ μόνους ἐγχωρεῖ θλίβειν (οὐκ εἴσεται πηλίκοι τινές εἰσιν. ἀπόλλυται μὲν γάρ τι καὶ αὐτῆς τῆς κινήσεως, ἐν ταῖς πλείσταις τῶν θλίψεων ὡς καὶ πρόσθεν εἴρηται. τὸ διάστημα δ' οὐκέτι μικρὸν, ἀλλ' ὀλίγον δεῖν ὅλον διαφθείρεται. ψαύσας δ' αὖ πάλιν ὑπὸ πολῆς, οὐχ ἕξειν μαντεύσασθαι κατὰ πηλίκου διαστήματος ἡ κίνησις ἠνέχθη. ἡ μὲν οὖν ἀπορία τοιαύτη. λύσις δ' αὐτῆς, τὸ μὴ ζητεῖν πάντως αἰσθήσει διαγνῶναι τὸ ποσὸν τῆς διαστολῆς, ἀλλ' εἰ καὶ συλλογισμῷ τινὰ δυνάμεθα μηδὲν ἡγεῖσθαι βεβλάφθαι. πρόκειται γὰρ ἡμῖν οὐκ αἰσθήσει πάντως γνῶναι τὰ συμβεβηκότα τοῖς σφυγμοῖς, ἀλλ' ἁπλῶς γνῶναι. πᾶρα μὲν οὖν ἡ τοιαύτη γνῶσις, αἰσθήσεως δεῖται, οὐ μὴν μόνης γε ταύτης, οὐδ' ὡς ἀεὶ τὸ πᾶν εὑρίσκειν δυναμένης, ἀλλ' ἱκανὸν πολλάκις, ἐν τι τῶν αἰσθητῶν παθημάτων, γνώρισμα ποιήσασθαι τῆς τοῦ πράγματος ὅλης οὐσίας. ἔχει γοῦν οὕτως ἀπὶ τῶν νῦν προκειμένων. εἰ γὰρ ὑπὸ πολῆς ψαύοις ἀναγκαῖον ἢ τοι κατὰ πλείονα μόρια προσπιπτούσης αἰσθάνεσθαι τῆς ἀρτηρίας, ἢ κατ' ἐλάττονα, μεθ' ἣν διάγνωσιν, συλλογισμὸς αἰσθήσει παρακείμενος, ἡμᾶς εἰσέρχετε, μεγάλην μὲν εἶναι διαστολὴν, τὴν κατὰ τὰ πολλὰ μόρια κινοῦσαν τὴν ἁφὴν, μικρὰν δὲ, τὴν κατ' ὀλίγα. φέρε γὰρ εἶναι κυκλοτερῆ τὴν πρόσπτωσιν αὐτῆς, ἄρ' οὐ πρόδηλον, εἰ μὲν ἀξιόλογος εἴη τὸ μέγεθος ἡ τοῦ κύκλου περιφέρεια, καὶ τὴν ὅλην εἶναι διαστολὴν τῆς ἀρτηρίας ἀδρὰν. εἰδ' ἡ περιφέρεια μικρὰ, καὶ τὴν διαστολὴν ὅλην ἰσχνὴν εἶναι; οὔτε γὰρ τῆς ἰσχνὴν διαστολὴν μεγάλοις ὁρίζεσθαι κύκλοις δυνατὸν, οὔτε τῆς ἀδρὰν μικροῖς. ἀλλ' ἀνάγκη ἀνάλογον ἔχειν τοῦ ποσῷ τῆς διαστολῆς, τὸ ποσὸν τοῦ περιγράφοντος αὐτὴν κύκλου, κατὰ ταυτὰ δὲ κἂν εἰ μὴ κύκλος ἀκριβὴς εἴη τὸ πέρας τῆς διαστολῆς, ἀλλ' οἷον κολοβῶς κατὰ μέρος, ὅπερ ἐν τοῖς ὑψηλοῖς καὶ στενοῖς, ἢ ταπεινοῖς, καὶ πλατέσιν εὑρίσκεται σφυγμοῖς, ὁ συλλογισμὸς ὁ τοῦ ποσοῦ τῆς διαστολῆς ὁμοίως ἂν γίγνοιτο. τά τε γὰρ τῆς διαστολῆς, τά τε τῆς εἰς ὕψος ἀνόδου πέρατα, τμήματα κύκλου πάντως ἔσται, καὶ ταῦτ' ἢ τοι μείζονα ἢ μείονα καθ' ἑκατέρωθεν ἢ τοι κοιλότερα τῆς περιφερείας ταύτης, ἢ κυρτότερα φαινομένα, πάντως ἢ τοι μακροτέραν, ἢ βραδυτέραν ἀπεφαίνει τῆς ἀκριβῶς κυκλοτεροῦς, τὴν νῦν φαινομένην γραμμήν. καὶ οὕτως τότ' ἄνισον τῆς εἰς πλάτος τε καὶ βάθος διαστάσεως, τό τε διαστολῆς ὅλης τὸ ποσὸν ἀναλογιούμεθα, φέρε γὰρ φαίνεσθαι κυρτοτέρας μὲν καὶ προπε-

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 80 sur 494

τεστέρας τὰς ἐν τοῖς πλαγίοις τῆς ἀρτηρίας προσπτώσεις, κοιλοτέραν δέπως καὶ ταπεινοτέραν τὴν κατὰ βάθος, ὥστε μὴ δὴ κύκλου περιφέρειαν ἔτι δοκεῖν ὑπάρχειν, ἀλλ' οἷον εὐθεῖαν γραμμὴν εἶναι, δῆλον, ὡς ὁ τοιοῦτος σφυγμὸς πλατὺς ἔσται καὶ ταπεινός. ἡ μὲν γὰρ εἰς τὸ πλάτος κίνησις ὠθεῖ πλέον ἐκταθεῖσα πλατὺν εἰκότως ἐργάζοιτ' ἄν, ἡ δ' εἰς ὕψος κωλυθεῖσα ταπεινόν. ἔμπαλιν δὴ, εἰ τὰ πρὸ ἐν τοῖς πλαγίοις μόρια τῆς κινήσεως ἀφλίποιτο πολὺ τοῦ μέσου, τὸ μέσον δ' αὐτὸ κυρτὸν ἱκανῶς φαίνοιτο, δῆλον ὡς ὁ τοιοῦτος σφυγμὸς ὑψηλὸς μὲν ἔσται, στενὸς δὴ, παντάπασι δὴ στενῆς τῆς κατὰ τὸ πλάτος αὐτοῦ προσβολῆς γενομένης, ὡς μὴ δοκεῖν μεμειῶσθαι μόνον τῆς ἐν τοῖς πλαγίοις κίνησιν, ἀλλ' ὅλην τελέως ἀφλωλέναι, χαλεπὸν γνῶναι, μᾶλλον δ' ἀδύνατον, ὅσον γ' ὠθεῖ τύποις, ὁποῖος τίς ἐστιν ὁ σφυγμός. εἰ μὴ γὰρ διορισμοὺς τινὰς παραλάβοιμεν, οὐκ εἰσόμεθα πότερον ὑψηλὸς, ἢ ταπεινὸς, ἢ σύμμετρός ἐστι κατὰ τὸ βάθος. ἅπαντα γὰρ εἶναι δύναται. καὶ γὰρ εἰ ταπεινὸς ἅμα καὶ στενὸς εἴη, τοιοῦτος φανήσεται, καὶ εἰ ὑψηλὸς ἅμα καὶ στενὸς εἴη, τοιοῦτος φανήσεται, καὶ εἰ σύμμετρος κατὰ βάθος ἅμα καὶ στενὸς. τὸ μὲν γὰρ εἶναι στενῷ τοῦ τοιούτῳ σφυγμῷ, πάντως ὑπάρχει διὰ τὴν εἰς τὸ πλάτος κίνησιν κεκωλυμένην. ἡ δ' ἀφρία περὶ τοῦ βάθους ἐστὶν, ὃ καὶ ἐκ πολλοῦ διαστήματος, κἂν ἐξ ὀλίγου, καὶ ἐκ συμμέτρου τὴν κίνησιν ἀρχομένην ἔχει, τὴν αὐτὴν τοῖς ὑπὸ πολῆς ἁπτομένοις φαντασίαν ἐργάσεται. στενῆς γὰρ αἰσθήσονται τῆς κινήσεως. πῶς οὖν διορισθήσεται; πολλαχῆ μὲν καὶ τοῖς τῆς ἁφῆς παθήμασιν, διὰ παντὸς δὲ τοῦ λογισμῷ. λεκτέα δὲ πρότερα τὰ τῆς ἁφῆς, ἐφ' ὧν ἐγχωρεῖ διὰ ταύτης τὶ λαβεῖν σαφές. ἐγχωρεῖ δ' ὠθεῖ σφοδροῦ σφυγμῶν, ὑπὲρ ὧν εἴρηται πολλάκις, ὅτι μόνοι θλιβόντων τῆς ἀρτηρίαν οὐκ ἀπόλλυνται. ῥᾷστον οὖν ἐπί γε τῶν τοιούτων γνωρίσαι τὸ βάθος τοῦ σφυγμοῦ. θλίψαντι γάρ σοι τάχαμὲν καὶ δι' αὐτῆς τῆς ἁφῆς, ἐὰν ᾖ γεγυμνασμένη τε καὶ ἁπαλὴ, καὶ ἀκριβῶς αἰσθανομένη φυσὶν, γενήσεταί τι διάγνωσις τοῦ διαστήματος τῆς κινήσεως. εἰ δὲ μὴ, ἀλλ' ὅ γε χρόνος ὁ τῆς κινήσεως ἐνδείξεται τὸ ποσὸν τῆς διαστάσεως. εἰ γὰρ οἷός τ' εἴης διακρίνειν, ἰδία μὲν τὸ ποιὸν τῆς κινήσεως, ἐν ᾧ τὴν κατὰ τάχος τε καὶ βραδυτῆτα διαφορὰν εὑρίσκομεν, ἰδία δὴ τὴν κατὰ τὸν χρόνον ἐν ᾧ βραχυχρονίους κινήσεις διαγιγνώσκομεν, οὐκ ἂν σελανθάνοι κατὰ τὴν ἐπίθλιψιν αὐτῶν οὐδέτερον. εἰ δ' ἄμφω λάβοις, οὐ χαλεπῶς συλλογιῇ περὶ τῆς διαστάσεως. φέρε γὰρ εἶναι ταχεῖαν μὴ, τῆς κίνησιν, πολυχρόνιον δὴ, παντίπου δῆλον, ὡς κατὰ μεγίστης αὐτῇ διαστάσεως ἐνήνεκται. πάλιν οὖν ἔστω βραδεῖά τε καὶ βραχυχρόνιος, εἴη ἂν οἶμαι καὶ ἥδε κατὰ ἐλαχίστης διαστάσεως ἐνηνεγμένη. σφοδροῦ μὲν ὄντος τοῦ σφυγμοῦ κατὰ τὸν δὲ τὸν τρόπον διαγινώσκειν τοῦ βάθους τὸ ποσὸν, ἀμυδροῦ δ' ὄντος, ἡ μὲν αἴσθησις ὠφελεῖν ἡμᾶς οὐδὲν ἔτι δύναται, θλιβόντων γὰρ ἀπόλλυται παντελῶς ἡ κίνησις ἐν τοῖς τοιούτοις σφυγμοῖς, τοῦ λόγῳ δὲ τηνικαῦτα, τὸ πᾶν ἐξιχνευτέον. εἰρήσεται δὴ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, ὡς οὐ πᾶσι πάσαις διαφοραῖς μίγνυσθαι δύνανται καὶ διορισθήσεται, τίνευ δ' εἰσὶ καὶ ὁπότε, καὶ ὅπως, ὥστ' ἐκ τῶν ἄλλων τῶν φαινομένων ἐναργῶς, εἰδέναι τι καὶ περὶ τῶν οὐ φαινομένων, ἐν ἐκείνοις διδαχθήσεται. καὶ διότι στενὸς θ' ἅμα καὶ ἀμυδρὸς σφυγμὸς ὑψηλὸς οὐκ ἂν ποτε γένοιτο. περὶ μὲν δὴ τούτων ἀρκέσει καὶ τὰ τοσαῦτα. Περὶ δὲ τῶν ῥυθμῶν ἐφεξῆς ἐροῦμεν εἰς ταύτην τὴν τάξιν τῆς διδασκαλίας ἀγόμενοι, κατὰ τὴν οἰκειότητα τῆς διαγνώσεως, ἐπεί τοι κατά γε τῆς φυσὶν αὐτῶν τῶν πραγμάτων, τὰ καθ' ἓν μόριον σφυγμοῦ, καὶ μάλιστα τῆς διαστολὴν συνιστάμενα γένη, πρότερον ἐχρῆν ἐπελθεῖν, ὡς ἐν τοῖς περὶ διαφορᾶς σφυγμῶν ἐποιήσαμεν. ἀλλ' ἐπεὶ τὰ μὴ ἐν ἑνὶ μορίῳ συνιστάμενα γένη, τὰ τῶν εἰρημένων ὑπόλοιπα, κοινῆς δεῖται διδασκαλίας, τὸ δὴ τῶν ῥυθμῶν τοῖς προειρημένοις δύο γένεσιν ἔζευκται κατὰ τὴν διάγνωσιν, ὡς αὐτὸ περὶ αὐτῶν λόγος ἐνδείξεται, διὰ τοῦτ' ἐφεξῆς ἐροῦμεν περὶ ῥυθμῶν, τὸν περὶ σκληρότητος καὶ σφοδρότητος λόγον, εἰς τὸ μετὰ τούτου βιβλίον ἀναβαλλόμενοι. ὥσθ' ἕκαστον τῶν ὑπομνημάτων τελείαν ἔχειν τῶν πρακειμένων ἀλλήλοις κατὰ τὴν διάγνωσιν τῶν γενῶν τὴν διδασκαλίαν. ἐπεὶ τοίνυν ὁ ῥυθμὸς ἐν τοῦ παραβάλλειν τὸν χρόνον τῆς διαστολῆς τοῦ χρόνῳ τῆς συστολῆς γίνεται, χρὴ δηλονότι διαγνωστικοὺς ἡμᾶς ὑπάρχειν, ἰδίᾳ πρότερον ἑκατέρου τοῦ χρόνου. οὗτος δ' οὐ πάνυ τι ῥάδιον. εἰ γὰρ ἐν τοῦ πρώτῳ βιβλίῳ λεχθέντων ἀναμνησθείημεν ἡνίκ' ἐζητοῦμεν πότερα πάσης αἰσθέσθαι δυνατόν ἐστι τῆς διαστολῆς, καὶ τῆς συστολῆς ἢ διαφεύγει τι τῆς κινήσεως ἡμᾶς ἑκατέρας, εἰσόμεθα ὅπως χαλεπόν ἐστι, μᾶλλον δ' ἀδύνατον, ἅπαντος τοῦ κατὰ τάντας χρόνου τὴν διάγνωσιν ποιήσασθαι. δέδεικται γὰρ ἐκεῖ τά γε πρῶτα τῆς διαστολῆς, τὰ δὲ τελευταῖα τῆς συστολῆς ἄγνωστα. καθ' ὅσον δ' ἄν τι τῆς κινήσεως. διαλανθάνει κατὰ τοσοῦτον οἶμαι καὶ τοῦ χρόνου διαφεύξεται. πρῶτον δ' αὐτὸ οὗτος πάλιν, ἀναμνηστέον τε, καὶ διοριστέον ὡς τ' αὐτὸν ἦν τότ' ἐν τοῦ πρώτῳ βιβλίῳ ζητηθὲν καὶ τὸ νῦν ὀλίγον ἔμπροσθεν. ἐκεῖ μὴ γὰρ, ἐζητεῖτο περὶ διαστολῆς ἁπλῶς, ἐν ταυθοῖ δὴ, περὶ τοῦ κατὰ τὸ ἐν αὐτῇ ποσὸν χρόνου. ἐν μὴ οὖν τοῦ ζητεῖν ἁπλῶς εἰ πάσης αἰσθάνεσθαι δυνατὸν ἐστὶ τῆς διαστολῆς. ὅταν ἂν διαφεύγῃ τῆς κινήσεως τῆς ἁφὴν, τοῦτ' ἂν ἀδιάγνωστον εἶναι φήσομεν. ἐν δὲ τῇ διαγνώσει τοῦ κατ' αὐτὴν ποσοῦ, πηλίκον ἐστὶ τὸ διάστημα, καθ' οὗ κεκίνητο, σκοπούμεθα. καὶ δέδεικται μικρῷ πρόσθεν, ὡς εἰ μόνου τοῦ πέρατος τῆς διαστολῆς ἀκριβῆ τὴν διάγνωσιν σχοίημεν, συλλογισμὸς ἡμῖν, παρακείμενος αἰσθήσει τὴν ἔνδειξιν τοῦ κατ' αὐτὴν ποσοῦ ποιήσεται δυνατὸν οὖν ἐστι μηδενὸς ἄλλου μέρους τῆς κινήσεως, πλὴν τοῦ ἔξω πέρατος αἰσθανομένους, ὅσον ὅσον μέν τις ἐστὶ κατὰ τὸν χρόνον, ἀγνοεῖν, κατ' ἐνήνεκται διαστήματος διαγιγνώσκειν. τούτων οὖν τὸ μὲν ἕτερον ἐν τοῦ πρώτῳ βιβλίῳ τῆς ξήτησιν ἔσχε. τὸ δ' ἕτερον οὐ πρὸ πολλοῦ πεπαύμεθα διεξιόντες. ἀναμνησθῶμεν οὖν πάλιν ὡς ἐν τοῖς σφοδροῖς σφυγμοῖς, εἰ θλίψαιμεν συμμέτρως τὴν ἀρτηρίαν, τὰ μὲν πρῶτα κινήσεως γνωριοῦμεν, ἀγνωήσωμεν δὴ τὸ ποσὸν τοῦ διαστήματος. ἔτι δὴ καὶ οὗτος προσαναμνησθῶμεν, ὡς ἐν τοῦ δευτέρῳ βιβλίῳ κατ' ἀρχὰς εὐθὺς ἐδείχθη, μήτ' αὐτὸ εἶναι ποσότητα χρόνου κινήσεως ἐξετάζειν, καὶ τάχος ἢ βραδύτητα διαγιγνώσκειν, τούτων γὰρ ἡμῖν εἰς τὰ πρόντα δεῖ πάντων, ἵν' ἀκριβῶς καὶ διηρθρωμένως εἴδωμεν, εἰ διηνήνοχεν ἡ τοῦ διαστήματος, καθ' οὗ τῆς κίνησιν ἐνηνέχθαι συμβέβηκεν διάγνωσις, τῆς τοῦ χρόνου, καὶ ὡς ἑκατέρων, ἑτέρα τίς ἐστιν. ἢ τάχους ἢ βραδυτῆτος σκοπουμένη. μετρεῖ γὰρ ἡ μὴ πρώτη λεχθεῖσα τοῦ διαστήματος, τὸ ποσόν. ἡ δὲ δευτέρα τοῦ χρόνου τῆς κινήσεως τὸ ποσόν. ἡ δὲ τρίτη τὸ ποιὸν τῆς κινήσεως. εἰς οὖν τῆς περὶ τῶν ῥυθμῶν διάγνωσιν, οὔτε τῆς πρώτης. οὔτε τῆς τρίτης, ἀλλ' αὐτῆς τῆς δευτέρας μόνης δεόμεθα. τοιαύτην τοιγαροῦν εἶναι χρὴ τῆς ὠθεβολὴν τῆς ἁφῆς, οἷα μάλιστ' ἅπασαν ἀκριβῶς θεωρήσειε τῆς κίνησιν τῆς ἀρτηρίας.

τηρείας ὡς ὅσπερ ἡμῖν τὸ πρῶτον βιβλίου εἴρηται, ξηροῖς τοῖς ἡμῶν, εἰ πάσης ἀναδήσεσθαι δυνατὸν ὅτι ἡ κίνησις ἀναμνησθῆναι προσήκει γνῶντας, ᾧ καὶ ταὐτὸν ἐκεῖνο τε καὶ τοῦτ' ἔστιν τὸ πρόβλημα, τῇ γε δυνάμει. προβάλλεσθαι δὲ τῇ λέξει διαφέροντος. εἰ δ' ἢ ταῦτα πάντα πολυνόησαιμεν, εἰσόμεθα τὸ χαλεπὸν ἡ προκειμένης διαγνώσεως. Ἐστω γάρ ζυγὸς σφυγμὸν ἕν μέγαν μὲν, ἀλλ' ἀμυδρόν. οὐκοῦν οἷόν τε τότε φωράσθαι ἡ διαστάσεως ἀπάσης τὴν κίνησιν, ἀλλὰ μόνον τὸ ἔξω πόρατος. ὡσαύτως ἢ εἰ ἡ συστολὴς, ἐπὶ ρᾶα, τὴν ἀρχὴν μόνην καὶ τὴν ἀρχόρησιν, ἄλλο δ' οὐδέν. ὧν πολὺς οὖν φαίνεται τῶν τοιούτων χρὴ σφυγμῶν ὡς πολλάκις εἴρηται. τῇ δὲ τοιαύτῃ ἡ ἀφῆς ὑπερβολῇ τὸ μὲν διαστήματος ἡ διαστολῆς τὸ ποσὸν, οἷόν τε διαγνῶναι τὸ δὲ χρόνου ἡ κινήσεως ἀδιάστατον. ὧν δὲ ἡ συστολῆς τὸ μόνον τὸ χρόνου ἡ κινήσεως ἀδιάστατον ἐξευρεῖν τὸ ποσὸν, ἀλλὰ καὶ τὸ διαστήματος αὐτοῦ. τελέως γὰρ αὐτῆς ἀναισθητος γινομένης, ἀνάγκη πάντων ὁμοῦ τῶν ὑπαρχόντων αὐτῇ τὴν ἀπώλειαν γίγνεσθαι. ὥστε τὸ μόνον τὸ ποσὸν τοῦ διαστήματός τε καὶ τοῦ χρόνου ἡ κινήσεως, ἀλλὰ καὶ τὸ ποιὸν ᾧ ᾧ τάχος τε καὶ βραδυτῆτος διάγνωσις ἡμῖν ἐγίγνετο, παντάπασιν ἡμῖν ἀναίσθητον ἔσται. πῶς γὰρ ἂν ἔτι καὶ δυναίτο διαγιγνώσκεσθαι τὸ ποσὸν ἡ κινήσεως, ὅπου μηδεμίας αἰσθησις γίνεται κινήσεως. ὑπάρχειν γὰρ δεῖ πρότερον τὴν οὐσίαν τοῦ πράγματος ἡ ποιότητος. τούτων τοίνυν παντάπασιν ἐκφυγόντος τὴν αἴσθησιν οὐκ οἴόντε τὴν ποιότητα διαγιγνώσκεσθαι. πῶς οὖν ἂν τοῖς τοιούτοις σφυγμοῖς οἷόν τε διαγνῶναι τὸν ῥυθμὸν, ᾧ οἷς αὖθις μὲν ἀπόλωλεν ἡ συστολὴ, ἡ διαστολῆς δὲ, μόνον τὸ ἐκτὸς ἀρτοῦσθαι πέρας. ἀλλ' οὐδὲ ἐπ' ἄλλου τινὸς τῶν ἀμυδρῶν οἷόν τε ἡ συστολῆς αἰσθέσθαι. μόνων τοίνυν τῶν οὐκ ἀμυδρῶν γνωσκόντες τὴν κίνησιν, ἢ τε τοῦ διαστέλλεσθαι καὶ συστέλλεσθαι τὴν ἀρτηρίαν, μόνων τούτων ἐν τὸν ῥυθμὸν διαγνωσόμεθα, συμμέτρον οὕτω πλησιόν τὴν ὑπερβολὴν τῶν διακτύλων ποιούμενοι, καθὰ πρόσθεν εἴπομεν, ὡς μηδὲν ἡ ἐκτὸς κινήσεως λωλύσαι. μᾶλλον γὰρ ἥδιον θλίψαντες τὴν ἀρτηρίαν μᾶλλον ἢ σθένει, πάλιν ἢ κίνησιν αὐτῆς ἀνάγκασομεν. εἰ μή τις καὶ τούτοις ἀδιάγνωστος ὁ ῥυθμὸς, εἰ γε δὴ πάντος ἡμᾶς τά τε πρῶτα ἡ διαστολῆς καὶ τὰ τελευταῖα ἡ συστολῆς ἐλιφθύγει, εἰ μή τι σαπτελῶς βραχέως ὄντος τοῦ διαφθύγοντος, ὀδὲν ὁ ῥυθμὸς μέγα βεβλάψεται. τάχα γὰρ ἄν τις εἴποι καὶ ὧδε. διορισμὸν μέν τοι σθένει τοῦ λόγου. ἢ μὲν γὰρ οὖν σφοδροτάτους σφυγμοὺς, ἀληθὲς ἂν εἴη τὸ λεγόμενον, κατὰ δὲ οὖν ἄλλους οὐκέτ' ἀληθὲς, καὶ μάλιθ' ὅτι σφοδρότητος ὀλίγου μετέχουσιν. ἱκανὸν γὰρ ἐν ὧδε τούτων τὸ διαφθύγον τὴν αἴσθησιν, καὶ βλάπτειν ἥδη τὸν ῥυθμὸν δυνάμενον. ἐκ τῶν εἰρημένων οὖν ἁπάντων ἐναφὲς ἤδη γέγονεν ὡς ἐν τοῖς σφοδροτάτοις μόνοις σφυγμοῖς ἡ διάγνωσις ὅτι τῶν ῥυθμῶν. ὧν δὲ τῶν ἄλλων ἁπάντων ἢ καὶ παντάπασιν ἀδιάγνωστος ὡς ὧν τῶν ἀμυδρῶν, ἢ πόρρω ἡ ἀκριβοῦς ὡς ὧδε τῶν ἥττον μὲν σφοδρῶν, οὐδὲν πω δὲ ἀμυδρῶν. ἡ μὲν οὖν ἀκρεία, τοιάυτη. πειρατέον δ' αὐτὴν ἰδεῖν καθ' ὅσον οἷόν τε. πρῶτον μὲν οὖν, οὐκ ὧδε τῶν ἀμυδρῶν τε σφυγμῶν, οὐ μὴν ἱκανῶς γε σφοδρῶν, ὁμοίας ἡ βλάβης, ᾗ τε ταῖς διαστολαῖς καὶ ταῖς συστολαῖς γινομένης, φῆσιν πῶς ἂν τοῦθ' παραμυθήσαιτο τὴν ἀκρίαν. ὃν γὰρ ἔχει λόγον ὁ πᾶς ἡ διαστολῆς χρόνος πρὸς τὸν πάντα ἡ συστολῆς, τὸν αὐτὸν ἔχει λόγον καὶ τὰ διαφθύγοντ' αὐτῶν τὴν ἀφὴν μόρια, πρὸς ἄλληλα, δηλονότι, καὶ τὰ σωζόμενα, τὸν αὐτὸν ἕξει πρὸς ἄλληλα λόγον. ὥστ' ἐς τὴν ἀπ' αὐτῶν προγνωσιν ὁ μέγα βεβλαψόμεθα, δήπλασίως γὰρ ὄντος, εἰ τύχοι, τοῦ παντὸς ἡ συστολῆς χρόνου, τοῦ παντὸς ἡ διαστολῆς παραβαλλομένου, δήπλασίου δ' ὁμοίως ὄντος καὶ σωζομένου παραμετρουμένου, τὴν ἀπ' τῶν ῥυθμῶν προγνωσιν, ὁμοίαν ἕξομεν ἐκ τῶν ἀδιαστάτων μορίων ἡ κινήσεως, ἐν ᾧ καὶ πάσης αὐτῆς σωζομένης ἔχομεν. ὧδε μέν τοι τῶν ἀμυδρῶν τὴν ἀκρείαν οὐκ ἐν ὁμοίως οἷόν τε παραμυθήσασθαι. καὶ γὰρ ἐν οἱ τὸν χρόνον ἡ διαστολῆς τοῦ λοιποῦ παντὸς παραβάλλοντες, εὐθέσκειν δύποθεν ζητοῦσιν, κἀδηλος ὅτι. πειρατέον δὲ πρότερον εἰπεῖν αὐτὴν ἁφῶς, ἐν ὅτως ὅπη μεμψόμεθα δικαίου. ὄντων τοίνυν τεττάρων μορίων τοῦ σφυγμοῦ, διαστολῆς τε καὶ συστολῆς καὶ δυοῖν ἠρεμιῶν. ἑτέρας μὲν ὧδε τῇ διαστολῇ πρὸ ἡ συστολῆς, ἑτέρας δ' ὧδε τῇ συστολῇ πρὸ ἡ διαστολῆς, ὅσοι μὲν ἀδιάγνωστον ἀναθήσει τὴν συστολὴν ἔστιν φασὶν, ἰδίᾳ μὲν τὸν ἡ διαστολῆς χρόνον πιθέασιν, ὃν δὴ κινήσεως καλοῦσιν, ἰδίᾳ δὲ τῶν ὑπολοίπων δυοῖν μορῶν, καὶ ἠρεμίαν τε καὶ συστολὴν ὀνομάζουσιν, καὶ τὸν τούτων τῶν τριῶν χρόνων πρὸς ἀλλήλους λόγον, ῥυθμὸν ἔστιν φασίν. ὅδε δὲ ἡ συστολῆς ἀναθήσεσθαι φασιν, οἱ μὲν τινὸς αὐτῶν, τὸν ἡ διαστολῆς μόνον χρόνον τοῦ ἡ συστολῆς παραβάλλοντες, τὸν ῥυθμὸν γίγνεσθαι φασιν, οἱ δ' τινὸς πρὸς

ῥυθμοῦ ἔχουσιν, ὡς εἰ καὶ μουσικός τις εἶναι προσοιούμενος, οὐ τοῦ μὲν ἄρσεως χρόνου πρὸς τὸν μὲν θέσεως λόγον ἐφασκεν ὑπάρχειν τὸν ῥυθμόν, ἀλλὰ τοῦ φαινομένου μόρους μὲν ἄρσεως πρὸς τὸν λοιπὸν πάντα, παραπλήσια δ' αὐτοῖς καὶ οἱ ἀπὸ μὲν τρίτης αἱρέσεως ἀμαρτάνουσι, μόνῳ δὲ προσέχειν τὸν χρόνον μὲν ἐκτὸς ἡρεμίας δὲ μὲν διαστολῆς, βέλτιον ἐκείνων φρονοῦντες, καθ' ὅσον δ' ἐπελάθοντο καὶ αὐτοὶ, τὸν μὲν συστολῆς χρόνον ἀδιάγνωστον ὑπάρχειν ἀναθήσουσι κατὰ σὺν ἀμυδροὺς σφυγμούς, ὁμοίως σφαλλόμενοι. τρίτον δ' αὖ πάλιν ἕτερον ἔτι προσυποτίθηντο δεῖν καὶ μέσον συστολῆς τοῦ πρώτου ὁρισμὸν ἀναθετέον εἶναι δοκοῦντες, οὐσης οὐδὲ ταύτῃ τοῖς ἀμυδροῖς σφυγμοῖς ἀναθέσεως. καὶ ταῦτ' οὖν ἅπαντα τὰς ἐν ταῖς αἱρέσεσι πολλὰς ἀτοπίας ἀναγκαίως συμπίπτειν ἐν ταῖς τῶν ῥυθμῶν διαγνώσεσι. καὶ διὰ τοῦτ' οἶμαι μηδ' ὑπομεῖναί τινα γράψαι σὺν μετ' Ἡροφίλου εἰς τοὐπίσω αὐτῶν πρόγνωσιν. αὐτὸς δὲ ὁ Ἡρόφιλος πολλαχοῦ μὲν ῥυθμῶν εἰς τὰς προγνώσεις μνημονεύει. χαλεπὸν μὲν οὖν ἐξευρεῖν πότε καὶ λέγει τὸν ῥυθμὸν, ἆρα γε τὸν λόγον τοῦ διαστολῆς μόνου χρόνου πρὸς τὸν τῆς συστολῆς μόνης, ἢ καὶ αὐτὸν τὴν ἑπομένης ἑκατέρᾳ τῶν κινήσεων ἡρεμίας προσιέμενα. καὶ διὰ τοῦτο δὲ τοῖς ὑπὸ αὐτοῦ κληθεῖσιν Ἡροφιλείοις ὁμολογεῖται τί ποθ' ὑπὲρ αὐτῶν φρονεῖ δεόντως. οὔτε γὰρ ἡ λέξις αὐτοῦ θάτερον ἐνδείκνυται σαφῶς, οὔθ' ἡ τῶν πραγμάτων φύσις ἱκανὴ πιστώσασθαι. εἰ μὲν οὖν τὴν ἑτέραν τῶν δεξῶν φυλάττομεν ἑπόμενοι τοῖς μουσικοῖς, σὺν τῶν ἡσυχιῶν χρόνους προσθήσομεν τοῖς τῶν προηγουμένων κινήσεων. εἰ δὲ τὴν εἰς τὰς προγνώσεις χρείαν τὴν κίνησιν τῇ κινήσει παραβάλλοντες, ἰδίαν τὸν τῶν ἡσυχιῶν χρόνον ὑπισκεψόμεθα. Οταν οὖν ἀνοῖν θάτερον ἢ τὴν ἐνοιαν τῆς προσηγορίας ἀναγκαῖον ἢ διαφθείρειν, ἢ τὴν χρείαν ἀνατρέπειν, ἐν ἀκρίᾳ λυσιτελεῖ καθιστάμεθα. χρὴ δ' ὅμως ἐπεισὶν τὸ ἕτερον αὐτῶν ἐλέσθαι προσηκόν, προτιμήσαι τὸ χρήσιμον εἰς τὰς προγνώσεις, καταφρονήσαντα τοῦ πρὸς τοῖς μουσικοῖς ὀνόματος. τί γὰρ καὶ βλαβησόμεθα, προγιγνώσκοντες μὲν ἐκ τοῦ λόγου τὸν κατὰ τὰς κινήσεις χρόνον, ὄνομα δ' ἴδιον αὐτοῦ μηδὲν ἔχοντες. ὃ γὰρ ἐν οἷς ἀκριβοῦμεν ὀνόμασιν, ἀλλ' ἐν οἷς προγιγνώσκειν ἀδυνατοῦμεν ἡ τέχνη βλάπτεται. κἀιδω τοίνυν διὰ τὴν χρείαν ἐν τοῦ λόγῳ τοῦ χρόνου τῶν κινήσεων τὸν ῥυθμὸν σωίεσθαι, ζητησόντων ἡμῶν ἰδίᾳ ποτὲ τὸ δηλοῦν ἡροφίλῳ. ἀλλὰ καὶ ὅτῳ θαῤῥοῦμεν, ἔοικεν ἐπὶ μὲν ἀκρίᾳ, μὴ τε παντὸς τοῦ τῆς διαστολῆς χρόνου δυναμένου γνωσθῆναι, πλὴν ἐν τοῖς σφοδροτάτοις σφυγμοῖς, μήτε τῆς συστολῆς τῆς ἀρχῆς πρὸς πάντων ἀδιάληπτον ἔχοντος. πῶς οὖν ἡρόφιλος πρῶτος τινὰ φησὶ διαθέσθαι, ὑποτίθεται χρόνον, ᾧ σὺν ἄλλους μέτροις, ἢ δυοῖν, ἢ καὶ τριοῖν, ἢ καὶ πλείοσιν ἔστι φάσκειν. ἢ τοι τελέως τε καὶ ὡς αὐτοὶ καλοῦσιν ἀπαράλειπτον ἢ καὶ ἀπηυξημένον ἐπ' ὀλίγον, ἢ ὑπὲρ πλεῖον, ἢ ὑπὲρ πλεῖστον. ὡς γὰρ ὑπὲρ πάντων ἀκριβῶς τῶν σφυγμῶν διαγινώσκω σὺν χρόνους εἴ τε τῶν κινήσεων μόνων, εἴ τε καὶ τῶν μετ' αὐτὰς ἡσυχιῶν, οὐδὲν διαφέρει πρός γε τὴν παροῦσαν ἀκρίαν, ἔοικε ταῦτα γράφειν. εἰ μήτι ἐκ τῶν πάντων, ἀλλ' ἐφ' ὧν δυνατὸν ὑπὲρ τούτων μόνον ἡγεῖτο αὐτὸν τὰ τοιαῦτα γράφειν. ὅτῳ μὲν οὖν τάχ' ἂν ἰδίᾳ ποθ' ὕστερον ὑπισκεψόμεθα. νυνὶ δ' οὐ γὰρ πρόκειται τὸ δηλοῦν ἡροφίλῳ ζητεῖν, ἀλλὰ τἀληθὲς τε ἅμα καὶ χρήσιμον ἐξευρεῖν, ὅτῳ πειρατέον γνῶσιν λαβεῖν, ὡς ἐπ' αὐτῶν τῶν ἔργων ἡμῖν πειρωμένοις εὑρεθῇ. ἔχει δὲ ὧδε. τὸ ποιὸν τῆς κινήσεως κατὰ τὴν διαστολὴν μὲν ποιᾷ τῆς κατὰ τὴν συστολὴν κινήσεως παραβάλλοντες, γνώσεσθαι μὲν τὰς πρώτας εὑρίσκομεν διαφορὰς τὰς ἐν μὲν διαγράμμασι δηλουμένας. ἐν ἑκάστῃ δ' αὐτῶν, ἄλλας πολλὰς, ἀῤῥήτους μὲν λόγῳ, τὸ δὲ μᾶλλον καὶ ἧττον ἐπ' αὐτῶν τῶν ἔργων διαγιγνωσκομένας. οἷον δ' ἔστι δηλοῦν ἑκάστην διαφορὰν πέφυκεν, ἐν τῆς πρὸς προγνώσεως ἐροῦμεν. ἀλλὰ σοῦ γε πρῶτον ὑπογράψομεν τὸ διάγραμμα, σαφὲς ἑπόμενον ὑμῖν ἐν μὲν πρώτῳ πρὸς διαφορᾶς σφυγμῶν γεγυμνασμένοις. ἐφεξῆς δὲ μιμήσομαι, ὅπως πάλιν ἑκάστῃ διαφορᾷ πολλὰς συνυφαίνω μὲν ὁμοίως ὥσπερ. διαστολή. συστολή. ταχεῖα, ταχεῖα, ταχεῖα, σύμμετρος. ταχεῖα, βραδεῖα, σύμμετρος, ταχεῖα, σύμμετρος, σύμμετρος. σύμμετρος, βραδεῖα. βραδεῖα, ταχεῖα. βραδεῖα, σύμμετρος. βραδεῖα, βραδεῖα. τῆς τοίνυν πρώτης ἐν τῷ διαγράμματι γεγραμμένης διαφορᾶς, ἑκατέραν τῶν κινήσεων ταχεῖαν ἐχούσης, ἐνδέχεται μὲν τὴν ἐν διαστολῇ κίνησιν ἑκάστως ἠρεμεῖσθαι, τὴν δ' ἐν τῇ συστολῇ βραχεῖ τινὶ τῆς συμμέτρου τε καὶ μέσης ὑπερέχειν. ἢ ἐμπαλιν, βραχεῖ μὲν ὑπερέχειν τὴν ἐν τῇ διαστολῇ, παμπόλλῳ δὲ τὴν ἐν τῇ συστολῇ. ἢ ἀμφοτέραν ὀλίγῳ, ἢ ἀμφοτέραν παμπόλλῳ. τὴν μὲν ὀλίγῳ τὴν δὲ πλέονι μέν. ἢ κατ' ὀλίγον ἐλάττονι. ἢ κατὰ πολύ, ἢ ὅπως οὖν ἑτέρως. ἡ γὰρ ποικιλία σαφής. καὶ ὅπερ ἐστὶν εἰπεῖν, ἢ ὡς δ' φαίνεται σοὶ γιγνόμενον, ἢ ὡς δηλοῖ δὲν πέφυκεν. καὶ γὰρ καὶ γίνεται καὶ δηλοῖ μέγιστα καὶ ἡμῖν ἀπὸ τῆς τοιαύτης διαγνώσεως, ἤρκει προγινώσκειν, ὁ δὴ μόνης τῶν πρώτου χρόνου ὁλοκλήρου τε καὶ παρηκριβωμένου. ὅτι δὲ ὁ τοιαύτη διάγνωσις, ὁ δεῖται πάσης τῆς κινήσεως, ἀλλὰ καὶ διά μέρους αὐτῆς τὸ τυχόντος δύναται γίνεσθαι πρόδηλον παντί. πλὴν εἰ ἀνώμαλον ποτ' εἴη. τοιγαροῦν τὰ γὰρ ὁπότε ὅμοιον τὸ μέρος τῷ ὅλῳ. καὶ μὲν δὴ σὺν ἑκάστως ἀμυδροὺς σφυγμούς, ὁ δὲ τῇ τοιαύτῃ χρῆσθαι δύναται. ὁ γάρ ὅσον ἐστὶν ἐκείνου, ὁπόσον τὸν τῆς συστολῆς τυχὸν γνωρίσαι. μήτι γε δὴ μόριον αὐτῆς ἀξιόλογον.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΓΝΩΣΕΩΣ ΤΩΝ ΣΦΥΓΜΩΝ ΒΙΒΛΙΟΝ Α'.



Ὅσα μὲν ὑπάρχει τοῖς σφυγμοῖς κατὰ τὸν ἴδιον τῆς οὐσίας αὐτῶν λόγον, ἔμπροσθεν εἴρηται πάντως. περὶ δὲ τῶν ἄλλων ὅσα μήτ' ἄνευ τῆς κινήσεως τῶν ἀρτηριῶν διαγνωσθῆναι δύναται, μήτ' ἔστιν αὐτοῖς ἴδια, νῦν ἐρῶμεν. ἔστι δή τις ἐν τῷ διαστέλλεσθαι τὴν ἀρτηρίαν, ἀπομιμούμενος ἡμῖν, οἷον πληγὴ γιγνομένη κατὰ τὴν ἁφήν, ὃν ὅταν μὲν βίαιον ᾖ, κυρίως οἱ δέξουσι πληγὴν καλεῖν, οὐ μὴν οὕτως ἰσχυρὰν ἀβίαιος ᾖ. περὶ τούτης δὴ τῆς ὄντως πληγῆς, ἣν βίαιον προσβολὴν εἶναι φαμέν, σκεπτέον ἀκριβῶς. ἔπεσθαι γὰρ οὐκ ὀλίγοις αἴσθησι σφυγμῶν δοκεῖ, σκληρῷ καὶ σφοδρῷ, καὶ μεγάλῳ, καὶ ταχεῖ, καὶ ὑψηλῷ, καὶ ἀσασμώδει, καὶ κλονώδει. ἴσως οὖν τις μὴ ἀξιαπιστηθεὶς τοῖς κοινῷ συμπώμασι, περὶ τὴν διάγνωσιν αὐτῶν σφαλῇ, σκεπτέον ὑπὲρ ἁπάντων ὡδὶ μελλῶς. εἰ μὲν γὰρ ἄλλοις γνωρίσμασι διακρίνειν αὐδὲ δύναιτό τις, ἐκείνοις μαθόντες ἐχοίμεν ἂν ἤδη τὸ πᾶν. εἰδ' ἀδύνατον, ἀρξώμεθα γοῦν τὸ γιγνώσκειν, ὡς κοινὸν ὂν πλείοσι τῶν σφυγμῶν. ἀρχὴ δὲ τῆς σκέψεως ἀρίστη, τὸ μαθεῖν τὴν αἰτίαν, δι' ἣν πολλοῖς οὕτω σφυγμοῖς τὸ κοινὸν ἕπεσθαι δοκεῖ πάθημα, τὸ βίαιον τῆς πληγῆς. ὧδε οὖν. ἐπεισθῆναι χρὴ μὲν ἀπωθοῦσαν τὴν ἁφὴν, ὑπὸ τοῦ σφυγμοῦ, μέλλουσαν ἀναθήσεσθαι τῇ προσβολῇ αὐτοῦ, ὠθεῖται δ' οὐχ ὁμοίως ἅπαντος, ἀλλὰ ποτὲ μὲν μᾶλλον, ποτὲ δ' ἧττον, ποτὲ δ' ὡς τε ψαύειν μόνον. ὅσα κινήσεις αὐτὴν ὠθοῦσι καὶ ἀνατρέπουσιν ὧδε πολύ, βίαιον αὖται φαντασίαν ἐργάζονται τῆς πληγῆς. ὧδε πολὺ δ' ὠθεῖ δυνάμεις κινήσεις, ἥ τε τῆς σκληρότητος τῆς ἀρτηρίας, οἷον θλῶσα τὴν ἁφὴν, καὶ ἡ τῆς ῥώμης τῆς κινούσης αὐτὰ δυνάμεως, οἷον ἀνατρέπουσα. καὶ ἡ τοῦ μεγέθους τῆς διαξόλης ὧδε πλεῖον ἐξικνουμένη. καὶ ἡ τοῦ τάχους τῆς φορᾶς ὠθοῦσα σωτόμως. καὶ ἡ διὰ τὸ ὕψος οἷον ἐγκαταβαίνουσα. καὶ ἡ διὰ τὸ τετάσθαι δυσκίνητος. καὶ ἡ διὰ τὸν κλόνον ἅμα τάσεώς τε καὶ σκληρότητος, καὶ ταχείας προσβολῆς ἔμφασιν ἔχουσα. ταῦτ' ἄρα παμπόλλοις ὄντων ἐνδέχεται ὁσημοῦν τῶν ἰατρῶν ἅπαντας οὓς εἰρήμενους σφυγμοὺς σφοδροὺς εἶναι λέγουσιν. εἰ μὲν οὖν ἠδύναντο τῆς γε αὐτοῖς διαφορᾶς, τὸ καλεῖν ὅπως ἠβούλοντο κοινὰ πάντες, οὐδὲν ἂν ἐφρόντισαμεν. ἐπεὶ δ' ὥσπερ ὄνομα κοινὸν ὧδὶ φέρουσιν, οὕτω καὶ τὴν φύσιν ἁπάντων μίαν εἶναι νομίζουσιν, πειρατέον αὐτοῖς ἐνδείξασθαι τὴν ἀπάτην, ἀφ' ὧν πρόδηλον ἀναφανεστάτων ἀρξαμένους, οἷον ὑδρίας ἀφ' οὗ τάχους. προχεομένου γὰρ ἐντὸς ὕδατος τὸ σφάλμα, ὅσῳ γε διὰ μιᾶς ὥσει τὴν τάχος τῆς προσβολῆς, ὃ τὸν τόνον ὅλῳ τῆς πληγῆς. τότε τε γὰρ ἅμα, καὶ μέχρι πλείονος ὁ ταχὺς ὠθεῖ ἃ διώκει τὴν ἁφὴν, ἂν μὴ καὶ μέγας ᾖ. ὃ δ' ἧττον, ὅτι μὴ κατὰ τὴν ἑαυτοῦ φύσιν ἔχει τοῦτο σύμπτωμα. τὸ γὰρ ὅταν ᾖ ταχὺς μόνον οὐ διὰ τὸ μέγεθος ὑπάρχον, τῇ δὲ τοῦ μεγέθους παρουσίᾳ προσγινόμενον αὐτῷ πῶς ἄν τις ἴδιον εἶναι λέγοι. ὁ γοῦν ταχὺς ἅμα καὶ μικρὸς οὐκ ὠθεῖ μέχρι πολλοῦ τὴν ἁφὴν, ἀλλά τοι τὸ μέχρι τοῦ πολλοῦ, μεγέθους ὄντος οἰκειότερον ἢ καὶ τούτου κατὰ συμβεβηκός. ὧν γὰρ ἀναμνησθέντες ὅτι περὶ τοῦ μεγέθους διαγνώσεως εἰρήκαμεν, οὐ τοῦ μέχρι πλείονος ἔσω χωρεῖν, ἀλλὰ τοῦ κατὰ πολλὰ μόρια, μήκους θ' ἅμα καὶ πλάτους καὶ βάθους ἅπασθαι τῆς ἁφῆς ἐγνωρίζετο. τὴν γὰρ κατὰ κύκλον τοῦ σφυγμοῦ περιφέρειαν, ἱκανὴν τὸ μεγεθος σῦσαν ἀναθήσει διαγνόντες, ἐπ' αὐτῇ λοιπὸν ἤδη συλλογισόμεθα τὴν ἐκ πολλοῦ βάθους ἄνοδον, οὐκ ἀκολουθησάσης πάντῃ τοῦ διαστήματι τῆς ἁφῆς ἀλλὰ τῆς ἐκτὸς τελευτῆς μόνης ἀναθεμένης. εἰ γοῦν ἀρχὴ τῆς πρώτης ὁρμῆς τοῦ διαστέλλεσθαι τὴν ἀρτηρίαν τῆς κινήσεως ἐθελήσωμεν ἀναθήσεσθαι, πολὺ τοῦ μεγέθους ὡς καὶ πρόδηλον ἐρέθη κωλύσομεν. ὥσθ' ἡμῖν μηδὲ μέγαν ἐπιφαίνεσθαι τὸν σφυγμόν. ἀλλὰ καὶ αὐτὸ τοῦτ' οὐκ ἐν ἅπασι οἷόν τε ποιεῖν τοῖς μεγάλοις, ἀλλ' ὅσοι πῶς τὸ μέγεθος, σφοδρότητος μετέχουσι τοῖς γὰρ μεγάλοις μόνον, ἀμυδροῖς δὲ καὶ σφοδροῖς, οὐ δ' ἁπαντῆσαι δύναιτ' ἂν τοῦ ἀνιοῦσιν, ἀ δὲ θλίψαι τὴν ἀρτηρίαν. ἀπόλωται γὰρ ὄγκος ὅλος. δῆλον οὖν ὡς οὐ δι' ὁ μέγας διαγινώσκεται τοῦ πλείονος ἔσω τὴν ἁφὴν ὠθεῖν ἀλλὰ τοῦ κατὰ πολλὰ μόρια τοῦ τε μήκους καὶ τοῦ κύκλου τῆς ἀρτηρίας προσαπτῆναι. ἆρ' οὖν ὁ ὑψηλὸς ὧδὶ πλεῖον ἔσω βιάζεται. καὶ μὴν ὅπερ ὁ μέγας ἐν τοῖς τρισὶ διαστάσεσι, τοῦτο οὗτος ἐν μιᾷ κεῖται. ἅπερ οὖν μικρὸν ἐκείνου, οὐ δὲ οὗτος. ἀλλὰ μὴν ὁ μέγας ἐδείχθη χωρὶς τοῦ καὶ σφοδρὸς εἶναι, μὴ διὰ μιᾶς ὧδὶ πλέον ὠθεῖν τὴν ἁφήν. οὐκ οὖν οὐ δὲ ὁ ὑψηλός. εἰ δὲ τῷ μεγάλῳ μὲν ὑπάρχει πολλάκις ἀμυδρότης, τῷ δ' ὑψηλῷ μὲν, μὴ μεγάλῳ δὲ, τὰ πολλὰ μὲν ἡ σφοδρότης, ἀμυδρότης δὲ οὐ δέ ποτε, τοὐναντίον λόγου. ἔξει μὲν γὰρ ὡς εἶπον, μέχρι πλείονος, ὠθεῖν ὁ ὑψηλός, οὐ μὴν κατὰ τὸν ἴδιον λόγον, ἀλλ' ὅτι πάντως σφοδρός, ἢ οὐκ ἀμυδρός γε ὄντι. ἅπαντες μὲν οὖν οἱ εἰρημένοι σφυγμοὶ φαίνονται σφοδρότητος δ' ἐόμενοι, πρὸς τῷ μέχρι πολλοῦ τὴν ἁφὴν ὠθεῖν. καὶ διὰ τοῦτο ὅσοις μὲν αὐτῶν διὰ παντὸς σώζεσι σφοδρότητες ἀεὶ βιαίως πλήττουσιν. ὅσοις δ' οὐκ ἀεὶ μὲν, ὡς τὸ πολὺ δὲ, καὶ οὗτοι τὰ πολλὰ βίαιοι φαινόμενοι, τοῖς ἀμελέστερον τὰ τοιαῦτ' ὠθισκοποῦσιν ὧδὶ διὰ τοῦτο ἀεὶ τοιοῦτοι τινὲς ὑπάρχειν. ἄλλοι δ' ἂν σφυγμοὶ διὰ τὴν ἀχώειστον αὐτῶν σκληρότητα, βιαίως πλήττουσιν, ὥσπερ ὅ τε κλονώδης, καὶ ὁ ἀσασμώδης. οὐ δὲ γὰρ οὗτοι διά τι ἄλλο τι βίαιον ἔχουσι τὴν πληγὴν, ἀλλὰ διὰ τὴν ἀχώειστον αὐτῶν σκληρότητα. καὶ διὰ τοῦτ' ἔοικεν εἶναι μόνα σφυγμῶν εἴδη βιαίως πλήττοντα, τό τε τῶν σφοδρῶν καὶ τῶν σκληρῶν. εἰσὶ δ' οἱ καὶ τούτοις δεῖσθαι σφοδρότητος ἔφασαν πρὸς τὴν σκληρότητα. μὴ γὰρ διώσασθαι μόνην βίαιον ποιήσασθαι πληγήν. ὥσπερ οὐ δὲ εἰ λίθον ἀτρέμα προσάγοις. δεῖ γὰρ δὴ καὶ τοῦτο τόνου τινὸς εἰ μέλλοι πλήττειν ἰσχυρῶς. ἀλλὰ τούτους μὲν ἔρεσθαι δίκαιον τί ποτε καὶ βούλονται, πότερον οὐδὲν ὅλως εἶναι σῶμα σκληρὸν, ἀλλὰ ὅπερ κοινόμακρο σκληρὸν μάτην ὑπὸ τῶν ἀνθρώπων ἐρῆσθαι κατ' οὐδενὸς ὑποκειμένου πράγματος, ἢ πρᾶγμα μὲν

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 84 sur 494

εἶναι τὶ καθ' οὗ λέγεται, διάγνωσιν δ' αὐτοῦ μὴ δὲ μίαν ὑπάρχειν αἰσθήσει, ἢ δι' ἄλλης τινὸς αἰσθήσεως, οὐ διὰ τῆς ἁφῆς γνωρίζεσθαι. πάντα γὰρ ἄτοπα τό τε μηδὲν εἶναι σῶμα σκληρὸν, τό τε λόγῳ μᾶλλον ἢ αἰσθήσει διαγινώσκεσθαι, τότ' αἰσθήσει μὲν, ἄλλῃ δέ τινι μᾶλλον, ἢ ἁφῇ. καὶ μὴν εἰ συγχωρηθείη γέ τις σκληρὸν εἶναι, καὶ διὰ τῆς ἁφῆς γνωρίζεσθαι, τὶ λοιπὸν ἢ περὶ ὀνόματος ἐρίζοντες εὑρεθήσονται, φάσκοντες ἄνευ τόνου μὴ δύνασθαι βίαιον ἀπ' αὐτοῦ γενέσθαι τὴν πληγήν. εἰ γὰρ καὶ μὴ βίαιον ἐθέλοιεν καλεῖν, ἀλλ' οἷον θλῶσαν γε πάντως, ἢ ἀπωθουμένην, ἢ ἀνατρέπουσαν εἰπεῖν ἀναγκασθήσονται. τὸ μέν γε τοῦ τόνου διαμφισβητεῖται. τὴν ἀρχὴν γὰρ οἷος τίς ἐστιν ὁ τόνος ἐν τοῖς τῶν ζώων σώμασιν οὐκ ὡμολόγηται, πρὸς τῶν εἰς ἐλάχιστα ἢ εἰς ἄτομα, ἢ εἰς ἄναρμα τὴν ὅλην οὐσίαν καταθραυόντων. μόνοις γὰρ ὁ μολογεῖται τοῖς ἡνῶσθαι φάσκουσιν αὐτήν. ὥστ' οὐ δ' αἰσθήσει διαγνωστὸς ὁ τόνος, ἀλλ' εἴπερ ἄρα διὰ σημείου τινὸς, ἢ σημείων, ἤ τοι κατ' ἔνδειξιν, ἢ κατ' ἀπόδειξιν πιστός. σκληρὸν δὲ καὶ μαλακὸν σῶμα πάντες ἄνθρωποι διαγινώσκομεν αἰσθήσει. καὶ δίκαιον οὐ περὶ τῆς ὑπάρξεως αὐτῶν ζητεῖν, ἀλλὰ περὶ τῆς διαγνώσεως, μᾶλλον δ' οὐ δὲ περὶ ταύτης, ἀλλὰ περὶ τοῦ πῶς ἄν τις ἑρμηνεύῃ ἑτέρῳ τὸ γιγνόμενον ἑαυτῷ πάθημα κατὰ τὴν ἁφὴν ἐν τῇ προσβολῇ τῶν σκληρῶν σωμάτων, ὅπῃ τε διαφέρει οὗτος τῶν σφοδρῶν. ἀλλ' ἐπεὶ τοῖς ἔμπροσθεν παραλέλειπται, πειραθῶμεν ἡμεῖς αὐτὸ ποιῆσαι, ἀρχὴν τοῦ λόγου τὰ πᾶσιν ἀνθρώποις ὁμολογούμενα θέμενοι. ἐπεὶ τοίνυν σφοδρά τινα καλοῦμεν οὐ ζῶα μόνον, ὥσπερ λέοντάς τε καὶ ταύρους, ἀλλὰ καὶ τῶν ἀψύχων ἔνια, καθάπερ τά τε τῶν ποταμῶν κατάντη ῥεύματα, καὶ ἀνέμους οὗς μεγάλους. ἕτερα δὲ σκληρὰ καθάπερ χαλκὸν, καὶ σίδηρον, καὶ λίθους, ἀναμνησθῆναι χρὴ τί δή ποτ' ἐστὶν, ἀφ' ἑκατέρων αὐτῶν, ὅταν ὁμιλῶσιν ἡμῖν διάφορα ἐγγινόμενα τοῖς σώμασι παθήματα. τό τε γὰρ βίαιον τῆς προσβολῆς κοινὸν ἀμφοῖν, τῶν τε σφοδρῶν ἀνέμων, καὶ τῶν σκληρῶν σωμάτων. πλεονεκτεῖ δ' οἶμαι, κατὰ μὲν οὗς ἀνέμους τε καὶ τὰ τῶν ποταμῶν ῥεύματα, τὸ ἀνατρέπεσθαι πρὸς αὐτῶν, κατὰ δὲ οὗς λίθους καὶ τὰ ξύλα τὸ θλίβεσθαί τε καὶ θλᾶσθαι. ὑπὲρ μὲν γὰρ τῶν προτέρων εἰ καὶ πάνυ προθυμηθείημεν, ἐναντίοι βαδίζειν πρὸς αὐτὰ πάντως ἰσχόμεθά τε καὶ ἀνατρεπόμεθα, καὶ εἰς τοὐπίσω βιαίως ὠθούμεθα, χωρὶς τοῦ θλίβεσθαι τε καὶ θλᾶσθαι καὶ πιέζεσθαι τὰ μόρια τοῦ σώματος. ὑπὲρ δὲ τῶν δευτέρων αὐτὸ τὸ θλίβεσθαί τε καὶ θλᾶσθαι πλεονεκτεῖ. μάλιστα δ' ἂν αὐτὸ μάθῃς, εἴ τινι τῶν τοῦ σώματος μορίων ὑπθείης λίθον μὴ πάνυ βαρὺν, ἀλλ' ὥς τε βουληθέντας, ἀπῤῥίψαι ῥαδίως. γνώσῃ γὰρ ὅπως ὑπικείμενος μὲν βαρύνει καὶ θλίβει καὶ θλᾷ, καὶ οἷον ἐγκαταβαίνει τοῦ δέρματι. ἀπολιπεὶς δὲ καταλίπει τι περὶ τὸ μόριον ἴχνος καὶ γνώρισμα τῆς θλίψεως. ἢ γὰρ κοιλότερον ἑαυτοῦ, καὶ μέχρι πολλοῦ διασώζον τὴν ἕδραν τὸ μέρος ἀπέφηνεν, ἢ πρὸς τούτῳ καὶ πελιδνόν. οὐ μὴν ἄνεμός γε κἂν ἰσχυρότατος ὢν τύχῃ, κἂν ἀνατρέψῃ τινα, κἂν καταβάλῃ, πιλεῖπου καὶ κοῖλον ἀπεργάζεται τὸ σῶμα. μαλακὸς γὰρ ὢν καὶ ῥαδίως περιχίζεται τέ καὶ περιῤῥεῖ. διὰ οὗτος μέγιστα μὲν πλοῖα ῥαδίως ὠθεῖ καὶ καταβάλλει πολλάκις, οὐ μὴν κοιλότερον γε τὶ τῶν ξύλων τῶν ἐν αὐτοῖς εἰργάσατο, καθάπερ εἰ λίθος ἦν ἢ σίδηρος τὸ προσπίπτον. ταῦτα γὰρ θλᾶσθαι μὲν καὶ συντρίψασθαι δύναται, ἀπώσασθαι δὲ καὶ ἀνατρέψαι τοῖς ἀνέμοις παραπλησίως οὐ δύναται. μή ποτ' οὖν οἷς μὲν ἂν ὑπείκουσαν ἔχωμεν τὴν τῆς σαρκὸς φύσιν, ταῦτα μὲν σκληρὰ καλοῦμεν. ἃ δ' ἂν αὐτῇ ὑπείκοι τῇ σαρκὶ, καθάπερ τὸ ὕδωρ μαλακὰ κέκληται. καὶ τοῦτ' ἄρ' ἦν τὸ πρὸς τοῦ πλάτωνος λεγόμενον. σκληρὰ μὲν ὅσοις ἂν ἡμῶν ἡ σὰρξ ὑπείκοι. μαλακὰ δ' ὅσα ἂν τῇ σαρκί. φερέ γὰρ ἡμῶν τὴν ἁφὴν ὑποπίπτειν ὑγρῷ τινι, παντί που δῆλον, ὡς ἐγκαταβήσεται μὲν αὐτά, τὸ δ' ὑγρὸν εἴξει τε καὶ ὑποδέξεται. σκληρῷ δ' εἴ τινι προσπέσοι, δῆλον ὡς αὐτὴ μᾶλλον εἴξει τε καὶ κοίλη γενήσεται ἵν' οὖν ἤδη συμπερανώμεθα τὸν λόγον, πλονόησωμεν τὴν ἡμετέραν χεῖρα ποτὲ μὲν ὕδατος ὀξεῖ ῥεύματι, ἢ ἀνέμῳ σφοσφῷ ἐξ ἐναντίας ἅπαν τῶσαν, ποτὲ δὲ λίθῳ τινὶ, διὰ τῆς ἑτέρας χειρὸς ἀτρέμα προσαγομένῳ, ἆρ' οὐ πρόδηλον ὡς ἀπὸ μὲν τῶν προτέρων ἀνατραπήσεται μὲν μὴ θλιφθεῖσα. τὸν δὲ λίθον αὕτη μὲν ἀνατρέψει, θλιφθήσεται δ' ὑπ' αὐτοῦ. τὸ μὲν γὰρ σκληρὸν ὅσον ἐπ' ἑαυτῷ κωλύειν οὐκ ἱκανὸν ἡμᾶς ἰέναι πρόσω, ἀλλὰ ἤ τοι διὰ βάρος, ἢ διὰ τὴν ἔξωθεν αὐτῷ προσιοῦσαν κίνησιν ἴσχειν ποτὲ δύναται. τὸ δὲ σφοδρὸν κατ' αὐτὸ οὗτος τὸ ἴσχειν τε καὶ κωλύειν καὶ ἀπωθεῖσθαι καὶ ἀνατρέπειν νενόηται. δῆλον οὖν ὡς ἑτέρα μὲν αἴσθησις ἡμῖν ἐν τῇ τῶν σφοδρῶν, ἑτέρα δ' ἐν τῇ τῶν σκληρῶν ὁμιλίᾳ γίγνεται. τὰ μὲν γὰρ θλίβει μόνον τὴν σάρκα. τὰ δ' ἴσχει που πρόσω. πολλάκις δ' εἰς ταυτὸν ἀμφοτέρων συνιόντων, ὡς εἶναι τὸ προσπίπτον ἅμα μὲν σκληρὸν, ἅμα δὲ σφοδρῶς κινούμενον, ἀνάγκη καὶ τὴν αἴσθησιν ἡμῖν τὴν ἀπ' αὐτῶν διπλὴν γίνεσθαι, τὴν μὲν ὡς θλίβοντος, τὴν δ' ὡς ἀνατρέποντος. καὶ εἴπερ ταῦθ' οὕτως ἔχει, καθάπερ οὖν ἔχει, τὴν τοῦ σκληροῦ σφυγμοῦ διάγνωσιν ἐν τοῦ θλίβεσθαι θετέον τὴν ἁφὴν, ὥς εἶναι τὸ μὲν τῆς πληγῆς βίαιον κοινὸν ἀμφοτέροις, τὸ δ' ἴδιον ἑκατέρου. τὸ μὲν θλίβειν τοῦ σκληροῦ. τὸ δ' ἀνατρέπειν τοῦ σφοδροῦ. τὰ μὲν δὴ πάθη τῆς ἁφῆς ταῦτα, καὶ τὰ συνήθη τοῖς ἕλλησιν ἐπ' αὐτοῖς ὀνόματα. δύναιτο δ' ἄν τις καὶ δι' ἑτέρων ὀνομάτων ταῦτα τὰ πράγματα δηλοῦν, ὥσπερ ἀμέλει ῥαδίως αὐτὸ ποιήσουσιν οἱ τὸ συνεχὲς τῆς ὅλης οὐσίας διακόπτοντες τοῦ κενῷ. τοῦτ' ἔστιν ἅπαντες ὅσοι σώματα αὐτὰ σμικρὰ καὶ ἀδιαίρετα καὶ ἄτμητα καὶ ἄναρμα, ποτὲ μὲν συγκρινόμενα, ποτὲ δὲ διακρινόμενα, τάς τε γενέσεις καὶ τὰς φθορὰς ἐργάζεσθαι φασίν, οὗτοι γὰρ ὡς ἂν οὐδένα τόνον εἰδότες ζωτικὸν, ὅταν ἀθρόα καὶ πολλὰ καὶ ταχέως φέρηται ταυτὶ τὰ σμικρὰ σώματα, τό τε τὴν ἀπ' αὐτῶν πληγὴν σφοδρὰν φήσουσιν γίνεσθαι, καθάπερ ὑπὲρ τῶν ἀνέμων τε καὶ τῶν εἰς τὸ κατάντες φερομένων συμπίπτει ῥευμάτων. τὸ δὲ ἀθρόα καὶ πολλὰ καὶ πυκνὰ λέγειν, ταυτὸν ἐστὶν φήσουσιν τοῦ βραχὺ παρεσπάρθαι κενόν. οὗτος δὲ τοῦ πεπληρῶσθαι στερεᾶς οὐσίας τὴν εὐρυχωρίαν τῆς ἀρτηρίας ταυτὸν ὑπάρχειν. τὴν γὰρ δὴ κένωσιν αὐτῆς, ὥσπερ καὶ αὐτὸ τοὔνομα δηλοῖ παρὰ τὸ κενὸν ὠνομᾶσθαι. οὗτος γὰρ ἐν ἅπασιν ἀεὶ τοῖς συγκρίμασι περιέχεσθαι. τοῦ δ' ἧττον ἢ πλέον ἐστὶν ποτὲ μὲν σκληρὰ, ποτὲ δὲ μαλακὰ γίγνεσθαι τὰ σώματα. καὶ νῦν μὲν πλήρεις

αὐτῶν

αὐτῶν τὰς γνώσεις ἡμιλίας, ὧν ἡμῖς δ' εἰ τύχοι, κρωάς. τὸν μὲν οὖν χιτῶνα τῆς ἀρτηρίας σκληρὸν ἢ μαλακὸν φήσουσι γίγνεσθαι διὰ τὸ πόσον τὸ παραπεπλεγμένον τῇ συγκείμενα κρυστάλλῳ. τῆς δ' ὄντος εὐρυτέρου πληρεῖ τὸ διὰ κρόνου, διὰ τὸ πόσον πάλιν καὶ τοιοῦτον εἶναι τῆς παρεισαρμένης αὐτῇ κρυσταλλικότητος. μέγαν δέ τινα εἶναι φήσουσι σφυγμὸν, ὃ μὲν τὸ γ' αὐτοβατικὸν ἔχειν κατὰ τὴν προσβολὴν, ὅταν πολὺ μὲν τὸ κατὰ τὴν κοιλότητα τῆς ἀρτηρίας κρούῃ, ὀλίγα δὲ τὰ πρῶτα σώματα. μέγαν δ' ἅμα καὶ ἀναπεπταμένον, ὅταν ὀλίγον μὲν τὸ κρούον, πολλὰ δὲ τὰ σώματα. διὰλου οὖν ἤδη γέγονεν. ὡς οὐδὲν κατ' ἐκείνους διοίσει λέγειν πλῆρη σφυγμὸν σφοδρόν. καὶ γὰρ καὶ τὸ τῆς ἀφῆς πάθος, ᾧ ὑπάρχειν, καὶ τὸ σφυγμοῦ τὴν φύσιν μίαν εἶναι. κρούει γὰρ ὀλίγου ταῖς εὐρυχωρείαις τῶν ἀρτηριῶν παρακειμένου, διὰ μὲν τὸ πλῆθος τῶν ὄγκων πλῆρη λέγεσθαι τὸν σφυγμὸν, διὰ δὲ τὸ τῆς πληγῆς ἰσχυρὸν σφοδρόν. ὡς τε τῶν ὀνομάτων τὸ μὲν ἕτερον αὐτῆς τῆς οὐσίας διηλωτικὸν εἶναι τοῦ σφυγμοῦ. τὸ δ' ἕτερον τοῦ ποιοῦ τῆς προσβολῆς. οὕτω καὶ σφυγμὸν, ἄλλον μὲν πλῆρη, σφοδρὸν δ' ἄλλον. διοίσει γὰρ ὀνόματι τῷ πρᾶγμα διαλοῦσθαι κατὰ διαφόρους γνώσεις. ἀλλ' ἡμεῖς γε ὅσοι ζωτικόν τινα τόνον εἶναι φαμὲν, διττὸν μὲν ἀναγκῆς ὁμολογήσομεν ὑπάρχειν τὴν φύσιν τῶν σφυγμῶν. εἰ δὲ καὶ τὴν διάγνωσιν ὧν μελέσθαι τούτων ἀθροίσκεσθαι. χαλεπὴ ἡ σκέψις μάλιστα γίνεται, τοῦ μηδένα τῶν ἐμπροσθεν ἀξιόλογον μηδὲν γράψαι πρὸς διαγνώσεως σφυγμῶν, ἀλλὰ σὺν μὲν τελέως παραλιπεῖν, σὺν δὲ ὀλίγα κομιδῇ προσάψασθαι. ἡρόφιλος μὲν οὖν ὡς ἂν τὰ τῆς αἰσθήσεως πάθη γράφων, οὐδαμῆ πληρότητος ἐμνημόνευσεν οὐδὲ πώποτε ἤθετο. οἱ δ' ἀπ' αὐτοῦ μὲν κληθέντες ἡροφίλειοι, πάντα μᾶλλον ὄντες, ἢ ὅσα λέγεσθαι βούλονται, σοφισταὶ καὶ πολύλογοι νομιζόμενοι σχεδὸν ἅπαντες, ὅτ' ἄλλο τι τῶν ἡροφιλείων θεωρημάτων ἐπ' αὐτῶν τὸν ὄγκον τῆς τέχνης προὐθημήνησαν ἀσκῆσαι. καὶ πρὸς ἄλλοις πολλοῖς οἷς ἐλυμήναντο τὴν τέχνην, ἔτι τε καὶ νῦν πλῆρη σφυγμὸν ἡμῖν εἰσαγαγοντες ταῖς διαγνώσεσιν, ἵνα διηλαδὴ μικρᾶς οὔσης τῆς τέχνης ἔχωμεν ἡμεῖς νῦν ὃ πράττωμεν. οὔτε γὰρ παρελθεῖν οἷόν τε σφυγμὸν ὑπ' αὐτῶν ὑποδοχῆς πεπισευμένον, οὔθ' ὃν εὑρόντες ἔτι ποτὲ εὕρομεν ὑπὸ τῶν ὄγκων, διαγνῶναι προχείρως ἡμῖν θατέρου, ἀλλοτρίας ἀκολουθήσεσιν ἀφορμῆς. ἀλλ' ἀνάγκη δ' εἶναι πρῶτον μὲν ὅτι μέχρι τῆς γνώσεως ὁ σφυγμὸς οὗτος πρόεισιν, ἔπειτα ὡς ὁ δ' ἡροφίλῳ αὐτὸν ἀποδοχῆς διεγίνωσκεν. εἰ μὲν οὖν μὴ συγκεχύκεσαν αὐτοὶ τὸ σημαινόμενον τοῦ ὀνόματος, ἤδη ἔχον τι κἀγὼ λέγειν, ὧν ἐπαγγέλλομαι. ἐπεὶ δὲ πολυειδῶς ἐτάραξαν αὐτὸ πρὸς ἀλλήλους τε καὶ πρὸς ἑαυτὸν ἕκαστος, οὐκ ὀλιγοῦντες, ἀναγκαῖον ὄντων ὑπὲρ τοῦ σημαινομένου πρότερον ἡμᾶς διασκέψασθαι, μὴ πῃ λάθωμεν ἡμᾶς αὐτοὺς ὡς κόρακας, ἢ κολοιοὺς φωνὰς μόνας προφερόμενοι, τὰ δὲ πράγματα καθ' ὧν αὐτοὶ λέγονται παντάπασιν ἀγνοοῦντες. ὄντων οὖν πολλῶν τῶν γραψάντων τοὔνομα τοῦ πλήρους σφυγμοῦ, σὺν μὲν ἄλλους παραλείψομαι δηλῶ, πλὴν εἴπου κατὰ τὴν ἀναγκαίαν τοῦ λόγου μνημοβύσασθαι διὰ βραχέων. ἀχρήσομαι δέ μοι τοῖς περὶ Ἀρχιγένους τε καὶ Ἀγαθίνου γεγραμμένοις προχειρισαμένῳ διασκέψασθαι. λέγω δὲ ὁ μὲν ἀρχιγένης ὑπὲρ αὐτοῦ τὸν δὲ ἐν τρόπον. ἔστι δὲ πλήρης σφυγμὸς ὁ νασοτόραν ὑπὸ δεικνὺς τὴν ἀρτηρίαν, καὶ τὴν ὑποπτώσιν αὐτῆς διαστεσαγμένῃ ἐγχύλως. κρούει δὲ ὁ πομφολυγώδη τὴν ἔγφρσιν τῆς ἀρτηρίας ποιούμενος, ὥς τε κατὰ τὸν ὑπὸ πεσμὸν τῶν δακτύλων κρεμβάτησιν ὑποπίπτειν. ᾧ τούτῳ τε δὴ τῷ λόγῳ πρῶτον τι σημαλοῖ τὸ νασοτόραν οὐ πάνυ ἀφῶς οἶδα, διὰ τὸ μηδὲ σώηθον εἶναι τοῖς ἕλλησιν ὄνομα, κατὰ τοιοῦτου πράγματος λέγεσθαι. ἄρτου μὲν γάρ τινα νασὸν ἐκάλουν, οὐ μὴν ἄλλο γέ τι σῶμα πρὸς αὐτῶν οὕτως ὠνομασμένον ἐπίσταμαι. αὐτὸς δὲ ὁ Ἀρχιγένης, δικαιότατον γὰρ τὴν ἐν τῇς ὀνόμασιν αὐτοῦ σωήθειαν παρ' αὐτοῦ μανθάνειν, δοκεῖ μοι τὸ νασὸν ἂν τι τοῦ πλήρους ὀνομάζειν, ᾧ γοῦν τῆς πρὸς σφοδρότητος σφυγμοῦ λόγῳ, δικνούμενον τὰ ὑπὸ Μάγου ἐρημένα, κατὰ λέξιν ὅτως γράφει. ὅλως γὰρ φησὶν ἡ σφοδρὰ πληγὴ οὐ γίγνεται, εἰ μὴ νασοῦ ὄντος τοῦ προαισθήσοντος, μεγάλου καὶ ταχέος ὑπαφορμοῦντος. ἐφ' ᾧ μετ' ὀλίγον οὕτως αὖθις φησί. καὶ σφοδρότης σφυγμοῦ, ἐκ τάχους, μεγέθους, σφοδρότητος, πληρότητος, ὅτι σώδετος. τὸ γὰρ ἀνωτέρω νασὸν ὡς νῦν πλῆρον ἐκάλεσεν, ὡς οὐδὲν διαφέρον, ἢ οὕτως, ἢ ἐκείνως εἰπεῖν. ἀλλὰ καὶ παντοχοῦ μοι δοκεῖ κατὰ τὸν αὐτὸν τρόπον χρῆσθαι τῇ τοῦ νασοῦ προσηγορίᾳ. μεταλάβομεν οὖν ἤδη τὸ νασότορον εἰς τὸ πληρέσορον, ἵνα καὶ γνῶμεν τί ποτ' ὄντ' ὁ λέγει. ἔστι δὲ ἃ λέξις τοιάδε. ἔστι δὲ πλήρης μὲν σφυγμὸς ὁ πληρεσέραν ὑπὸ δεικνὺς τὴν ἀρτηρίαν. ἀλλὰ ὡς μὲν αὐτὸ δηλούμενον, οὐδὲν ἡμᾶς διέφερε πλέον. ἆρ' οὖν ἄμεινον ὑποβαίνοντας ὅλον τὸ νασότορον, σκέψασθαι τὸ ὑπὸ φερόμενον ἐν τῷ λόγῳ καὶ τὴν ὑποπτώσιν αὐτοῦ διασεσαγμένην ἐγχύλως. ποιότον γάρ τι δηλοῖ ἔοικεν ἡ λέξις, ὡς τοῦ πλήρους σφυγμοῦ ἐν τῇ προσβολῇ δεικνυμένου διασεσαγμένην ἐγχύλως τὴν ἀρτηρίαν. αὐτὸ δὲ πάλιν τὸ διασεσαγμένην, πότερα ταυτόν ὅτι τοῦ μεμεσωμένην, ἢ ἄλλο τι δηλοῖ, ἀφῶς σκέψαι συμβαλεῖν. καὶ γάρ τοι καὶ αὐτὸς ἐξῆς τοῦ πλήρους καὶ τοῦ νασοτόρου, τὸν ὁρισμὸν τοῦ κρούου, ὅτε τῷ νασοτόραν τὸ ἐναντίον ἔλαβεν, ὅτε τὸ διασεσαγμένην, δέον οἶμαι λαβεῖν ἐπὶ ἐναντίον πρᾶγμα ἐποίησε. ὅδεν ἔλαβεν, ἀλλὰ τί φησι. κρούει δὲ ὁ πομφολυγώδη τὴν ἔγφρσιν τῆς ἀρτηρίας ποιούμενος. ὅτε γὰρ τὸ πομφολυγώδη ὅτε τῷ νασοτόραν, ὅτε τοῦ διασεσαγμένην ἐναντίον ὅτιν. ἀλλ' ἐπὶ ἄρα μόνῳ τῷ ἐγχύλῳ, ἵνα τὸ μὴ ἔγχυλον, οἷον ὑγρότορόν πως εἴη. τὸ ἢ πομφολυγώδες ἀφρωδέστερον. πάλιν δὲ τῷ τοῦ κρούου λόγῳ πρόσκειται. ὡς τε τὴν τοῦ ὑπὸ πεσμοῦ τῶν δακτύλων κρεμβάτησιν ὑποπίπτειν, τινὶ τῶν ἐκτὸς πλήρους ἐναντίον ὅτι, ἐξ ὧν εὕρωις. τῷ μὴ γὰρ τῆς κρεμβατήσεως ὀνόματι τὸ τῆς αὐτοβάσεως μᾶλις ἀντιθείη. παραλέλειπται δ' ὅλον τοῦτ' ἐν τῷ πλήρους λόγῳ. καί τοι γ' ἡδύνατο τὴν αὐτὴν εἰρῆσθαι τρόπον, ὡς τε κατὰ τὴν ὑπὸ πεσμὸν τῶν δακτύλων αὐτοβάσιν ὑποπίπτειν, ἀλλ' ὃν εἴρηται. εἰ μή τι ἆρα πρὸς τὸ νασοτόραν ὑπὸ δεικνῦναι τῆς ἀρτηρίαν τοῦτ' ὅτιν, ἵν' ἐν ἑκατόρῳ τῷ λόγῳ, μή ποτ' ὅτιν ὁ πλήρης σφυγμὸς ἢ δηλούμενον, ἀλλὰ πῶς διαγινώσκεται, καὶ εἰ ὅσον, τάχ' ἂν ἀπολειφθεῖν ἡδύ τι διωάμενον. εἰ γὰρ τῶν ἐμετόρων τῇ τῶν ἀφλῶ παθημάτων ὀξύτης ὅτιν ὁ λόγος, ὀλαμὸς ἐν τοῦ πράγματος αὐτοῦ φύσεως ἀπομνημονεύεσθαι, ἀναμνησθῆναι δυνάμενος πάντων ὧν κατὰ τὴν διαγνῶσιν ἐν τῆς ἀρτηρίας ἡ ἁφὴ πάσχει. τάχ' ἂν εὑρήσομεν οὕτως τὴν

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 86 sur 494

ποτε βούλεται δηλοῦν ὁ Αρχιγένης. ἃ δὲ πάσχει ταῦτ' ἐστίν. αἰσθάνεται προσπίπτοντος αὐτῇ κινουμένου σώματος ἐν χρόνῳ τινί, καὶ οὗτος ποτὲ μὲν κατὰ πολλὰ μόρια προσπίπτειν ἑαυτῇ φαντάζεται, ποτὲ δ' οὔ. καὶ θλίβειν τε καὶ αὖθις μὴ θλίβειν. καὶ ἡμῶν θλιβόντων αὐτιβαίνειν, ἢ νικᾶσθαι. ταῦτ' ἐστὶ τὰ πρῶτα καὶ οἷον στοιχεῖα τοῦ παντὸς περὶ τῶν σφυγμῶν λόγου, πάθη τῆς ἁφῆς. τὰ γὰρ ἄλλα πάντα, τὰ μὲν ἐκ τούτων σύγκειται, τὰ δ' ἐν τοῦ πρός τι νενόηται, ἤ τοι καὶ τὰ μόρια τῶν εἰρημένων ἀλλήλοις παραβαλλόμενον, ἢ ὅλων πρὸς ὅλα. κατά τινος οὖν λέγεται τούτων τὸ τοῦ πλήρους ὄνομα; πότερον κατὰ τῆς κινήσεως αὐτῆς; ἀλλ' ἐν ἐκείνῃ τάχος ἦν καὶ βραδύτης, καὶ τῶν ῥυθμῶν αἱ γενέσεις. ἀλλ' ὅταν κατὰ πολλὰ μόρια τῆς διαστολῆς αἰσθάνεται ἡ ἁφή; ἀλλ' ἐνταῦθα μακροὶ καὶ πλατεῖς καὶ ὑψηλοὶ καὶ μεγάλοι γίνονται σφυγμοί. ἀλλ' ὅταν κατ' ὀλίγα; οἱ ἐναντίοι δηλονότι, τῶν εἰρημένων, ἀλλ' ὅταν θλίβηται; σκληρός. ἀλλ' ὅταν ἀνατρέπηται; σφοδρός. τὶ γὰρ δὴ περὶ τῶν ἐναντίων αὐτοῖς ἢ μέσων μακρολογεῖν; πότ' οὖν πλήρης γενήσεται; ἤ τι πάσχει πάθος ἡ ἁφή; πότερον, ὅταν θερμασίας πλείονος ἢ δρυμυτέρας αἰσθάνηται; ἀλλ' οὐκ ἔστιν ἐκ τῶν κατὰ τοὺς σφυγμοὺς διαφορῶν, ἡ τοιαύτη διάγνωσις. ἀλλ' ὅταν ὑγρότητος ἢ ξηρότητος; ἀλλ' οὐ δὲ ταῦτα τῆς τῶν σφυγμῶν διαφορᾶς ἐστὶ τὰ παθήματα. καὶ γὰρ καὶ χωρὶς τῶν σφυγμῶν ἔνεστιν αὐτὰ διαγινώσκειν, ὠθιβάλλοντα τὴν χεῖρα τοῦ σώματι τοῦ νοσοῦντος. μή τι οὖν τὸ τῆς ἀντιβάσεως εἶδος, ἕτερον μὲν ἐν τοῖς σφοδροῖς, ἕτερον δὲ ἐν τοῖς πλήρεσιν ὀνομάζουσι. τάχα γὰρ καὶ ὁ Αγαθῖνος τοιοῦτον τι βούλεται. ἀλλ' εἰ οὗτος, ἐχρῆν ἀφαιρῆσαι τοῦτ' αὐτὸ ἡμῖν, καὶ μὴ σφιγγὸς προβάλλειν αἰνίγματα. ἢ βούλονται, μὴ μόνον περὶ τῶν πραγμάτων ἡμᾶς ζητεῖν οὕτω χαλεπῶν ὄντων, ἀλλ' ἐξ ὑπομέτρου τί ποτε λέγουσι σκοπεῖν, καὶ πολλαπλάσιον γε χρόνον εἰς τοῦτ' ἀναλίσκειν, ἢ εἰς αὐτῶν τῶν πραγμάτων τὴν εὕρεσιν; ἴδωμεν οὖν ἤδη καὶ τὴν τοῦ ἀγαθίνου ῥῆσιν καὶ ζητήσωμεν εἰ τὸ τῆς ἀντιβάσεως εἶδος, ἕτερον μὲν ἐν τοῖς σφοδροῖς, ἕτερον δὲ ἐν τοῖς πλήρεσιν εἶναι βούλεται. γράφει οὖν καὶ αὐτὸς ὧδε. παρακολούθει γὰρ ἐν ταῖς ὑπεκκέψεσι πληρότητος, καὶ κενότητος, σφυγμοῦ, τοῦ μὲν πλήρους τεταμένου, καὶ ἐξεριστικὸν δι' ὅλου τὸ πνεῦμα περιστάντος, τοῦ δὲ κενοῦ διαῤῥέον, καὶ ταῖς ἀντιβάσεσιν ἐναφανιζομένον, ὡς ῥήξει τινὸς ὑδατίνης πομφόλυγος ἐοικέναι. τούτῳ μὲν τό γε τοσοῦτον ἤδη χάριν ἴσμεν, ὅτι τε μὴ σφιγγὸς αἰνίγματα προβάλλει, καθάτερ Αρχιγένης τε καὶ πολλοὶ τῶν ἄλλων. εἰ μὲν γὰρ ὀρθῶς ἢ μὴ λέγει κατὰ σχολὴν ἔνεστι σκοπεῖσθαι. τὸ δ' οὖν λεγόμενον αὐτὸ σαφὲς ἐστὶν ἤδη. βούλεται γὰρ τεταμένου, καὶ ἐξεριστικὸν δι' ὅλου τὸ πνεῦμα κατὰ τοὺς πλήρεις ἐμφαίνεσθαι σφυγμούς. ἄῤῥωστον δὲ καὶ καταπίπτον ῥαδίως καὶ μηδεμίαν ἔχον ἀντίβασιν ἐν τοῖς κενοῖς. εἴ τε δὲ τὸ σύμφυτον πνεῦμα καὶ ζωτικὸν τὸ διὰ τῶν σωμάτων, ὡς αὐτοὶ βούλονται τεταμένον, εἴτε τὸ ἀερῶδες τε καὶ ὑλικόν, τὸ ἐν ταῖς εὐρυχωρίαις, οὐ πάνυ μὲν ἡ λέξις ἀφεσαφεῖ, τῇ δ' ὅλῃ τῶν ἀνδρῶν γνώμῃ τεκμαίραιτ' ἄν τις τὸ ζωτικὸν αὐτὸν λέγειν. ἀλλ' εἴτε οὗτος ἢ ἐκεῖνο, τό γε τοσοῦτον παρακλητέον, αὐτόν τε καὶ τοὺς ἀπ' αὐτοῦ μηδέπω δόγματα τοῖς τῆς αἰσθήσεως ἀναμιγνῆναι πάθεσιν, ἀλλ' ὡς ἐμπειρικόν. οὐ γὰρ ἀτιμάζει τὴν ἐμπειρίαν, διαλεχθῆναι πρότερον ἡμῖν ὑπὲρ αὐτῶν τῶν λεγομένων κατὰ τὴν ἁφήν, εἶτ' αὖθις, ὅπως ἐξ αὐτῶν χρὴ διὰ τοῦ λόγου μεταβαίνειν ὠθὶ τὰ δόγματα, διδάξαι. τίνα τοίνυν τὰ τῆς αἰσθήσεως πάθη κατ' αὐτὸν εἰ μεταθείημεν τὸ τοῦ πνεύμονος ὄνομα καὶ πληγὴν εἴποιμεν; ἔσται γὰρ ὁ λόγος τοιοῦτος. ὁ πλήρης σφυγμὸς τεταμένην καὶ ἐξεριστικὴν δι' ὅλου τὴν πληγὴν παρίστησιν. ὁ δὲ κενὸς οἷον διαρέουσαν, καὶ ταῖς ἀντιβάσεσιν ἐμφανιζομένην, ὡς ῥήξει τινὸς ὑδατίνης πομφόλυγος ἐοικέναι. τούτων δὲ οὕτως καλῶς μετειλημμένων μικρὸν ἐπελίξαντες αὐτοῦ τὸ βιβλίον, θεασώμεθα τί λέγει περὶ σφοδροῦ καὶ ἀμυδροῦ σφυγμοῦ. ἔχει δὲ ἡ λέξις οὕτως. διό τι μὲν οὖν σφοδρὸς ἔστι ὁ σφυγμὸς βιαίως κρούων τὴν ἁφήν, καὶ κατὰ τὴν προσάλσιν ἰσχυρῶς αὐτὴν ἀνατρέπων, δῆλον τ' ἐστὶν αὐτόθι, καὶ συμφονεῖται τοῖς πλείστοις, εἶτ' ὑπερφερόν φησί. τῶν ἐναντίων ὠθινενομένων δηλονότι περὶ τὸν ἀμυδρὸν σφυγμόν. ἀμενηνῶς γὰρ καὶ ἐκλύτως πρόσεισι τῇ ἁφῇ. ταῦθ' ὀρθῶς ὁ ἀγαθῖνος, ἀλλ' οὐ μὲν διαφέρει τῶν περὶ τοῦ πλήρους τε καὶ νενοῦ. τὸ μὲν γὰρ ἐξεριστικὴν δι' ὅλου τὴν πληγὴν εἶναι, ταυτόν ἐστι τοῦ βιαίως τε κρούειν τὴν ἁφὴν καὶ ἰσχυρῶς ἀνατρέπειν, εἴρηται δ' αὐτῶν τὸ μὲν, ὠθὶ τοῦ πλήρους. τὸ δὲ ὠθὶ τοῦ σφοδροῦ. τὸ δ' αὖ ταῖς ἀντιβάσεσιν ἀφανίζεσθαι, ταυτόν ἐστι τοῦ ἀμενηνῶς καὶ ἐκλύτως ἐναφανίζεσθαι τῇ ἁφῇ. εἴρηται δὲ τούτων τὸ μὲν πρότερον, ὠθὶ τοῦ κενοῦ. τὸ δὲ δεύτερον ὠθὶ τοῦ ἀμυδροῦ. ἆρ' οὖν ὁ μὲν Αγαθῖνος οὕτως ἐξηγήσατο τὰ τῆς ἁφῆς πάθη, κατά γε τοὺς σφοδροὺς σφυγμοὺς καὶ τοὺς ἀμυδροὺς, ὁ δ' ἀρχιγένης ἑτέρως, οὐ μὴν ἀλλὰ κἀκεῖνος ὠδὶ γράφει. ὥστ' ἐκ τοῦ καθ' ἕνα χωρισμοῦ, γίνεσθαι καθ' ἑαυτὴν τὶς οὖσα ἡ σφοδρότης, ὁ τόνος ὡς εἶπον τῆς τῶν ἀρτηριῶν κινήσεως. εἶθ' ἑξῆς. φαίνεται δὲ καθ' ὅλην τὴν διαστολὴν τὸ τελανὸν τῆς ὁρμῆς, καθὸ καὶ εἰ προσπιέσαμεν τοὺς δακτύλους, στερεωτέρα ὑποπίπτει ἡ πληγή. ταῦτα μὲν οὕτω φανερὰ τὰ περὶ τῶν τῆς ἁφῆς παθῶν, ἐν οἷς οὐκ ἔξομεν ἴδιον πάθος εἰπεῖν τῆς πληρότητος, εἰ μή τι ἄρα καθάπερ τινὸς τῶν οὖν ἔλεγον ὅταν ὠθὶ πλεῖστον ὁ σφυγμὸς ἐξαιρόμενος, ἀντιβατικὸς εἴη. οὗτος δὲ δύο ἐστὶν εἴδη σφυγμῶν, οὐκ ἐν τὸ γὰρ ὠθὶ πλεῖστον ἐξαίρεσθαι, κατὰ μὲν τὰς τρεῖς διαστάσεις γινόμενον, μέγαν ποιεῖ τὸν σφυγμόν. κατὰ δὲ μίαν μόνην, ἢ μακρὸν, ἢ πλατὴν, ἢ ὑψηλόν. τὸ δ' ἀντιβατικὸν εἶναι πάλιν ταυτόν ἐστι τοῦ σφοδρῷ. εἰ δέ τις τὸν μέγαν ἅμα καὶ σφοδρὸν ἑνὶ καλεῖν ὀνόματι, τοῦ τοῦ πλήρους βούλεται, καλείτω. περὶ γὰρ ὀνόματος οὐ διαφερόμεθα. γιγνωσκέτω δ' οὐδεμίαν εἰσάγων ἔξωθεν παρὰ τὰς εἰρημένας διαφορὰς κατὰ νῦν, δύο δὲ καὶ τρεῖς ἐξ αὐτῶν λαμβάνων ἰδίοις ὀνόμασι προσαγορεύειν εἰ βούλοιτο, φθόνος οὐ δὲ εἷς. ἀλλ' ἡμῖν οὐ περὶ ὀνομάτων ἡ ζήτησις, ἀλλὰ περὶ πραγμάτων, ἐν οἷς εἴ τοι πλέον ἔχοι τὶς λέγειν ἡδέως μαθησόμεθα. τὸ μὲν γὰρ ὠθινοεῖσθαι τινὰ διαφορὰν σφυγμῶν, κατὰ τὸ τῆς ἀρτηρίας ἔγχυμα, καλοῦσι γὰρ οὕτως τὸ περιεχόμενον ὑγρὸν ἐν αὐτῇ, κἀγὼ σύμφημι, καὶ δύναμαι νοῆσαι ποτὲ μὲν παχύτερον, ποτὲ δὲ λεπτότερον αὐτό. καὶ αὖθις γλισχρότερον ἢ ὑδατῶδες, ἢ πλέον ἢ ἔλαττον. ἢ ἀερωδέστερον. ἢ ὅπως οὖν ἄλλως ἔχον. καὶ γὰρ πνεῦμα μόνον ἐν αὐταῖς περιεχόμενον νοῶ, καὶ οὗτος ποτὲ μὲν

καθαρὸν

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 87 sur 494

καθαρὸν καὶ αὐθρῶδες, ποτὲ δ' ἄχλυῶδές τε καὶ ὁμιχλῶδες. ἀλλ' ὁ ὄξος νῦν προκειται τῷ ψυδεχομένῳ γνῶναι λαβεῖν, ἀλλὰ πρὸ τῆς ὑπάρξεως αὐτῶν ζητεῖν. τὸ μὲν γὰρ ὑδρογεῖν ταναντία δυνατὸν. τὸ δ' ὑπάρχειν ἅμα ἀδύνατον. αὐτίκα γέ τοι καὶ προειχειν νοοῦμεν τὰς ἀρτηρίας ἅμα καὶ μὴ προειέχειν. ἢ οὐκ ἂν ἐζητοῦμεν ὑπὲρ ὧν μηδὲν ὡμολογοῦμεν. ἀλλ' ὁ ταύτης ἐστὶν ἐν οἷς ζητοῦμεν τὸ προκείμενον εἰς γνῶναι ἐλθεῖν αὐτῶν, ἀλλ' ἀφεστάναι τῷ ὑπάρξιν, οὐδὲ εἷς γάρ ἐστιν. ὃς οὐκ ἂν ὑδρογοίησεν ἐν ταῖς ἀρτηρίαις ἅμα προειχόμενον, ἀλλ' εἰ κατ' ἀλήθειαν ἐν τοῖς κατὰ φύσιν ἔχειν προειχεται ζητοῦμεν. καὶ πολλὰ προὶ αὐτὸ λέγοντας, οἷα καὶ πρὸς τὸν Ἀρχιγένη. καί τοι γ' ἐπὸν διδάσκ διαγνωσόμενον, ματὴν πολλὰ λυροῦσιν, ἐνίοτε ἐπεῖν ἀντικρυς ψεύδεσθαι τὰ ἐρασιτεχνῶν, ἃ δι' ἀπειρίαν ἐμάθομεν, ταῦτα μεταπείθειν ἡμᾶς λόγῳ πρεσβύτερον. ἀλλ' ὀλίγα ἐτόλμησεν ἐπεῖν διαδάνεσθαι τὴν ἀφὴν ἐν ταῖς ἀρτηρίαις ὑγρότητος. ὡς ἐβουλόμην ἂν μοι ὄξος παντὸς μᾶλλον ὑπάρχειν, μὴ ἵνα πράγματα ἔχοιμι λόγῳ ζητῶν ὀρθρεῖν τὸ ἀληθές. τί ποτ' ἔν ἐστιν ὃ βόλεται λέγειν οὐ σαφῶς μι. πλήρης ἐστὶν ὁ σφυγμὸς ὁ τὴν ὑπόπλωσιν ἐν ἀρτηρίας διασεσαγμένην ἐγχύλως ἐμφαίνων. πότερον ὡς αὐτῆς ἐν ἁφῆς ὄξος γνωρίσαι δυναμένης, ἢ τάυτης μὲν παρούσης ὃ δὴ πάσχει, τοῦ πάθους δὲ ἀφορμὴν συλλογισμὸν, πῶς ἐνδεχεται ἐν ἀρτηριῶν διαθέσεως, παρασχεῖν δυναμένου. ἀλλ' εἰ ὄξος λέγουσιν ὡς ἔστιν ἐκ τῶν κατὰ τὴν ἁφὴν παθῶν συλλογίζεσθαί τι περὶ τῶν κατὰ τὰς ἀρτηρίας διαθέσεων, οὐκ ἀντιλέγω. καὶ γὰρ πραξαγόρας αὐτὸ ποιεῖ καὶ ἡρόφιλος καὶ πάντες ὀλίγου δεῖν. οἱ μὲν μᾶλλον. οἱ δὲ ἧττον, καὶ οἱ μὲν χεῖρον. οἱ δὲ βέλτιον. τὸ μὲν γε τοῦ πραξαγόρου. καὶ θαυμαστὸν ἴσως δοι φανεῖται. μὴ δὲ γὰρ προειχεσθαι λέγω ἐν ἀρτηρίας οὐς χυμοὺς, ὁμως ἐκ τῶν σφυγμῶν, ἰδέας τινὰς αὐτῶν ἀναλογίζεσθαι πειρᾶται. ἀλλ' ὁ δ' ἁμῶς πάσθος ἀιδήσεως ἐπεισάγει κοινόν. ἄνιγμα γὰρ ἂν οὕτως τὸν λόγον ποιήσειεν, ἵνα τις ἀναγινώσκων, εἶτα μὴ νοῇ οἱντιά τι βύθιον ἐγκεκρύφθαι τοῦ λόγου καὶ θαυμαστόν. εἶτα κατατρίβηται, δ' πλασθὴ ζητῶν μὲν δὴ παντός. εὑρίσκων δ' οὐδέν. πῶς γὰρ ἂν εὕροιτο μηδ' ὅλως φαινόμενον. ἄνθρωπε μὴ μόνον εἰ βούλει χυμῶν ἰδέας διαγίνωσκε ταῖς τῶν σφυγμῶν διαφοραῖς, ἀλλὰ καὶ τὰ ἐν ψυχῆς ἤθη καθάπερ ἱπποκράτης ἐπειχειρεῖ. μόνον μοι φίλτατε τὰ ἐν αἰσθήσεως πάθη, καὶ μάθ' ἅ μηδ' ὅλως πάσχει καταψεύδεσθαι τόλμα, καὶ μήτ' ἐξ ἑνὸς παθήματος ἄλλο τἀλλοῖον σφυγμὸν γνωρίζειν ἐπαγγέλλου. ὅτι τὶς σφυγμὸς πολὺ τὸ ἀντιβατικὸν ἔχων. ὡς εἰ καὶ θλίβοις τὴν ἀρτηρίαν μὴ κινηθεῖσα πῶς ἐν χειρός. ἵνα ὄξον φύλαξῃ καλὸν ὅτι βόλει. τὸ δὲ νῦν μὲν αὐτὸν σφοδρὸν, νῦν ἢ πλῆρη καλεῖν, ἂν εἷς ἴσως ἄλλό τι, ἐν τοῦ πλῆθει τ' ὀνομάτων οἰεσθ πολλὰ ποιεῖν πράγματα, δίχως ἄζηλος. ἔχω καγὼ γνωίσματα δι' ἃ σφυγμῶν ἐν χυμῶν ἰδέας ἐν παθῶν ψυχῆς, ἀλλ' ἀφ' ὧν ἔστιν ἐμπεδοῦν ἀιδήτων παθῶν ἅπαντα διαγινώσκειν πειρῶμαι, μηδ' ἀμοῦ μητ' ἀρκεκειμενισμένον σφυγμὸν λέγω, μήτε κάφον, μήτε βαρὺν μήτε ὑγροφανῆ, μήτε πνευματώδη μήτε διακνωνισμένον, μήτε διατενῆ, μήτε μουλὸν, ἢ στενὸν, ἢ κατανενυγμένον, ἢ πονιλελωσμένον, ἢ ῥοπαλώδη, μήτ' ἄλλο μηδὲν, ὧν ὅτοι λογικαῖς ὑπνοίαις ἀναπλάττουσιν, ὀκ ἀιδήτοις πάθεσι διαγινώσκουσιν. ὥς εἰ δ' ἦ καὶ τὰ ἐν ἀκοῆς μόνης ἀιδητὰ μεταφέρει, ὑδὲ τὴν ἁφὴν. ἐδὲν γὰρ ἐστιν ἄλλο, ὁ τρίζοντας λέγειν καὶ ψοφοῦντας καὶ βομβοῦντας σφυγμούς, ἢ πρὸς ἐν ἁφῆς ὡς ἀκοῆς διαλέγεσθαι; εἶθ' ὅτως ἀπιστεῖσθαι ποιοῦσι δ' πλασθὴ καὶ αὐτὰ τἀληθῆ. καί τις τῶν νῦν αὐτὸν ἐχ ὁ φαυλότατος, πρὸ τῆς ἀλήσιν ἔφησεν εἶν τὴν τῶν σφυγμῶν θεωρίαν, ὀρθώτατα λέγων, ἐν πολλὰς μὲν φωνὰς τέτχεσθαι, μηδὲν δὲ χρησὸν διλάσκειν. ἀλλ' εἰ μὴ κὰν ταῖς διαλέξεσιν, ἐν γοῦν τοῖς συγγράμμασιν ἐχθὲς αὐδ' ἐξ παθῶν, ὅ, πρ ὁ ἰωμιὸς ἔφη; λαλεῖν ἄεισος, ἀδυνατώτατος λέγειν. εἶτα γράφεις μοι πλῆρη σφυγμὸν, μή δ' ἄχρι τοσούτου ἀφῶς ἐξεπεῖν δυνάμενον ὁ φαντάζειν. πότερα τὸ χιτῶνος ἐν ἀρτηρίας ποιότητα δηλοῖς ἢ τὸ ποσὸν ἐν ἐγκεχυμένης οὐσίας αὐτῆς, ἢ τ' τὸ ποιόν, ἢ πνεύματος, ἢ καὶ ἐν θερμασίας δυνάμιν τινα, ἢ ποιότητα. πάντα γὰρ ταῦτα δοκεῖς μοι λέγειν ἀδιαρθρώτως τε καὶ συγκεχυμένως. ἢ τί ποι βόλεται πληρότητος οἶνος μνημονεύειν, ὡς ἐν παραδείγματι. τί δ' ἐν τῶν πρὶ πληρότητος λόγων ποτὲ μὲν λέγεις αὐτοῖς ὀνόμασιν ὅτως. ὥς τε καὶ εἴ τις τὸν πλῆρη μὴ κατ' οὐσίαν, ἀλλὰ κατ' ἐν δύναμιν θεωρεῖν βόλοιτο. καὶ μετ' ὀλίγου. τάχα δὲ τὸ ἐν δυνάμει παρῶσες ὑδὲ τῶν πιστὸν τὸν πλῆρη σφυγμὸν χαρακτηρίζει. ὀνόματα ὄντα ἐν ἁυσκρασίας τοῦ πνεύματος. καὶ ὃν τρόπον διαγευσάμενοι οἴνου τὸν πλῆρη διαγινώσκουσιν οἱ οἰνογεῦσται, οὕτω καὶ οἱ σφυγμῶν ἔμπειροι τ' πλήρη κατὰ τὸ παρῶσες ἐν δυνάμεως, κἂν μεσόκενον, ἢ διαθεωρῶσιν. ἐν τότοις μὲν ὑδὲ τὴν δυνάμιν ἀναφέρων τὸν πλῆρη σφυγμὸν δοκεῖ μοι νοεῖν. ἐν αὐτοῖς ἢ τοῖς περὶ ἐν πληρότητος λόγοις πάνθ' ὁμῶς συγχεῖ καὶ ταράττει. μάθοι δ' ἂν τις ἐξ αὐτῆς ἐν λέξεως ἐχούσης οὕτως. ὃν τρόπον δὲ καὶ ἐρίων ἡ σύστασις αὐτόθεν ὅτι λιπῆ, καθ' ὑ κενὰ καὶ πλήρη λέγεται, καὶ οἶνου ποιότης, ὁ προστάττουσα, ἀλλ' αὐτόθι παρακειμένη τῇ γλώττῃ διαγινώσκεται. καθ' ὑ οὖν πλήρεις καὶ κενοὺς οἴνου διαχωρίζομεν. καὶ τοῦ σώματος δ' αὐτοῦ τε κενοῦ καὶ πλήρους αὐτιλαμβανόμεθα. ἐν τε τοῖς κατὰ φύσιν τὴν ἔχειν ἄλλον ἄλλω. ἐν τε ταῖς παρὰ φύσιν διαθέσεσιν, καὶ ὑδὲ φλεγμονῆς, οἰδήματος, ἐμφυσήματος. ὅτων ἡ τὰς ἀγυμνάστους σάρκας τῶν γεγυμνασμένων διακρίνομεν. ἐν τούτῳ πάλιν τῇ ῥήσει τὰ μὲν περὶ τοῦ οἴνου λεγόμενα τῇ κατὰ τὴν δυναμιν πληρότητι δέξειεν ἂν ὁ μολυγεῖν. τὰ δὲ περὶ φλεγμονῆς καὶ οἰδήματος τῇ κατὰ τὸ σῶμα ἐν ἀρτηρίας αὐτό. ὃ δὲ τῶν ἐρίων παράδειγμα, ἐγὼ μὲν ὁ δ' ἐννοῶ τὴν ἀρχὴν. ὁ δὲ γὰρ ἥλικα τινὸς λέγοντος πλῆρη καὶ κενὸν ὄριον, ἵν' ὄρωμαι πῶς λέγ. καί τοι τὰ περὶ φλεγμονῆς καὶ οἰδήματος οὐ δ' αὐτὰ πρὸς τινα ἤκουσα λεγόμενα, πλὴν Ἀρχιγένους. ἀλλ' ἐν τούτοις ὠνοῆσαι δυνάμαι τί βούλεται δ' ἡλικῶν αὐτῶν τὸ πλῆρη ὄνομα. τὸ γὰρ ἐναντίον ἐν χάυνω πλῆρη καλεῖται. κενὰ δ' ἔ τινα καὶ πλήρη σώματα, καὶ τὰ ἐν ἀδροπυοδυσκληρίαν καὶ ἐν παιδοτριβῶν ἤκουσα λεγόντων, ἀλλ' οὐκ ἀνάλογον οἰδήμασι καὶ φλεγμονῆς, ἀλλ' ὥσπερ καὶ κυελώτατα καὶ σκληθέστατα λέγεται παραπλησίως τοῖς ἀγγείοις τοῖς πλήρεσι, τε καὶ κενοῖς ὠνόμαζον, καὶ ἀκλαμβάνοντές γε τοῦ σπέρματος ἐπειτα ὧν το, διαγινώσκοντες ἐ χαλαρὸν ἢ ἐσφιγμένον εἶν, ἐν ὅτως ἐκ μὲν τοῦ χαλαροῦ τὸ κενὸν, ἐκ δὲ τοῦ πυκνοτέρου, τὸ πλῆρες ἐτεκμαίροντο. καὶ πολλάκις γε τὸν ἰχνότερον τοῦ ἀδροτέρου,

πλήρες ὄρον

πληρέστερον ἐκάλουν, ἀπὸ τῆς τοιαύτης διαγνώσεως. ταῦτα ἀναγκαζόμεθα ληρεῖν, διὰ τὸ τοὺς πρώτους τὰ μηδὲν ὡς ἔπος ληρήσαντες. ὥσπερ γὰρ ὀνομάτων ἐξήγησιν γράφων ὁ Ἀρχιγένης, οὐ πράγματα διδάσκειν ὠθεῖ χειρῶν, συνεφόρησεν εἰς ταὐτὸν πολλὰ παραδείγματά τε καὶ ὀνόματα, μή τε πάντα καθ' ἑνὸς πράγματος ἁρμόττειν δυνάμενα, μή τε συνήθως τοῖς ἕλλησιν ὠνομασμένα, παρά τισι γὰρ ἑλλήνων ἢ σρία πλήρη καὶ κενὰ δυνατὸν εὑρεῖν γεγραμμένα. δεῖ τοίνυν ἡμᾶς ἐπί τε τοὺς τῶν οἴνων καπήλους καὶ τὰς γυναῖκας ἰέναι, καὶ πυνθάνεσθαι τί βούλονται δηλοῦν, καὶ ποῦ τοῦτο χρήσιμον. ἐνὶ γὰρ εἴπερ ὅλως ἐπεθύμει χρήσασθαι τοῦ τοῦ πλήρους ὀνόματι, μηνύσαντα τὸ πρᾶγμα σαφῶς καθ' οὗ τοὔνομα ἐπέφερε, μηδὲν ἔτι παραδειγμάτων δεηθῆναι. ἀλλὰ περὶ τῆς κατὰ τοὔνομα χρήσεως, κἂν τοῦ τρίτῳ τῆς περὶ τῶν σφυγμῶν διαφορᾶς αὐτάρκως εἴρηται καὶ νῦν ἐμνήσθημεν αὐτοῦ χάριν τοῦ δεῖξαι τὸ τεταραγμένον ἐν τῇ διδασκαλίᾳ τοῦ Ἀρχιγένους. οὐ γὰρ ἐχρῆν περιπλέκειν μακρὰ, καὶ λαλεῖν ἀπέραντα, δι' ὀλίγων ἐπῶν δυναμένης τῆς διδασκαλίας ῥᾳδίως προϊέναι τὴν τῇ τῆς τρόπον. εἰρήσεται γὰρ ὑφ' ἡμῶν διὰ βραχέων σαφῶς, ἃ διὰ πολλῶν ἐκεῖνος ἀσαφῶς ἔγραψεν. ἔστι τὶ γένος σφυγμῶν αὐτὸ τὸ σῶμα τῆς ἀρτηρίας ὡς ἔχει συστάσεως ἐνδυκνύμενον. ἕτερον δὲ τῆς ἐν αὐτῇ περιεχομένης οὐσίας ποιότητα. καὶ τρίτον τοῦ συμφύτου πνεύματος αὐτῆς τὴν δύναμιν γνωρίζον. ὄνομα δὲ τοῖς τρισὶ τούτοις γένεσι, πληρότης. ταῦτα γράψας καὶ σαφῶς ἂν ἔγραψε καὶ ταχέως. καὶ οὐκ ἂν νῦν ἡμᾶς ἐπέτριβε, ζητοῦντας πρότερον μέν τι λέγει, δεύτερον δὲ εἰ κακῶς λέγει, ἀλλ' ἄντικρυς ἂν ὃ λέγει γνῶντες, ὠθεῖ τὸ ζητεῖν εἰ κακῶς λέγει μεταβαίνομεν, ὧ δέ πως πάλιν καὶ αὐτοὶ τὸν λόγον ποιούμενοι. τούτων τῶν τριῶν γενῶν ὧ Ἀρχίγενες τὸ μὲν πρῶτον ἔστι τε καὶ διαγινώσκεται τὸ κατὰ τὴν σύστασιν τῆς ἀρτηρίας, οὐ μὴν πληρότης γε πρὸς τῶν ἑλλήνων ὀνομάζεται, καθάπερ ἐδείξαμεν ἐν τοῦ τρίτῳ περὶ τῆς τῶν σφυγμῶν διαφορᾶς. ἐν ἐκείνοις γὰρ περὶ ὀνομάτων ἦν ἡμῖν ὁ λόγος. ἐνταυθοῖ δὲ, οὐ γὰρ ἔτι περὶ ὀνομάτων, ἀλλὰ περὶ διαγνώσεως αὐτῶν τῶν σφυγμῶν σκοπούμεθα, σὺ μὲν ὡς ἐθέλεις, αὐτὸ κάλει. συγχωρήσεις δ' ἡμῖν τοῖς τῶν ἑλλήνων ὀνόμασι χρῆσθαι, σκληρόν τέ τινα σφυγμὸν ὀνομάζουσι, καὶ μαλακὸν ἕτερον ἐναντίον αὐτῷ, καί τινα τρίτον ἀμφοῖν μεταξὺ τὸν σύμμετρόν τε καὶ κατὰ φύσιν ἐν τῇ συστάσει τοῦ τῆς ἀρτηρίας σώματος. οὗτον οὖν ὃν σὺ μὲν πλήρη καλεῖς, ἐγὼ δὲ σκληρὸν, τίσιν αἰσθητοῖς παθήμασιν τῆς ἁφῆς γνωριοῦμεν. ὅτι μὲν γὰρ ἀναγκαῖον ἐστὶν ἤ τοι πεπιλημένον εἶναι τὸ σῶμα τῆς ἀρτηρίας ἢ χαῦνον, οὐδεὶς ἀμφισβητεῖ. ἀλλ' οὐ τοῦτο νῦν ἐστὶ τὸ προκείμενον, ἀλλὰ πῶς αὐτὸ διαγνωσόμεθα. τοῦτ' οὖν ἡμᾶς δίδαξον σαφῶς, μὴ περιπλέκων. ἀλλ' οὐ ποιεῖς οὐ μὴν ἡμεῖς γε οἱ μεμφόμεθα τούτου χάριν, οὐ δ' ὅτι σαφῶς ἐξηγησάμεθα τὸ πάθημα τῆς ἁφῆς, ἕτερον μὲν ὠθεῖ τοῖς σφοδροῖς, ἕτερον δὲ ὠθεῖ τούτοις τοῖς σφυγμοῖς γιγνόμενον, ἀγαλλόμεθα. δι' ὑμᾶς γὰρ τοὺς πρεσβυτέρους τοὺς περὶ τούτων ὠθεμελῶς ζητήσαντας, ἐξεύρηταί τι καὶ πρὸς ἡμῶν χρηστὸν, οὐκ ἂν ἄλλως εὑρεθὲν, εἰ μὴ πρὸς ἡμῶν τῶν προπονησάντων ἐν αὐτοῖς καὶ προκαμόντων ἐγυμνάσθημεν. οὗτον μὴ δὴ καταλελείφθω τοῦ θλιπτικῷ τῆς ἁφῆς παθήματι, διαγινωσκόμενον τε καὶ δικρινόμενον τοῦ σφοδροῦ. τὸ γὰρ αὐατρεπτικόν τε καὶ ἀντιβατικὸν ἀπεδώκαμεν ἐκείνῳ ζητήσωμεν δ' ἐξῆς ἐκείνω τὰ λοιπὰ δύο γένη τῆς πληρότητος. πρότερον γε τὸ κατ' αὐτὸ τὸ πνεῦμα νοούμενον, ὡς φατὲ τὶ δὴ πότ' ἐστὶν, οὐ δ' αὐτὸ μὴ οἷόν τε ἐννοῆσαι, καθάπερ καὶ τοῦτ' ἐν τοῦ τρίτῳ περὶ τῆς τῶν σφυγμῶν διαφορᾶς ἐδείξαμεν. ἀλλ' ἐπειδὴ νῦν συντέμνειν βούλομαι τὸν λόγον ἐν ἐκείνοις διὰ μακροτέρων εἰρημένων, ἤ τοι τὸ τῆς θερμασίας πυρῶδες, ἢ τὸν τόνον αὐτοῦ λέγετε. ταῦτα γὰρ ἐκ τῶν ῥήσεων ὑμῶν ὥσπερ λοξίου χρησμῶν ἐξευρεῖν ἠδυνήθημεν. νῦν οὖν ἤδη καιρὸς διδάσκειν αὐτῶν τὰ γνωρίσματα. τοῦ μὲν δὴ τόνου μεμαθήκαμέν τε καὶ χάριν ἴσμεν. ἀντιβαίνει μὲν γὰρ θλιβόντων ὡς φατὲ καὶ ἀνατρέπει τὴν ἁφήν. τοῦ δὲ τῆς θερμασίας τοῦ πυρώδους τούτου, μόνου δεόμεθα μαθεῖν, ἔστ' ἄν γε τὴν ἁφὴν αἰσθανομένην ἔχωμεν. οὐ γὰρ ἀγνοήσομεν οἶμαι ψαύσαντες οὐ δὲ μίαν ἐν θερμότητι διαφοράν. ἐκεῖνο δὲ θαυμάζομεν ἡμῶν, εἰ τὰ τοιαῦτα ἐν ταῖς τῶν σφυγμῶν διαφοραῖς, ἀλλ' οὐκ ἐν ταῖς τῶν πυρετῶν καταριθμεῖσθε. ἀλλ' ἔα, τό γε νῦν, περὶ τούτου μηδὲν διαφερόμεθα. τοῦ δὲ λοιποῦ γένους τῆς πληρότητος ὠθεσκεψώμεθα τὴν διάγνωσιν. οὐ δὲ γὰρ ἐν τούτῳ διὰ τῆς ἁφῆς οὐδὲν ἔχω συμβαλεῖν, οὔτ' εἰς πνεῦμα μόνον ἐν ταῖς ἀρτηρίαις, οὔτ' εἰ καὶ χυμοὶ περιέχονται τινές. ἀλλ' οὐ δὲ δύναμαι ὡς καὶ πρόσθεν ἔφην, ἐπειδὰν πρὸς ἐρασίστρατον ἢ πραξαγόραν ἀντιλέγητε, περὶ τοῦ τῆς ἀρτηρίας αἷμα περιέχειν, τὴν αἴσθησιν ὠθεκαλεῖσθαι μάρτυρα πάντως ἂν αὐτὸ ποιήσας εἴπερ ἐναργὲς ἦν, ἀλλ' οὐ δ' αὐτῶν ἐκείνων οὐδεὶς ὠθεῖ τὴν αἴσθησιν μάρτυρα. κατέφυγεν, ὡς εἶεν αἱ ἀρτηρίαι χυμῶν μὲν καθαραὶ, πνεύμονος δ' ὄργανα μόνου δεόντως. ἁφὴ γὰρ οὔτ' εἰ πνεῦμα περιέχεται μόνον ὑπὸ τῶν ἀρτηριῶν, οὔτ' εἰ καὶ χυμοὶ τινὲς ἐνδείξασθαι δύναται. καταλιπόντες οὖν ἤδη τὴν μάταιαν αὐτῶν φλυαρίαν, αὐτοὶ κατὰ μόνας εἴπωμεν, ὡς οὐκ ἔστιν ἅμα οὐδὲν τῶν αἰσθήσεων διαγνῶναι τὸ περιεχόμενον ἐν ταῖς ἀρτηρίαις αἷμα πόσον εἶθ' ὁποῖόν τί ἐστι. πρῶτον μὲν γὰρ ἀναμνήσομεν ἡμᾶς αὐτοὺς, ὡς οὐ δὲ κατὰ τοὺς ὑδέρους ὑγρὸν, ἢ πνεῦμα περιεχόμενον ἐν τοῖς κατὰ γαστέρα χωρίοις ἁφῇ διαγνῶναι δυνάμεθα, μὴ βοθρουμένου γε πιέζοντων τοῦ δέρματος. ὥσπερ οὖν οὐδὲ φαίνεται βοθρούμενον πολλάκις, ἐν τε τοῖς ἀσκίταις τοῖς ἀκριβέσι, καὶ τοῖς τυμπανίαις καλουμένοις ὑδέροις. ἀλλ' ἀναγκαζόμεθα πρὸς τὴν ἀκριβῆ διάγνωσιν πρῶτον μὴ κρούειν τὸ ὠθεγάστριον, ἵνα γνῶμεν εἰ οἷον τύμπανον ἐπειχεῖ. δεύτερον δὲ καὶ μεταχρηματίζειν καὶ μεταβάλλειν ὠθεῖ τὰς πλευρὰς τὸν ἄνθρωπον, ὑπὲρ τοῦ κλύδωνος αἰσθέσθαι τινός. καὶ ἡμῖν ὁ μὲν τυμπανώδης ψόφος, πνεύματος σημεῖον ἐστίν. ὁ δὲ κλύδων, ὑγρότητος. τῇ δ' ἁφῇ μόνῃ κατὰ τὴν ὠθεβολὴν, τὸ τεταμένον ὠθεγάστριον οὐκ ἔστι διαγνῶναι, πότερον ἐξ ἀέρος, ἢ ὕδατος τοῦτο πέπονθε. καί τοι συντέτηκεν ὠθεῖ τούτων τό τε δέρμα, καὶ πᾶν εἴτι σαρκῶδες ὠθεῖ τοῦ περιτοναίου, καὶ πολύδερμον ἦν, διά τε τὴν λεπτότητα τῶν περικειμένων, καὶ τὸ πλῆθος τε περιεχομένης οὐσίας, τεκμαίρεσθαι διά τε ἁφῆς, εἴθ' ὑγρὸν, εἴ τε πνεῦμα τὸ περιεχόμενον ἐστι, ἀλλ' ὅμως οὐδ' ὠθεῖ τούτων ἀσφαλὲς ἁφῇ μόνῃ πιστεύειν. πῶς οὖν ὠθεῖ τῆς ἀρτηρίας, οὕτω μὲν παχὺν ἐχούσης χιτῶνα, ὡς ἑξαπλάσιον εἶναι τοῦ περιτοναίου, δέρματος δ' ἱκανῶς παχέος ὠθεκειμένου πολλάκις, οὐ γὰρ δὴ πάντας τε τοὺς νοσοῦντας φθινώδεις ὠθεσκοπούμεθα καὶ

τρίτου πρὸς

πρώτου πωσιόντος τῆ δι' κινήσεως, ὁ μικρὰν ὁ δ' αὐτῆ δυώαμιν εἰς τὸ συγχεῖσθαι μὲν τῷ διάγνωσιν ἔχοντος αἰσόμεθά τι διὰ δι' ἀφῆς ἀκριβές. καί τοι πῶς τὸ συγχυθῆναι πρὸς τὸ ὑπομκείμενον. εἰρηκὼ τὸ διὰ παντὸς γ' κινήσει τῷ ἀρτηρείαν εἶν. πόθεν οὖν γνῶναι δυνατὸν ἢ ποσότητα τῆ προειρημένου χυμοῦ ἡμῖν τὰς ἀρτηρίας, ἢ ποιότητα; ὅσῃ μὲν γὰρ μεγέθει τῆ σφυγμοῦ τὸ πλῆθος δι' προειρημένης οὐσίας γνωρίζομεν, ἀλλ' ὁ παντως ὑγροῦ ἐὰν χυμοῦ αὐτῷ γνῶθεν διαγινώσκομεν, τῇ δὲ σκληρότητι, τῷ σύστασιν τῆ δι' ἀρτηρίας σώματος. τὸ δ' αὐτὸ βαπτὸν πληγῆς, ὁ πάχος οὐσίας σημεῖον, ἀλλὰ δι' ῥώμης τῆ ζωτικῆ τόνε. καὶ γὰρ ἂν καὶ γυλοῦ εἴη παχεῖαν ὅτως ταῖς κοιλότησι τῶν ἀρτηριῶν ὑπολαμβάνειν ὑγρότητα προϊεχεσθαι ποτὲ, ὡς θλιβόντων αὐτὰ βαίνειν. εἰ γὰρ καὶ βορβορῶδες εἴη ῥᾳδίως εἶναι θλιβόντων, εἰ μή τε λίθος καὶ ψάμμος γ' ταῖς ἀρτηρίαις προϊεχεσθαι νομίζουσιν. ὅτως γὰρ μόνως τὸ πάχος δι' οὐσίας αὐτὸ δείκνυται θλίβουσιν, ἀλλως ἢ δι' ἀμῶς. ἐβουλόμην δ' ἂν ἀσκὸν πλήρωσας ὑγρᾶς οὐσίας, τοῖς ὅτως ἀκριβῶς ἐπαγγελλομένοις τῷ ἀφῇ, ὡς τῷ ἀληθειαν αὐτῷ ὑποφαίνεσθαι πάχειν, εἰς διάγνωσιν ὁποῖα τίς ὅτιν ἡ προϊεχομένη κατ' αὐτὸν οὐσία. μόνον γὰρ ἐκ ἂν διακείναιεν ὕδωρ λεπτὸν οἶνος παχέως. ἀλλ' ὁ δι' ἐστ' ἀσκῶν, ὁ μὴ εἴη πλῆρης ὑγρᾶς πλέως, ὁ ἢ ἀέρος, ὁ δ' ὅτως διαγνώσοντα. μόνοι γὰρ οἱ κλύζοντες τε καὶ φοφοὶ δυνατοὶ διακείνειν εἰσὶν, ὁποῖον ἢ τὸ προϊεχόμενόν ὅτι. ἢ ἢ διὰ τ' ἀφῆς αἴσθησιν ὁμοίας ἡμῖν πᾶν. ὁ μὲν ὁ δ' οἱ κλύζοντες τὰς ποιότητας τῶν ὑγρῶν οἷοι τε δηλῶν, ἀλλ' αὐτὸ ὅτορ μόνον τὸ κοινὸν, ὅτι ὑγρόν τὸ προϊεχόμενον, οὐ ὁ πνεῦμα. καὶ ζι πῶς ἂν τις πεισθείσῃ, ζις ὁ δ' ἑνὸς χιτῶνος τ' ἡμῖν τ' ἀσκὸν μὴ δυνάμενοις διαγνῶναι τῆ προϊεχομένου τῷ ποιότητα, δυνατοῖς εἶν διά τε δ' ἑρματος, ὃ κῆλον, ἢ κατ' ἀσκὸν παχέως, καὶ ὑμένων τ' ὀλάχιστον δυοῖν, οὐ χιτώνων δ' ἀνάγκης δυοῖν, τῷ γ' τὸ δ

μᾶλλον ἢ πληρότητα, καὶ οὐ τοῦτο φημὶ νῦν ὡς τοῦ πλήθει γέγραφεν Ἡρόφιλος, ἀντὶ τοῦ πυκνότητα, γελοῖος γὰρ ἂν εἴην ὁμοίως ἐκείνοις ἐξηγητὴς εἰ τοῦτο λέγοιμι, ἀλλὰ ὅτι ῥᾶον ἐστὶν καὶ πυκνότητα καὶ σκληρότητα καὶ πάντα μᾶλλον ἢ τὴν πληρότητα δεῖξαι δηλούμενα. ἐγὼ δὲ τὶ μὲν δηλοῖ τὸ πλήθει παρ' ἡροφίλῳ, δι' ἑτέρων οἶμαι σαφῶς ἐξηγήσασθαι, νῦν δὲ ὅτι οὐ δηλοῖ πληρότητι. πῶς οὖν ἀπαλείκνυμεν αὐτὸ; πρῶτον μὲν ὑπὲρ ἐρῶν εὐθὺς φησὶν ὡδί. γράψω γὰρ τῇ ῥήσιν ὅλην, ἵνα μᾶλλον θαυμάσῃς τῇ ἄνοιαν τῶν ἀνθρώπων, πληρότητι τὸ πλήθει νομιζόντων λέγεσθαι. καθ' ὅλου μὲν οὖν δοκεῖ διαφέρειν σφυγμὸς σφυγμοῦ πλήθει, μεγέθει, τάχει, σφοδρότητι, ῥυθμῷ. ἐκ τῆς κατὰ ταῦτα διαφέρειν φανερὸς γίνεται ἐνίοτε ὅτε οἰκεῖος καὶ οὐκ οἰκεῖος φαίνεται δὲ διαφέρειν καὶ ὑπὲρ γινώσκεσθαι καθόλου μὲν ἕτερος ἑτέρου σφυγμὸς, ὡς εἴρηται, ῥυθμῷ, μεγέθει, τάχει, σφοδρότητι. εἰ δὲ ἐν τοῦ αὐτῷ ῥυθμῷ φαίνεται διαφέρειν ἑτέρος ἑτέρου σφυγμὸς σφυγμοῦ, τάχει, μεγέθει, σφοδρότητι, τίνα βούλει πιστότερον ἡροφίλου λαβεῖν μάρτυρα τῇ ἡροφίλου γνώμης. φαίνετο φησὶν ἕτερος ἑτέρου διαφέρειν σφυγμὸς, ὥσπερ εἴρηται, ῥυθμῷ, μεγέθει, τάχει, σφοδρότητι. πῶς οὖν εἴπερ ὅλως διαφοράν τινα σφυγμῶν τὸ πλήθει δηλοῖ, παρέλιπεν αὐτὴν νῦν, ἐπαναλαμβάνων τὸν λόγον οὐκ ἁπλῶς οὐ δ' ἀργῶς, ἀλλὰ μετὰ τοῦ προσθῆναι, ὡς εἴρηται. πῶς δὲ τοῦ ἐν τ' αὐτῷ ῥυθμῷ σφυγμοὺς φησί, τάχει, καὶ μεγέθει καὶ σφοδρότητι διαφέρειν. πῶς δ' ἐφεξῆς τὰς καθ' ἡλικίαν διαφορὰς ἐκτιθεμένους, ταῖς μὲν ἄλλαις διορίζει τοὺς σφυγμοὺς, παρέλιπε δὲ τὴν πληρότητα. καὶ κατὰ τὰ πάθη δὲ καὶ τὰς ὥρας καὶ τὰ ὑπνηδεύματα καὶ τἆλλα πάντα διαρίζων τοὺς σφυγμοὺς, τῶν μὲν ἄλλων πασῶν ἀεὶ μνημονεύῃ διαφορῶν, τῆς πληρότητος δ' οὐδαμοῦ. καὶ τὸ μεῖζον, αὐτὴν ταύτην τὴν λέξιν σχεδὸν καθ' ἕκαστον αὐτῶν προσγράφων, οὐδαμοῦ τὸ πλήθει προσέθηκεν, ἀλλ' ἐν τοῦ. α. βιβλίῳ μόνον οὐκ ἐν τοῖς ἅπασι λόγοις, οὐκ ἂν παραλιπὼν εἴπερ ὄνομα διαφορᾶς ἦν σφυγμῶν. ταῦθ' ὥσπερ ὑπὲρ τομὴ τῶν εἰρημένων ἡμῖν ἐν τοῖς περὶ τῆς καθ' ἡρόφιλον ἐν τοῖς σφυγμοῖς διαφορᾶς ἔστω λελεγμένα. δι' ἐκείνων γὰρ ὑπὲρ πλέον ἐξηγησάμεθα τὴν ἡροφίλου τῶν κατὰ σφυγμοὺς ὀνομάτων συνήθειαν. ἤδη τοιγαροῦν καταπαύσω τὸν περὶ τῆς διαγνώσεως τῶν σφυγμῶν λόγον. ὅσα γὰρ ἢ περὶ τῆς διαστρόφου θέσεως τῶν ἀρτηριῶν, ἢ περί τινος ἄλλου τῶν κατὰ μέρος εἰς τόν δὲ τὸν λόγον ἀνεβαλλόμην, ταῦτ' ἐν ταῖς ἐχομέναις δύο πραγματείαις εἰρήσεται τῇ τε περὶ τῶν ἐν σφυγμοῖς αἰτίων, κἂν τῇ δι' αὐτῶν προγνώσει, τεττάρων ἑκατέρα βιβλίων ἐσομένη.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ

ΕΝ ΤΟΙΣ ΣΦΥΓΜΟΙΣ ΑΙΤΙΩΝ

ΛΟΓΟΣ. α.



Τῶν τοῦ σφυγμοὺς τρεπόντων αἰτίων, τὰ μὲν τῆς γενέσεως αὐτῶν ἐστιν αἴτια, τὰ δὲ, τῆς ἀλλοιώσεως μόνον. τῆς γενέσεως μὲν ἥτε χρεία δι' ἣν γίνονται, καὶ ἡ δύναμις ὑφ' ἧς, καὶ τὰ ὄργανα δι' ὧν διάτεινον. τῆς δ' ἀλλοιώσεως τὰ λοιπὰ πάντα, τά τε προηγούμενα καλούμενα, καὶ τὰ τούτων ἔτι τὰ προκατάρχοντα. τρίττον γὰρ δὴ τὸ γένος τῶν αἰτίων, οὐκ ἐν σφυγμοῖς μόνον, ἀλλὰ κἂν τοῖς ἄλλοις ἅπασιν, ἐν μὲν τὸ πρῶτον, τε καὶ κυριώτατον. ὃ δὴ καὶ συνεκτικὸν καλοῦσιν, ἀπὸ τοῦ συνέχειν αὐτῶν τὴν οὐσίαν ὠνομασμένον, ὅπερ ὡς ἔμπροσθεν ἐῤῥέθη γενέσεως αἴτιον. τὰ δ' ἄλλα δύο γένη τοῦ μὲν γίνεσθαι τοὺς σφυγμοὺς ἀναίτια. τοῦ δὲ γεγενημένους τρέπειν, αἴτια. πάχος γοῦν χυμῶν, ἢ πλῆθος, ἢ γλισχρότης, ἢ δριμύτης ποιεῖν μὲν οὐ δύνανται σφυγμοὺς, ἀλλοιοῦν δὲ δύνανται. οὕτω δὲ καὶ ψυχρὸν λουτρὸν ἢ θερμὸν, καὶ χειμὼν, καὶ θέρος, καὶ ὅλως κρύος, καὶ θάλπος, ἀλλοιώσεως μὲν σφυγμῶν αἴτια, γεννήσεως δ' οὐχ ἔστι. ταυτὶ μὲν οὖν τὰ νῦν εἰρημένα προκαταρκτικὰ λέγεται. τὰ δ' ἔτι τούτων ἔμπροσθεν τὰ κατὰ τοὺς χυμοὺς, προηγούμενα. καθόλου γὰρ εἰπεῖν ὅσα μὲν ἔξωθεν ὄντα τοῦ σώματος, ἀλλοιοῖ τι τῶν κατ' αὐτὸ, προκαταρκτικὰ λέγεται. προκατάρχοντα γε δὴ τῶν ἐν τοῦ σώματι διαθέσεων. αὗται δὲ αἱ διαθέσεις ὅταν τὰ συνεκτικὰ τρέπωσι, προηγούμεναι γίνονται αὐτῶν αἰτίαι. φορὲ γὰρ ὑπὸ προσπεσόντος ἔξωθεν ψυχροῦ πυκνωθῆναι μὲν τὸ δέρμα, διὰ δὲ τῆς τούτου πύκνωσιν ὑπεχεθῆναι τῆς κατὰ φύσιν διαπνοὴν, ὑπεχεθεῖσαν δ' ἀθροισθῆναι, κἄπειτ' οὕτως ἐξάψαι πυρετὸν, ἐφ' ὧ τῆς χρείαν τῶν σφυγμῶν ἀλλοιωθῆναι, καὶ τοῦτο πρὸ τοῦ τοὺς σφυγμοὺς, τῶν σφυγμῶν προκαταρκτικὸν μὲν αἴτιον τὸ προσπεσὸν ἔξωθεν ψυχρὸν. τὰ δ' ἄλλα πάντα τὰ μέχρι τῆς χρείας τῶν σφυγμῶν προηγούμενα. διὰ μέσων οὖν τῶν προηγουμένων, τὸ προκαταρκτικὸν αἴτιον ἀλλοιῶσαν, τὴν χρείαν τῶν σφυγμῶν ἐν οὖσαν τῶν συνεκτικῶν αἰτίων, ἔτρεψεν οὕτω, καὶ αὐτοὺς τοὺς σφυγμοὺς. οὐ γὰρ ἐν δέχεται τραπῆναι μέν τινα συνεκτικὴν αἰτίαν, ἄτρεπτον δὲ μεῖναι τὸ πρὸς αὐτῆς ἀπαλούμενον. πρὶν δ' ἐπί τι τῶν συνεκτικῶν διαδοθῆναι τὴν ἀλλοίωσιν, ἀδύνατον τραπῆναι τοὺς σφυγμούς. διὸ καὶ κυριώτατα καὶ μάλιστα καὶ πρῶτα ταῦτ' αἴτια τῶν σφυγμῶν. τὰ δ' ἄλλα πάντα διὰ ταῦτα. τοῦ γὰρ τὴν ἔξωθεν γεγενημένην ἀλλοίωσιν, εἰς τὰ συνεκτικὰ διαδίδοσθαι, σφυγμῶν αἴτια λέγεται, κατά γε τὴν ἰδίαν τε οὐσίαν καὶ φύσιν, οὐδαμῶς τρέπειν αὐτοὺς δυνάμενα. χρὴ τοίνυν ὅς τις βούλεται τὴν περὶ τοὺς σφυγμοὺς τέχνην ἱκανὸς γενέσθαι, γυμνάζεσθαι πολυειδῶς ἐν ἅπασι τοῖς γένεσι τῶν αἰτίων, ὥστ' ἑνὸς οὗ τινος οὖν αὐτῷ προτεθέντος, ἔχειν εἰπεῖν τὴν γενομένην ἐν τοῖς σφυγμοῖς ἀλλοίωσιν. ἀρχὴ δὲ τῆς γυμνασίας ἀρίστη, τὰς συνεκτικὰς αἰτίας ὑπεσκέπτεσθαι, καθό τι γενναῖν ἑκάστη πέφυκε σφυγμὸν. ὧ γὰρ λόγῳ τῆς γενέσεως αὐτῶν ἐξηγοῦνται, τούτῳ καὶ τῆς ἀλλοιώσεως. αἱ γὰρ κατὰ τὸ πόσον καὶ ποῖον ἐν ταῖς αἰτίαις διαφοραὶ, τὰς κατὰ τὸ ποσόν τε καὶ ποιὸν ἐν τοῖς

σφυγμοῖς

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 91 sur 494

σφυγμοῖς ἐργάζονται διαφορὰς. φαίνεται δὴ διὰ παντὸς ἡ καρδία μετὰ πασῶν τῶν ἀρτηριῶν τὴν σφυγμικὴν καλουμένην κίνησιν, ἐς ἂν περιῇ τὸ ζῶον κινουμένην, ἀπθανόντος δ΄ οὔτε τῶν ἀρτηριῶν οὐδὲ μίαν, οὔτ' αὐτὴν τὴν καρδίαν ἐστὶν ἰδεῖν ἔτι σφύζουσαν. ᾧ δῆλον, ὡς ἤντις αἰτία τέως ὑφ' ἧς ἐκινοῦντο. τίς δ' αὕτη, χαλεπὸν εὑρεῖν. ὁ μὲν γὰρ τῆς ἔμφυτον θερμασίαν, ὁ δὲ τὸν τόνον, ὁ δὲ τῆς ἰδιότητα τῆς κράσεως, ὁ δὲ τῆς ὅλην κατασκευὴν τοῦ σωμάτων, ὁ δὲ τὸ πνεῦμα μόνον, ὁ δὲ τινὰ τούτων. ὁ δὲ τὰ πανθ' ἅμα φησί. ἤδη δέ τινες ἀσώματον εἰσηγήσαντο δύναμιν, οἰκείοις ὀργάνοις τῆς κινήσεως τοῖς εἰρημένοις χρωμένην, ἤτοι πᾶσιν, ἢ τισὶν, ἢ τινὶ, ταύτην οὖν τῆς αἰτίαν τὴν δημιουργοῦσαν τοὺς σφυγμοὺς, ἢ τις ἂν ἢ καὶ τῆς οὐσίαν αὐτῆς ἀγνοῶμεν, ἀπὸ τοῦ δύνασθαι σφυγμοὺς ἐργάζεσθαι δύναμιν αὐτὴν ἐκαλέσαμεν, ὥσπερ οἶμαι τὰ πᾶσαν ἑτέραν δύναμιν ἀπὸ τοῦ δύνασθαι ποιεῖν ὅπερ ἂν δύνατο, καλεῖν εἰθίσμεθα. τινὸς γὰρ, ἡ δύναμις ἐστὶ, καὶ τῆς νόησιν αὐτῆς, ἐν τῷ πρός τι κεκτήμεθα, καὶ διὰ τοῦτο οὕτως αὐτὴν ὀνομάζομεν, ὅταν τῆς οὐσίαν ἀγνοῦμεν. ὅταν δὲ ῥώμην ἢ ἀρετὴν δυνάμεως λέγομεν, ἢ αὖ πάλιν ἀῤῥωστίαν τε καὶ κακίαν ὡς πρὸς τῆς ἐνάργειαν ἀκούειν χρὴ τούτων τῶν ὀνομάτων. ἡ γὰρ δραστική τε τὰ ποιητικὴ καὶ δημιουργικὴ τῆς ἐνεργείας αἰτία, ποτὲ μὲν βέλτιον ὡς πρὸς ταύτην, ποτὲ δὲ χεῖρον διάκειται. καὶ διὰ τοῦτο νῦν ἄμεινον, αὖθις δ' εἰ τύχοι χεῖρον, ἡ ἐνέργεια συντελεῖται. τὸ μὲν οὖν βέλτιον ὡς πρὸς τοὔργον ἔχειν τὴν δύναμιν, ἀρετή τε καὶ ῥώμη. τὸ δὲ χεῖρον, ἀῤῥωστία τε καὶ κακία. περὶ μὲν δὴ τῆς τοὺς σφυγμοὺς ἐργαζομένης δυνάμεως, ἀρκεῖ τὰ ταῦτα διαγινώσκειν εἴς γε τὰ παρόντα. περὶ δὲ τῆς χρείας αὐτῶν ἀναμνησθῆναι χρὴ τῶν ἐν ἑτέροις ἀπεδειγμένων. ὅτι φυλακῆς ἕνεκα τῆς καθ' ὅλον τὸ σῶμα θερμασίας γεγόνασιν, ἔμψυχόντες τε ταύτην καὶ εἴτι λυγνυῶδες ἐκ τῆς τοῦ χυμῶν συγκάυσεως ὑποτρέφοιτο, τοῦτ' εὐθέως ἀπεκρίνοντες. εἴρηται δ' ἐν ἐκείνοις, ὡς τὰ τῇ γενήσει τοῦ ψυχικοῦ πνεύματος συντελοῦσι. λοιπὴ δὲ τὰ τρίτη σφυγμῶν γενέσεως αἰτία συνεκτικὴ, τὸ σῶμα τῶν ἀρτηριῶν ἐστὶν αὐτὸ. πᾶσα γὰρ δύναμις ἐνεργοῦσα τινὸς ἕνεκεν, ὀργάνων ὠθιτηδείων δεῖται πρὸς τοὔργον. ἢν δ' ὠθιτήδειον ὄργανον πρὸς τὰ παρόντα, τὸ στεγανὸν μὲν τοῖς χιτῶσι, κοῖλον δ' ἔνδοθεν, οἷον περὶ τὸ τῶν ἀρτηριῶν ἐστι. ὡς οὖν οἱ κατὰ τὰς πόλεις οὗτοι δημιουργοὶ, σκυτοτόμοι τε τὰ χαλκεῖς καὶ γραφεῖς, δι' ὀργάνων τινῶν ὠθιτελοῦσι τὸ σφέτερον ἔργον, οὕτως ἡ τοὺς σφυγμοὺς ἐργαζομένη δύναμις, δι' ὀργάνων τοῦ ἀρτηριῶν, τὸ ἑαυτῆς ἔργον τῆς φυλακὴν τῆς ἐμφύτου θερμασίας ἀπετελεῖ, τοσόνδε μόνον τοῦ ἄλλων διαφέρουσα δημιουργῶν, ὅτι τοῖς ὀργάνοις ἐνδέδεται, καὶ δι' ὅλων αὐτοῦ ἅπασα διελήλυθεν, οὐκ ἔξωθεν, ἅπτεται καθάπερ ἐκεῖνοι. καὶ τοίνυν ἐπειδὰν μὲν τῆς ψύχουσαν αἰτίαν ἕλκῃ, διαστέλλεται τὸ σῶμα τοῦ ἀρτηριῶν, ἐπειδὰν δὲ τὸ αἰθαλῶδες ἐκκρίνῃ, συστέλλεται. πλεονεκτεῖ δὲ ποτὲ μὲν ἡ τοῦ διαστέλλεσθαι, ποτὲ δὲ ἡ τοῦ συστέλλεσθαι χρεία. πάντως δ' ἕπεται θατέρω μέρει τῆς κινήσεως τὸ λοιπὸν. κατὰ ταῦτας δὲ τὰς αἰτίας, τοῦ σφυγμῶν γινομένων, ἀνάγκη πάσας τὰς τροπὰς αὐτῶν ἕπεσθαι ταῖς τοῦ αἰτίων ἀλλοιώσεσιν, ὥστε τὰς πρώτας μὲν τὰ γενικωτάτας τοσαύτας εἶναι διαφορὰς σφυγμῶν, ὅσαιπερ τὰ τοῦ αἰτίων. τῆς μὲν δὴ δυνάμεως αἱ διαφοραὶ, ῥώμη τε καὶ ἀῤῥωστία ἐστί. τῆς δ' ἐμφύτου θερμασίας, ἐκπύρωσις τε τὰ κατάψυξις. τοῦδε τοῦ ἀρτηριῶν χιτῶνος, σκληρότης τε τὰ μαλακότης, καὶ πρὸ τούτων ἁπάντων, αἱ καθ' ἕκαστον γένος τῶν εἰρημένων συμμετρίαι. ἀλλ' αἱ μὲν συμμετρίαι τοὺς κατὰ φύσιν ἐργάζοντας σφυγμοὺς τοὺς μέσους τοῦ ὑπερβαλλόντων, αἱ δ' ἀμετρίαι τοὺς παρὰ φύσιν. αἱ μὲν ἄλλαι σαφεῖς. ἡ δὲ κατὰ τῆς εὐρωστίαν τῆς δυνάμεως, ἔχει τι ζητήσεως ἄξιον, ὃ πρωϊὼν ὁ λόγος διασκέψαιτο. ῥώμη μὲν οὖν δυνάμεως, σφοδρὸν δὲ ἀνάγκης ἐργάζεται τὸν σφυγμὸν, ἀῤῥωστία δ' ἀμυδρὸν τὰ σκληρότης μὲν ὀργάνων, σκληρὸν, μαλακότης δὲ μαλακόν. οὐ μὴν ἐπί γε ταῖς αὐξήσεσιν, ἢ ταῖς μειώσεσι τῆς κατὰ φύσιν θερμασίας, ἓν εἶδος σφυγμῶν δὲ ἀνάγκης ἕπεται ταυτὸν ἀεί. οὔτε γὰρ ὁ ταχὺς, ὥς τισιν ἔδοξεν, οὔθ' ὁ μέγας, οὔθ' ὁ πυκνὸς, ἐκπυρουμένης ἀεὶ γίνονται τῆς φύσεως, οὔθ' ὁ βραδὺς, ἢ μικρὸς, ἢ ἀραιὸς, σβεννημένης. ἀλλ' οἱ περὶ τούτων ἀμφισβητοῦντες, ὁμοίως ἁμαρτάνουσιν ἀρχιγένει, πρὸς Μάγνον διαφερομένῳ, περὶ τάχους σφυγμοῦ, ὡς οὐχ ὑπὸ ῥώμης μᾶλλον, ἢ ἀῤῥωστίας γίνεται δυνάμεως. οὐδετέρα μὲν γὰρ δὲ ἀνάγκης ἕπεται. μᾶλλον μὴν ἐστιν οἰκεῖον, τάχος μὲν, ῥώμη τε δυνάμεως τὰ πλήθει θερμασίας τὰ προσέτι μαλακότητι τοῦ ὀργάνων, βραδυτὴς δὲ τοῖς ἐναντίοις. ὡσαύτως δὲ, τὰ μέγεθος μὲν ἰσχυρᾷ δυνάμει, τὰ πλήθει θερμασίας, τὰ μαλακοῖς ὀργάνοις ἐστὶν οἰκεῖον. μικρότης δὲ τοῖς ἐναντίοις. ὡσαύτως δὲ καὶ πυκνότης οὐδενὶ μὲν τοῦ εἰρημένων δὲ ἀνάγκης ἕπεται. μᾶλλον μὴν ἐστὶν οἰκεῖα δυνάμεως ἀῤῥωστία, πλήθει δὲ θερμασίας, ὀργάνων δὲ σκληρότητι. καὶ ἀραιότης δὲ κατὰ ταῦτα τοῖς ἐναντίοις οἰκεῖα μᾶλλον, οὐ μὴν δὲ ἅπαντος ἑπομένη πειράσομαι δ' ἀποδεῖξαι τοῦ εἰρημένων ἕκαστον ἀναλαβὼν τὸν λόγον ἐπ' ἀρχήν. πλείονος θερμασίας ἠθροισμένης ἐν τῷ σώματι, μείζονος μὲν χρήζειν ἀνάγκη τὸ ζῶον τῆς ἀναπνοῆς, μειζόνων δὲ καὶ τοῦ σφυγμῶν, ᾧ δὲ λόγῳ μειζόνων, τούτῳ τὰ θαττόνων τε τὰ πυκνοτέρων. ὡς γὰρ οἱ διψῶντες τὸ πολὺ μόνον, ἀλλὰ καὶ ταχέως, καὶ πυκνῶς προσφέρονται τὸ πῶμα, οὕτως καὶ οἱ τῆς ἐμψυχούσης οὐσίας δεόμενοι, πολλὴν θ' ἅμα ταύτην, καὶ ταχέως, καὶ πυκνῶς ὠθιστῶνται, κατὰ τοῦτο δὴ οὖν ἔφαμεν οἰκείους εἶναι σφυγμοὺς πλήθει θερμασίας, τόν τε μέγαν τὰ τὸν ταχὺν τὰ τὸν πυκνὸν, οὐ μὴν δ' δὲ ἀνάγκης γ' ἑπομένους αὐτῇ. χρήζει γὰρ ἵνα τοιοῦτοι γενηθῶσι, δυνάμεως μὲν ἐῤῥωμένης, ὀργάνων δὲ μαλακῶν. εἰ γὰρ ἀσθενὴς ἡ δύναμις, ἢ σκληρὸν ἢ τὸ ὄργανον, οὔτε μεγάλους, αὐτοὺς, οὔτε ταχεῖς ἐνδέχεται γενέσθαι, τοῦ μὲν ὀργάνου διὰ σκληρότητα δυσπειθοῦς γινομένου τῇ κινούσῃ δυνάμει, τῆς δυνάμεως δ' αὐτῆς δι' ἀῤῥωστίαν ἀδυνατούσης δὲ αἴρειν τὰς ἀρτηρίας εἰς ὅσον προσήκει. χρὴ τοίνυν συνεργεῖν ἀλλήλοις τὰ τρία γένη τῶν αἰτίων, ἵν' ὁ σφυγμὸς ταχὺς, ἢ μέγας ἀποτελεσθῇ, τῆς μὲν χρείαν τῆς γενέσεως αὐτοῦ ἐπείγουσαν, τὴν δὲ δύναμιν εὐεκτοῦσαν, τῶν δ' ἀρτηριῶν τοὺς χιτῶνας μαλακοὺς, ἢ πάντως γε μὴ σκληροὺς ὄντας. ὡς γὰρ καὶ ὠθεῖν ὠκέως, ἢ μέγα προβαίνειν, οὔθ' οἱ πάνυ γερόντες, οὔθ' οἱ μικροὶ παῖδες δύνανται, κἂν ἔτι μάλιστα χρήζωσιν ἠπειγμένης κινήσεως, οὕτως οὐδ' ἡ ἀῤῥωστος δύναμις οὔτε ταχέως, οὔτ' εἰς μέγα τὰς ἀρτηρίας δὲ αἴρειν δύναται, κἂν δέηται. ὥσπερ δὲ πάλιν ἡ μὲν μαλακὴ κύστις ἑτοίμως εἰς πολὺ διαστέλλεται, ἡ σκληρὰ δὲ οὐδ' εἰ πάνυ σφόδρα βιάζοιο, οὕτω τὰ τῶν ἀρτηριῶν ὁ χιτὼν, ὁ μὲν μαλακὸς ῥαδίως ἔτι πλέον δὲ αἴρεται, κἂν ἀῤῥωστος ἡ δύναμις ἦ, ὁ δὲ σκληρὸς ἀντιτίνεταί τε τὰ ἀντιβαίνει τῇ κινούσῃ δυνάμει, κἂν σφοδρότατα περὶ αὐτὸν ἐνεργοῦσα τύχῃ. μέθοδος δὲ καὶ κατὰ τούτων ἀπάν-

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 92 sur 494

των μία. ἡ δὲ ταραττομένης αἰτίας μόνης ὑπαλλαττομένης, τῶν δ' ἄλλων ἐν ταυτῷ μενουσῶν, τὴν διάκρισιν ποιεῖται τ' ἀλλοιώσεως τ' σφυγμῶν. εἰ γὰρ ἅμα πολλῶν ὑπομεταβαλλόντων ὑπεσκέπτοιο, πρῶτον μὲν ἂν δύσκολον ἦν διὰ τὸ πάσων ὁμοῦ συμβαίνειν ἀθρόον διαφαίνεσθαι ἢ τροπὴ γέγονεν, ἢ διάλυσιν, μίαν δὲ αὐτῶν ἐπειτα δ' εἰ καὶ συγχωρηθείη διὰ μίαν, ἥτις ἐστὶν αὐτῶν μία, δὲ αὐτῶν οὐδέπω δῆλον. ἂν γοῦν αὐξηθῇ μὲν ἡ θερμασία μόνη, φυλάττοιντο δὲ ἥτε δυνάμεις, καὶ οἱ χιτῶνες τῶν ἀρτηριῶν ἄτρεπτοι, μείζους τε καὶ θάττους δὲ ἀνάγκης οἱ σφυγμοὶ γενήσονται, καὶ συναυξηθήσονται γε δὴ πλήθει τῆς θερμασίας, ἄχρι πόρρ ἂν ὑπὸ τῶν μεγίστων ἀφίξονται διασολλών. τάχιστοι δὲ οὐδέ ποτε φανοῦνται πρὶν τὴν θερμασίαν ὑπὲρ τ' μεγίστων αὐξηθῆναι διασολλών. πότε δ' ὑπὲρ τ' μεγίστην αὔξε') διασολλῶν, ὅταν ὑπὸ θεῶν τὸ αὐτῆς ἀναψύχης. τὸ γοῦν λειπὸν ἐπανισοῦται τὴν νικῶντα, δὲ τάχει δ' κινήσεως. καὶ οὗτος οἱ σφυγμοὶ τάχιστοι γίνονται. ἀρκεῖ δ' οὐδὲ τοῦτο τῇ μεγάλως ἐκπυρωθείσῃ, ἀλλ' οὐ πάνυ πρότερον χρόνον μεταξὺ τῶν κινήσεων, ἢ δὴ καὶ δῆλον σωτέμνει. πολλάκις δ' οὖ
τως βραχὺ ἀπέφλωψ, ὡς συνεχεῖς ἀλλήλας δοκεῖν ἐν τὰς κινήσεις, μυδαμῇ χιζομένας ἡσυχίας. δῆλον δ' ὅ, ταν ἐκάτερος ἐκναύῃ, γίνεται. τριῶν γὰρ ὄντων τρόπων ὑπονοίας ἐν ἁπάσαις ὑπορρεούσαις, πᾶσιν ὁμοῦ χρῆται. ἡ γὰρ πλείστης ἀφαλάσ δὲ ἐμψυχρύσης αὐτὴν οὐσίας, ἡ τάχιστα δ σπευχέστατα. τούτων δὲ τὸ μὴ πρῶτον μεγίστας ποιεῖ δὴ σφυγμούς, τὸ δὲ δεύτερον τάχιστος, τὸ δ' τρίτον πυκνοτάτους. ὅτε γὰρ ὅταν ἱκανῶς ἀναψύχῃ δὲ μεγέθει δὲ διαστολῆς, κατεπείγει τὸ τάχος, οὔθ' ὅταν αὐτάρκως ὑπὸ ἀμφοῖν ὠφελῆται, τὴν πυκνότητα. θατέρου δ' αὐτῶν ἀεὶ τὸ λεῖπον ἐπανισοῖ θατέρῳ, τῷ μὴ μεγέθους δὲ τάχει, τὸ δὲ τάχους τῇ πυκνότητι. καθόλου γὰρ φάναι, πυκνότητος σφυγμῶν αἰτία μία, τὸ δὲ προτέρας ἐνδείας, γίνεται δὲ ὅτε καὶ δι' ἄλλας μὴ αἰτίας, ἃς δ' ἐροῦμεν. ἄταρ δὴ καὶ διὰ πλῆθος θερμασίας, ὡς νῦν ἀποδέδεικται. ἡ χειδὸν ἤδη πέρας ἔχει τὸ προκείμενον. ἐδείχθη γὰρ ὡς οὐκ δ' ἀνάγκης ἐπεὶ') πλήθει θερμασίας, μέγας δὲ τάχει δὲ πυκνὸς σφυγμὸς οὐδέν, οἰκεῖοι δ' εἰσὶν αὐτῇ, μᾶλλον μὲν ὁ μέγας ἡ τάχει, ἧττον δέποτε καὶ ὁ πυκνὸς κατὰ τὸ συμβεβηκός εἴη δ' ἂν οἶμαι δῆλον ἤδη καὶ πρὸς τῶν ἐν ταῖς ἐνδείαις δὲ ἐμφύτου θερμασίας, ἐπομένων σφυγμῶν. καὶ γὰρ καὶ τούτοις δ' ἀνάγκης μὲν οὐδέν ἐστιν. οἰκεῖοι δ' εἰσὶν, μάλιστα μὲν, ὅτι μικρὸς καὶ βραδὺς, ἧττον δὲ καὶ ὁ ἀραιός. ὥσπερ γ' οὐ τε πολὺς, ὅτι τάχους δὲ ἀραιὸς, ἧττον δὲ καὶ ὁ πυκνὸς ἐναντίως δὲ μὲν ὀλίγου. ταυτόν δ' ὄν τὸ μὲν δι' ὀλίγου, δὲ πυκνῷ. τὸ δὲ διὰ μακροῦ, δὲ ἀραιῷ. ἐπεὶ δὲ δὲ πρὸς τούτων αὐτάρκως ἔρρωται, τὸ ἀναβλυθὲν ὀλίγῳ πρότερον, ἐφ' ὅσον εἰς τὰ παρόντα χρήσιμον ὄν, διασκεψάμενοι, τὸ συνεχὲς τοῦ λόγου παραίνομεν. τοῦ μὲν γὰρ μεγάλου τε καὶ μικροῦ σφυγμοῦ, μέσος τις ὢν ὁ κατὰ φύσιν τε καὶ σύμμετρος, ὃν παραβαλλόντες τε καὶ παραμετροῦντες οὓς ἄλλους ἅπαντας, ὅσοι μὲν ἂν μείζους ὦσιν αὐτοῦ, τούτους μὲν μεγάλους ὀνομαζομεν. οὓς δ' ἐλάττους, μικρούς. κατὰ ταυτὰ δὲ δὲ τοῦ τάχεως τε καὶ βραδύτητος ὁ μέσος τε καὶ σύμμετρος, ὁ κατὰ φύσιν ἔχων ὄντων, καὶ τοῦ πυκνοῦ δὲ δὲ τ' ἀραιοῦ, καὶ πάλιν σκληροῦ καὶ μαλακοῦ κατὰ τὸν αὐτὸν λόγον, οἱ μέσοι κατὰ φύσιν. οὕτω ἀμυδρ οὔτε δὲ σφοδροῦ μέσος ὁ κατὰ φύσιν εἶν δοκεῖ. ἐῤῥωμένης γὰρ ὀργῆς δυνάμεως ὁ σφοδρὸς σφυγμὸς, ὥσπερ οὖν καὶ ὁ ἀμυδρὸς, ἀῤῥώστου. τὸ δ' ἐῤῥωσθαι τοῦτο, ὃ παρὰ φύσιν δ' ἠπόησθη, ἀλλὰ ὥσπερ μ, ἀρετή τε καὶ ἡ φύσιν, ἡδ' ἀῤῥωσία τ' δυνάμεως, κακία τε δὲ παρὰ φύσιν. ὅσον δ' ἐν δὲ μεταξὺ ῥώμης τε καὶ ἀῤῥωσίας ὁδὸς ὅσην ἀπὸ θατέρου πρὸς θάτερον ἐν μεθορίῳ πως τεταγμένον ἀμφοῖν, τοσοῦτον μ βέλτιον ἀῤῥωσίας, ὅσῳ χείρων δύρωσίας. ζοσοῦτο δ' ἂν πάλιν, δύρωσίας χείρων, ὅσῳ βέλτιον ἀῤῥωσίας. ὄνομα ἐνταῦθα φασὶ χρῆναι τὸ κατὰ φύσιν ζητεῖν, ἀλλ' ἐν δὲ ἄκρῳ τε καὶ δύρώσῳ, τούτου δ' ἐγγονον ὑπάρχειν τὸν σφοδρὸν σφυγμόν. εἰσὶ δ' οἱ τοῦτο μ ἀληθὲς εἶν συγχωρῆσιν, ἀμφισβητοῦσι δὲ πρὸς τὸ καθόλου, καὶ φάσκουσι, τὸν κατὰ φύσιν σφυγμὸν τὸν ἐν τούτῳ τῷ γένει, γίνεσθαι καὶ αὐτὸν ὑπὸ τῆς ἄκρας τε καὶ ἀείσης ἕξεως, ὥσπερ οὖν κἂν τοῖς ἄλλοις ἅπασι γένεσιν, οὐ μὴν ἄκρον γε καὶ ἔχαπιν ὑπάρχειν, ἀλλ' εἶν τινὰ τῶν οὐ κατὰ φύσιν, ἕτερον τούτων σφοδρότερον. ἴδιον γ' τὸ συμβεβηκέναι τούτῳ δὲ γένει τῶν σφυγμῶν παρὰ ἡ ἄλλα πάντα φασὶ, διὸ τὴν ἀρείαν τε τὰ σφάλματα τοῖς μὴ δυναμένοις αὐτῷ σωίσιεν ἁπλωτικῶν. γίνεσθαι μ γὰρ δύρωσούσης ἡ δυνάμεως τ' σφοδροῦ σφυγμὸν, εἶν μέν τοι ἐν τούτου μέτρου ἡ σφοδρότητος, οὗ πρωτοτόκῳ χωρῶν δὲ ἵσταται τοῦ κατὰ φύσιν. ἐν γοῦν τοῖς θυμοῖς φασι, καὶ πολλάκις ἐν τοῖς γυμνασίοις, καὶ ταῖς οἰνοποσίαις εὑρίσκεσθαι σφοδρότερον τοῦ κατὰ φύσιν κινουμένας, τὰς ἀρτηρίας. ὁμολογεῖσθαι δὲ πρὸς ἅπαντων, τὸν ὡς ἀκριβῶς κατὰ φύσιν ἔχοντα σφυγμὸν ὑπὸ ζώου θεωρεῖσθαι, ἐν ἡρεμίᾳ καθεστηκότος ἅπασῶν τ' μεγάλων τε καὶ ἰσχυρῶν ἀλλοιώσεων. ἰσχυρὰ δὲ ἀλλοίωσις ἡ ἐκ θυμοῦ καὶ γυμνασίου, καὶ οἴνου, οὐκ οὖν ὥσπερ εἶν τὸν κατὰ φύσιν, ἀλλ' ὡς ἂν ἐῤῥωμένης τε ἅμα ἡ φύσεως καὶ πρὸς μηδενὸς τῶν ἔξωθεν αἰτίων βιαίου ταραττομένης γίνεσθαι. οὕτως δὲ πῶς μ εἶν μέσον, πῶς δὲ οὐκ εἶν τὸν κατὰ φύσιν ἐν τούτῳ δὲ γένει σφυγμῶν. καθόλου μ γὰρ αὖ εἰσί τινες ἕτεροι σφοδρότεροι σφυγμοὶ, δὲ νὴ διὰ ἕτεροι γ' ἧττον σφοδροὶ, ἡ τοσοῦτον μ εἶν μέσον, καθόλου δὲ τριῶν ὄντων διαφορῶν ἐν τούτῳ δὲ γένει, σφοδρότητος τε καὶ ἀμυδρότητος καὶ ἡ ἀμφοῖν μεσότητος, οὐκ ἐν ἡ μεσότητος ὄντων, ἀλλὰ ἐκ μιᾶς τῶν ἀκροτάτων, κατὰ τὸ
† al πῶς συμβεβηκός οὐκέτ εἶναι μέσον. ὅλον οὖν τὸ λοιπὸν οἶμαι πρὸς αὐτοὺς καλῶς ἂν ἅμα καὶ ἀληθῶς ῥηθήσεται, τὴν κατὰ φύσιν ἐν τούτῳ δὲ γένει σφυγμὸν, μέσον ἐν θατέρῳ τῶν ἄκρων εὐρίσκεσθαι διαφορῶν. εἰσὶ δ' οἱ καὶ πρὸς τοῦτ' ἀντιλέγουσιν, οὐ γίνεσθαι σφοδροὺς ἐν τοῖς εἰρημένοις καιροῖς δὲ σφυγμοὺς, ἀλλὰ φαίνεσθαι φαυλοκοντοὺς, δὲ ἀπατᾶσθαι δὲ τοὺς ἀμελεστέρους ἀπομένου δὲ τὸ προγινομένου τάχους αὐτοῖς, καὶ μεγέθος, ὃν δ' ὅτε καὶ ὕψους, ὥσπερ ἐν τοῖς θυμοῖς, δῆλον δὲ, ὡς τῆς τοιαύτης διαφωνίας κρίσις, εἰς τὴν διάγνωσιν ἀναφέρεται. τίς οὖν ἡ ἀληθὴς διάγνωσις, χρὴ γὰρ ἀκριβοῦσθαι τὸ φαινόμενον ἡμῖν. ὑπὸ μ ταῖς τῶν οἰνων πόσεσιν, ταῖς γοῦν μετρίαις, οἱ σφυγμοὶ σαφῶς ὥσπερ μείζους καὶ θάττους, οὕτω καὶ σφοδρότεροι γίνονται. ὑπὸ μὲν τοι τοῖς θυμοῖς τε καὶ τοῖς μετρίοις γυμνασίοις, οὐκ ἐν ὁμοίως σαφῶς, ἀλλ' εἰ ἄρα καὶ πρόγινεται τι σφοδρότητος αὐτοῖς, ὀλίγου τοῦτο, καὶ δυσδιάγνωστον ὄν. ὅπως δ' ἂν ἔχοι τὸ ἀληθὲς οὐδὲν κωλυόμεθα

λυόμεθα περαίνειν τὸ προκείμενον αὐτὸ ὅπερ μόνον ζητοῦντες, εἰ μέγεθος καὶ τάχος σφυγμῶν οἰκεῖα δυνάμεως ἐῤῥωμένης, ὅπερ εἶναι φαίνεται, τοῖς μὴ παρέργον σκοπουμένοις, ἐξ αὐτῆς τῶν πραγμάτων τῆς φύσεως. ὡμολογημένου γὰρ τοῦ διαστέλλεσθαι τὰς ἀρτηρίας ὑπὸ δυνάμεως, εὔλογον ὠθὶ πλέον ἐξαίρειν μὲν αὐτὰς τὴν ἰσχυρὰν ἐπ' ὀλίγον δὲ τὴν ἀσθενῆ, καὶ θᾶττον μὲν τὴν ἰσχυρὰν, βραδυτέραν, δὲ τὴν ἀσθενῆ, ὥσπερ οὖν ἐφ' ἡμῶν αὐτῶν ἔχει βαδίζοντων τε καὶ θεόντων, καὶ ἐρεσσόντων καὶ σκαπτόντων, καὶ ὁτιοῦν ἄλλο δρώντων ὁ γὰρ ἰσχυρότερος ἐν τούτοις, οὐ μείζονα μόνον, ἀλλὰ καὶ θάττονα τὴν ἐνέργειαν ὧν δείκνυται, τῶν γ' ἄλλων ὡσαύτως ἀμφοτέροις ἐχόντων. εἰ γὰρ ὁ μὲν ἀσθενέστερος ἐπείγοιτο πρὸς τῆς χρείας ἐν τὴν ἐνέργειαν, ὁ δ' ἰσχυρότερος ἤτοι μηδὲν αὐτῆς ὅλως, ἢ ὡς ἐλαχίστης δέοιτο θάττον ἂν οὕτως ὁ ἀσθενέστερος ἐνεργήσειεν. ἀλλ' οὐ χρὴ κατὰ τοῦτον τὸν τρόπον παραβάλλειν, ἀλλ' ὡς καὶ πρόσθεν ἐῤῥέθη, τῶν μὲν ἄλλων ἁπάντων ὁμοίως ἀμφοῖν ὑπαρχόντων, καθ' ἣν δ' ὁτιοῦν μόνον ὅπερ ἂν ἑκάστο τε τύχη ζητούμενον, τῆς ὑπαλλαγῆς γενομένης, οἷον εἰ καὶ λυστῶν ἐπιόντων, φεύγειν δεήσειεν, οὐκ ἴσα δήπουθεν διαβαίνοντες. οὐδ' ἐν ὁμοίῳ τοῦ τάχει δραμοῦνται νεανίσκος ἰσχυρὸς καὶ γέρων ἀσθενής. εἰ μὲν τοι παραβάλλεις κίνησιν γέροντος, ἐφοδυνλησθῶν δεδιότος, νεανίσκου κινήσει ῥαθύμως ἐν ἄστι βαδίζοντος, ὠκυτέρα τε καὶ μείζων οὕτως ἡ τοῦ γέροντος φανεῖται τοι, οὐχ ὅτι δύνατρ θᾶττον κινεῖσθαι τοῦ νέου, καὶ μᾶλλον τὰ κῶλα μεταφέρειν, ἀλλ' ὅτι δεῖτρ κινήσεως ἠπειγμένης, διὰ τὸν φόβον ὑφ' οὗ καταναγκαζόμενος, ἁπάσῃ χρῆται πρὸς τοὔργον τῇ δυνάμει. τοῦ νεανίσκῳ δὲ τὰ μὴ τῆς δυνάμεως ῥωμαλεωτέρῳ, ἀλλ' οὐδὲν αὐτῆς δεῖτρ πρὸς τὴν ἐνέργειαν, ὡς εἴγε δεηθείη παραπλησίως τοῦ γέροντι, τοσοῦτῳ θᾶττόν τε καὶ μᾶλλον ἐνεργήσει, ὅσῳ καὶ τὰ τῆς δυνάμεως αὐτῷ βελτίω. ἄξιον οὖν ἐνταῦθα μέμψασθαι τῷ Αρχιγένει. καὶ Μάγνῳ. τῷ πολύ γε μειζόνως τοῦ Αρχιγένει. ὁ μὲν γὰρ, εἰ καὶ μὴ πᾶν τὸ ἀληθὲς, ἀλλὰ μερός τι καλῶς κατεῖδεν. ὁ δ' Αρχιγένης, δέον τὸ λεῖπον προσθῆναι, καὶ τὸ καλῶς εὑρημένον ἀνατρέπειν πειρᾶται, γράφων ὡδί. δίκαιον γὰρ αὐτὴν παραθέσθαι τὴν λέξιν. ὠθὶ μὲν οὖν τῶν ἀρτιγένων μικρὸς παντελῶς ὁ σφυγμὸς ἐστι καὶ οὐ σφοδρὸς, καὶ πυκνὸς ἄγαν καὶ ταχύς. Μάγνος δὲ οὐκ εἶναι ταχὺν αὐτὸν φησί, δι' ὅλου συστῆσαι βουλόμενος, τὸ μὴ οἰκεῖον ἀσθενείᾳ τὸν ταχὺν σφυγμὸν εἶναι ἀλλὰ τὸν πυκνόν. ἔστι γὰρ καὶ τὰ τηλικαῦτα ἀσθενῆ, καὶ μικρὸν ὁ Αρχιγένης προσελθὼν, ἐμοὶ μὲν, οὐ κατὰ τὴν ἰσχὺν φησι τὸ τάχος δοκεῖ κεῖσθαι, ὅταν εὕρω ὠθὶ χολερικῶν καὶ ὠθὶ καρδιακῶν συνηρημένην τὴν κίνησιν τῶν ἀρτηριῶν. ἡ μὲν οὖν λέξις ἡ τοῦ Αρχιγένους τοιάδε, πιθανὴ πάνυ, καὶ παρακρούσασθαι ῥαδίως δυναμένη τὸν ἀκροατὴν, ὡς ἂν ἐξ ὧν οἱ πολλοὶ τῶν ἰατρῶν ὠθὶ διδόασι λημμάτων συλλογιζομένη. πάντες γὰρ ὀλίγου δεῖν ὁμολογοῦσι, τὸν ὠθὶ τῶν χολερικῶν τε καὶ καρδιακῶν σφυγμὸν ταχὺν ὑπάρχειν. ὑφ' ἡμῶν δ' ἱκανῶς ἐν τοῦ πρώτῳ περὶ τῆς διαγνώσεως τῶν σφυγμῶν εἴρηται περὶ τάχους τε καὶ βραδυτῆτος, ἕτερον μὲν δεικνύντων τὸν ταχὺν, ἕτερον δὲ τὸν ὀλιγοχρόνιον σφυγμόν. ὡσαύτως δὲ καὶ περὶ τῆς βραδυτῆτος, ἕτερον μὲν τὸν βραδὺν, ἕτερον δὲ τὸν πολυχρόνιον, οὔκουν ἔτι περὶ τῶν αὐτῶν ἐνταῦθα λέγειν προσῆκεν. ἀλλὰ τοῦ συμπεράσματος μόνου μνημονεύσαντες. ὡς ἐν τοῖς προειρημένοις πάθεσιν οἱ σφυγμοὶ, βραχυχρόνιοι μὲν εἰσὶν οὐμὴν καὶ ταχεῖς, οὕτως ὠθὶ τὸ προκείμενον, ἐπανιέναι. περανθήσεται γὰρ οὐδὲν ἔτι τοῦ Αρχιγένει, μὴ συγχωρηθέντων τῶν ἐν τοῖς χολερικοῖς καὶ καρδιακοῖς πάθεσι σφυγμῶν ταχέων ὑπάρχειν. καί τοι κἂν ἐν τοῦτο συνεχωρεῖτο, σημεῖον μὲν ἀσφαλὲς οὐκ ἐγίνετο ῥώμης δυνάμεως τὸ τάχος, οἰκεῖον δ' αὐτῆς ὑπάρχειν οὐκ ἐκωλύετο, διωρισμένου γε ἤδη σαφῶς πρὸς ἡμῶν, ὥς τινες μὲν ἐξ ἀνάγκης ἕπονται σφυγμοὶ ταῖς συνεκτικαῖς αἰτίαις, τινὲς δ' οἰκεῖοι μὲν εἰσὶ αὐταῖς, οὐμὴν ἀναγκαίως ἀκολουθοῦσι. ὧν μὲν γὰρ σφυγμῶν μιᾶς αἰτίας, ἡ γένεσις χρήζει, ταύτῃ διὰ παντὸς ἀκολουθήσουσιν οὗτοι. καὶ σημεῖον γὰρ ἀκρὸν ἔσονται τῆς αἰτίας, ὡς σφοδρὸς μὲν τῆς ἐῤῥωμένης δυνάμεως, ὁ δ' ἀμυδρὸς τῆς ἀῤῥώστου. ὧν δ' εἰ μὴ πλείους συνέλθοιεν αἰτίαι, οὐχ οἷόν τε τὴν γένεσιν συστῆναι, τούτους οἰκείους μὲν εἶναι ταῖς αἰτίαις ἐροῦμεν, οὐμὴν καὶ δηλοῦντινα ἐξ ἀνάγκης αὐτῶν μίαν. ὡσαύτως δ' εἰ καὶ πρὸς μιᾶς αἰτίας γίγνοιτο ποτὲ σφυγμὸς, ἀλλὰ μὴ τῆς αὐτῆς διὰ παντὸς οἰκεῖος μὲν ἔσται πάσαις ταῖς ποιούσαις αἰτίαις, οὐμὴν δηλώσει γε βεβαίως αὐτῶν οὐδὲ μίαν. οὐδὲ γὰρ εἰ τάχος σφυγμῶν, ἐξ ἀνάγκης καὶ ῥώμη δυνάμεως, ἀλλ' ἔστι μὲν, ὅτε πλείων ἡ χρεία τῆς γενέσεως τοῦ ψυχικοῦ πνεύματος, ἔστι δ' ὅτε πλεονεξία θερμασίας, ἢ ὀργάνων μαλακότης, ἢ τινα τούτων ἢ πανθ' ἅμα. κατὰ ταῦτα δὲ καὶ εἰ μέγεθος σφυγμῶν, ἤτοι ῥώμη δυνάμεως, ἢ διαπάνη πλείων ψυχικοῦ πνεύματος, ἢ πλεονεξία τῆς ἐν τῇ καρδίᾳ θερμασίας, ἢ ὀργάνων μαλακότης, ἤτινα τούτων ἢ καὶ πάντα. Μάγνος μὴ οὖν φήσας οἰκεῖον μὲν εἶναι δυνάμεως ἐῤῥωμένης τὸ τάχος, οὐδὲν ἁμαρτάνειν. γίνεται γὰρ ποτὲ τῷ διὰ ταύτην ὠκύτερος ὁ σφυγμός. Αρχιγένης δ' ἁμαρτάνων, ἀντιλέγει. πρῶτον μὲν ὅτι καταψεύδεται τοῦ φαινομένου, τοὺς ὀλιγοχρονίους σφυγμοὺς πάντας ταχεῖς εἶναι νομίζων. ἔπειτα δ' ὅτι κἂν ταχεῖς ὦσιν, οἴεται περαίνεσθαι τὸ μηδαμῶς οἰκείους αὐτοὺς ὑπάρχειν ἐῤῥωμένης δυνάμεως, φανερῶς ψεῦδος ὄν. οὐδὲ γὰρ ὡς οὐδέ ποτε γίνονται σφυγμοὶ ταχεῖς δι' εὐρωστίαν δυνάμεως, ἀλλ' ὡς οὐ διὰ παντὸς ὑπ' ἐκείνης μόνης, περαίνοιτ' ἂν, εἰ καὶ τοὺς προειρημένους σφυγμοὺς ταχεῖς εἶναι συγχωρήσαμεν. εἰ δ' οὐκ οἰκείους μόνης ἐῤῥωμένης δυνάμεως τοὺς ταχεῖς σφυγμοὺς ὁ Μάγνος ἐνόμιζεν, ἀλλ' ὡς καὶ σημείοις ἐχρῆτο διὰ παντὸς, ἐσφάλετο. οὐ γὰρ εἰ τάχος σφυγμῶν ἤδη καὶ ῥώμη δυνάμεως, ἀλλ' ὡς εἴρηται πρόσθεν ἤτοι τῆς χρείας ἐπειγούσης, ἢ τῶν ὀργάνων μαλακωτέρων γινομένων θᾶττον αἱ ἀρτηρίαι κινοῦνται, πότ' οὖν ἕπεται ῥώμη δυνάμεως τὸ τάχος καί ποτε πλήθει θερμασίας, ἢ διαπάνη ψυχικοῦ πνεύματος, ἢ ὀργάνων μαλακότητι, βέλτιον ἦν εὑρόντα τὸν Αρχιγένην προσθῆναι τοῦ τοῦ Μάγνου λόγῳ. τέλειος γὰρ ἂν οὕτως ἐγένετο καὶ διαρκὴς εἰς ἁπάσας τὰς διαγνώσεις. ἐπεὶ τοίνυν ἐκεῖνος αὐτὸ παρέλιπε καί τοι πρόσθεν ὑφ' Ηροφίλου κεκινημένον, ἡμεῖς οἷς καλῶς, ὅτε Μάγνος ἔγραψε καὶ ἔτι μᾶλλον ὁ ἡρόφιλος, τὸ λεῖπον προσθέντες, τελείαν τὴν διδασκαλίαν τῆς διαγνώσεως τῶν τὸ τάχος ἐργαζομένων αἰτίων ποιησόμεθα. πρότερον δ' ὑπομνῆσαι χρὴ τῶν ἐν τοῦ δευτέρῳ περὶ διαγνώσεως σφυγμῶν εἰ-

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 94 sur 494

ρημένων, ἵνα τοῖς σημαινομένοις ὑπὸ τῶν ὀνομάτων ἑπόμενοι, μηδὲν παρακούωμεν ἐν τῷ λόγῳ. ταχεῖς γὰρ δὴ λέγομεν εἶναι τοὺς σφυγμοὺς, ὡσάντως δὲ καὶ βραδεῖς, οὐ τοῖς νοσοῦσι μόνον, ἀλλὰ καὶ τῶν ὑγιαινόντων, ἐστὶν οἷς καὶ φύσει γε τοῦτο αὐτοῖς ὑπάρχειν φαμὲν, ὥσπερ οὖν ἑτέροις οἳ ἂν ἄριστα τῆς κατασκευῆς τοῦ σώματος ἔχωσιν, οὔτε βραδεῖς, οὔτ' ὠκεῖς, ἀλλὰ συμμέτρους ὑπάρχειν φύσει τοὺς σφυγμοὺς. τοῖς δ' αὐτοῖς τούτοις οὐδὲ μεγάλους, οὐδὲ μικροὺς, ἀλλὰ τοὺς μέσους ἀμφοῖν τοὺς συμμέτρους, οὐδὲ πυκνοὺς ἢ ἀραιοὺς, ἀλλὰ καὶ τοὺς ἐν τούτῳ γένει συμμέτρους. ὧν τούτου τοίνυν πρότερον τοῦ τὴν ἀρίστην κατασκευὴν ἔχοντος, ὁ λόγος προΐτω. καὶ γὰρ δὴ οἷον ἱκανόν τις, καὶ μέτρον ὁ τοιοῦτος ἁπάντων ἐστὶ τῶν ἄλλων ἀνθρώπων. μεγάλους γὰρ καὶ μικροὺς καὶ ταχεῖς καὶ βραδεῖς, καὶ τοὺς ἀνάλογον τούτοις ὠνομασμένους καθ' ἕκαστον γένος σφυγμοὺς, τοὺς τὰς ὑπερβολὰς δηλοῦντας, οὐ πρὸς ἄλλον τινὰ, ἢ τοῦτον ἀναφερόντες ὀνομάζομεν. ὁ δὴ τοιοῦτος ἄνθρωπος εἰ θερμότερος ἑαυτοῦ γένοιτο, καὶ τοῦτο μᾶλλον ἀλλοιωθείη, τῆς μὲν σφοδρότητα τῶν σφυγμῶν οὐκ ἂν ὑπαλλάξειεν, ἀλλ' οὐδὲ τὸ κατὰ σκληρότητα ἢ μαλακότητα γένος, εἰς μέγεθος μέν τοι καὶ τάχος ὑπαλλάξει πάντως, ἐστὶ δ' ὅτε καὶ εἰς πυκνότητα πρὸς τὸ μᾶλλόν τε καὶ ἧττον αὐξῆσθαι τῆς θερμασίαν. ὀλίγῳ μὲν γάρ τινι θερμότερος ἑαυτοῦ γενόμενος, ἐναργῶς μὲν ἕξει μείζους τοὺς σφυγμοὺς, οὐ μὴν καὶ θάττους ἐναργῶς. εἰ δ' ὐδὲ πλέον αὐτῷ τὰ τῆς θερμασίας αὐξηθείη, συναυξηθήσεται μὲν αὐτῷ καὶ τὸ τῶν σφυγμῶν μέγεθος ἀνάλογον, ἐπίδηλον δ' ἔσται καὶ τὸ τάχος. ὐδὲ πλεῖστον δ' αὐξηθείσης τῆς θερμασίας, μέγιστοι μὲν οἱ σφυγμοὶ γενήσοντες, τάχιστοι δὲ οὐδέπω, ἀλλ' ὡς καὶ πρόσθεν ἐῤῥέθη τό τε πρῶτον, ὅταν ὑπὲρ τὴν μεγίστην αὐξηθῇ διαστολήν. τηνικαῦτα δ' ἤδη καὶ ἡ πυκνότης ἐναργῶς διαγινώσκετε. τοὺς δὲ περὶ τούτων τῶν φαινομένων λογισμοὺς, τοὺς μὲν ἤδη φθάνομεν εἰρηκέναι, τοὺς δ' οὐ χαλεπὸν ἐκ τῶν εἰρημένων ἀνευκρίσκειν. εἰ μέν τοι ψυχρότερος ἑαυτοῦ ὁ τοιοῦτος ἄνθρωπος γένοιτο, πρώτη μὲν ἡ ἀραιότης, ἐναργῶς φαίνετε, δευτέρα δ' ἡ βραδύτης, τρίτη δ' ἡ μικρότης. καὶ τίνι τάχ' ἂν δόξειε μάχεσθαι τὰ φαινόμενα καὶ ἀλλήλοις καὶ ταῖς ὑποτεθείσαις αἰτίαις. χρὴ γὰρ ὥσπερ ὐδὲ τῆς θερμασίας, πρῶτον μὲν τὸ μέγεθος, δεύτερον δὲ τὸ τάχος, τρίτη δ' ἡ πυκνότης ἦν, οὕτω καὶ ὐδὲ τῆς ψύξεως, πρώτην μὲν γίνεσθαι τῆς μικρότητα, δευτέραν δὲ τῆς βραδυτῆτα, τρίτην δὲ τὴν ἀραιότητα. τὶς οὖν ἡ λύσις τῆς ἀπορίας; ὅτι τῆς δυνάμεως ἐῤῥωμένης, κἂν τὰ τῆς χρείας ἐλάττω βραχεῖ γένητε, τὴν μὲν πρώτην ἐνέργειαν οὔτε μικρὰν, οὔτε βραδεῖαν ἀναγκαῖον γενέσθαι, τὴν δευτέραν μέντοι, μετὰ πλείονα χρόνον, εἰ τὰ τῆς χρείας ἐπείγει, εὔλογον ὑπάρξεσθαι. ὡς γὰρ καὶ ὅτ' ἤπειγεν ἐκέντριζέ τε καὶ ἀνίστη τῆς δύναμιν ὐδὲ τὴν ἐνέργειαν, οὕτως οὖν ὅτ' οὐκ ἐπείγει, μέχρι πλείονος ἡσυχάζειν ὐδὲ τρέπει. ἂν μέντοι πλείων ἡ ψύξις γένηται, καὶ διὰ τοῦτο τὰ τῆς χρείας ἱκανῶς ἐκλυθῇ, συνεκλυθήσεται μὲν οὕτως καὶ τὸ τάχος τῆς κινήσεως. μικροτέρα δ' εὐθὺς ἔσται καὶ ἡ διαστολή, ὐδὲ πλεῖστον δὲ προϊούσης τῆς ψύξεως, ἀραιοτάτους μὲν, οὐ μὴν καὶ βραδυτάτους τε καὶ μικροτάτους ἀνάγκη γενέσθαι τοὺς σφυγμοὺς, ἀλλ' ἀρκεῖ βραδυτέρους ἀεὶ καὶ μικροτέρους τῶν κατὰ φύσιν γίνεσθαι. τελέως γὰρ βραδεῖς, ἢ μικροὶ τῆς δυνάμεως ἐῤῥωμένης οὐκ ἄν ποτε γένοιντο, κἂν τὰ τῆς χρείας ἱκανῶς ἐκλυθῇ. ταῦτα δὲ φαίνεται κἀπὶ τῶν ἄλλων ἐνεργειῶν ὡσάντως ἔχοντα. αὐτίκα γοῦν ὐδὲ τῆς βαδίσεως, αὐξηθείσης μὲν τῆς χρείας, τοῦτ' ἔστιν εἰ δεήσειε καθ' ἑκάστην ἡμέραν πολλοὺς διανύειν σταδίους, καὶ θᾶττον καὶ μεῖζον προβαίνομεν, καὶ τὰς ἐν ταῖς καταγωγαῖς διατριβὰς ὀλιγοχρονίους ποιούμεθα. μειωθείσης δ' εἰς τὸ τοσοῦτον, ὡς εἰ τύχη, πεντεκαίδεκα μόνους ἀνύειν δεῖ ἑκάστης ἡμέρας σταδίους, ἐν μὲν ταῖς καταγωγαῖς ὐδὲ πλεῖστον διατρίβομεν, οὐμὴν εἰς ἔσχατον βραδυτῆτος τε καὶ μικρότητος, ἐκλύομεν τῆς ἐνέργειαν. ὡσάντως δ' ἔχει κἀπὶ τῆς ἀναπνοῆς. ἀλλὰ περὶ μὲν τάντης ἐν τοῖς περὶ δυσπνοίας αὐτάρκως εἴρηται. περὶ δὲ τῶν σφυγμῶν αὖθις ἀναλαβόντες εἴπωμεν, ὡς ἐπειδὰν μὲν, ἢ διὰ θερμασίαν μόνην, ἢ διὰ ψύξιν ἀλλοιῶνται, μηδενὸς τῶν ἄλλων αἰτίων τῶν συνεκτικῶν ἀρχαίας φύσεως ἐξισταμένων, ἀνάγκη τὴν ἀλλοίωσιν αὐτῶν οἷαν εἰρήκαμεν γένεσθαι. ἡνίκα δὲ μὴ μόνον τὰ τῆς χρείας, ἀλλ' ἤδη καὶ τὰ τῆς δυνάμεως ὑπαλλάττηται, τέσσαρες μὲν οὕτως ἅπασαι συζυγίαι διάφοροι γίνοντε. καθ' ἑκάστην δ' αὐτῶν ὠδέπως αἱ ἀρτηρίαι φαίνοντε κινούμεναι, κατὰ μὲν τῆς ἀῤῥωστοτέραν ἅμα καὶ θερμὴν, εἰ μὲν ὧν πλέον ὑπ' ἀμφοτέρων τῶν αἰτίων δυνασταίοιτο, ἥ τε δύναμις ἱκανῶς ἄῤῥωστος εἴη, καὶ τὸ θερμὸν πυρῶδες, μικροὶ καὶ βραδεῖς οἱ σφυγμοὶ καὶ πυκνότατοι γίνοντε. μετρίας δ' οὔσης τῆς βλάβης, πυκνοὶ μὲν ὁμοίως, σύμμετροι δὲ κατὰ τῆς διάστασιν καὶ τῆς κίνησιν τὶ. δή ποτε πυκνοὶ μὲν ὁμοίως μικροὶ δ' οὐκ ἔθ' ὁμοίως, οὔτε βραδεῖς; ὅτι τῆς ἐσχάτης πυκνότητος οὐδὲν ἐστὶ πυκνότερον, ἵν' ὁμοίως ἔχουσιν ἀμφότεροι. εἰ δὲ γὲ καὶ τάντης δυνατὸν ἦν ἑτέραν γενέσθαι πυκνοτέραν, ἔχον ἂν πάντως αὐτὴν οἱ ἀσθενέστατοι, ὅτον ἐπὶ γ' τοῦ μηδέπω τῆς χρείαν πληροῦν. διὰ τι δ' ὐδὲ ταῖς μετρίαις βλάβαις, τῆς τε δυνάμεως ἅμα καὶ τῆς θερμασίας οἱ σφυγμοὶ πυκνοὶ μὲν γίνονται, μικροὶ δ' οὐκ ἔτι, οὐδὲ βραδεῖς, ἀλλὰ σύμμετροι; ἢ ὅτι τῆς δυνάμεως ἀῤῥωστούσης μὲν, οὐμὴν εἰς τοὔσχατον συνῃρημένης, σύμμετρος διαστολὴ καὶ κίνησις γένοιτ' ἄν ποτε, καθάπερ καὶ τῶν ἀσθενεστέρων μὲν ἀνθρώπων ἐπειγομένων δὲ πρὸς τῆς χρείας, ἡ σύμμετρος βάδισις. ὁ γὰρ τοῖς ἰσχυροῖς ἄνευ μεγάλης ἀνάγκης, τοῦτο τοῖς ἀσθενεστέροις ἀναγκαζομένοις γίνετε. τοῖς δ' αὐτοῖς τούτοις, καὶ τὸ συνεχῶς ἐνεργεῖν, ὁποτὰν ὑπὸ τῆς χρείας ἐπείγωνταί τε καὶ οἷον βιάζωνται, συμβαίνει. ἀλλ' οὗτοι μὲν εἰ καὶ μόγις, ἀλλ' οὖν πληροῦσι γε τῆς χρείαν. οἱ δ' ἐσχάτως ἀσθενεῖς, κἂν ὅτι μάλιστα προθυμηθῶσιν ὅτον πλεῖστον δύνανται προσθῆναι μεγέθους τε καὶ τάχους καὶ πυκνότητος ταῖς ἐνεργείαις, οὐδ' οὕτως ἐκ πληροῦσι τῆς χρείαν. ὅτι δ' ἀμυδρὸν ἅπαντες ἔχουσιν οἱ ἀσθενεῖς τῇ δυνάμει τὸν σφυγμὸν ἔμπροσθεν εἴρηται. καὶ εἰς τοσοῦτον γ' ἀμυδρὸν, εἰς ὅσον καὶ τὰ τῆς δυνάμεως πεπόνθασιν. περὶ μὲν δὴ τῆς διὰ πλῆθος θερμασίας καὶ ἀῤῥωστίας δυνάμεως κακοσφυξίας, ἱκανὰ καὶ ταῦτα. μεταβῶμεν δ' ὧν τὴν ἑτέραν συζυγίαν τὴν ἐξ ἀῤῥωστίας τε καὶ καταψύξεως συγκειμένην. ἐφ' ἧς ἀμυδρὸς μὲν εἰς τοσοῦτον, εἰς ὅσον ἂν καὶ τὰ τῆς δυνάμεως ἔχῃ κακῶς, ὁ σφυγμὸς γίνεται, μικρὸς δὲ καὶ βραδὺς, ὥσπερ καὶ οἱ ὧν τῆς πρωτέρας συζυγίας, οὐμὴν ὁμοίως γ' ἐκείνοις εἰς ἐσχάτην ἀφικνεῖται πυκνότητα. πλὴν εἴποθ' ἡ δύναμις ἐσχάτως εἴη κεκμηκυῖα, δῆλον ὡς σμικρότατος ὐδὲ τῶν τοιούτων ὁ σφυγμὸς ἔσται, καὶ διαλείπων τε καὶ ἐκλείπων τὰ πολλά. μετρίως μέν τοι τῆς δυνάμεως ἀῤῥωστούσης,

ῥωστούσης, ἰσχυρᾶς δὲ τῆς κατὰ ψύξεως οὔσης, οὐδόλως ὁ σφυγμὸς γίνεται πυκνὸς, ὡς ἂν πληρουμένης τῆς χρείας, αὐτάρκως καὶ πρὸς τῆς τοιαύτης δυνάμεως. Τρίτη δὲ συζυγία σφυγμῶν ἀλλοιώσεως, αὐξανομένης ὁμοῦ θερμασίας τε καὶ δυνάμεως, ἐν ᾗ σφοδρότατοι καὶ μὲν μέγιστοι, τάχιστοι δ' ἐκ ἔθ' ὁμοίως οἱ σφυγμοὶ γίνοντο. πυκνότατοι δὲ τὰ πολλὰ μὴ ἐκ ἐναργῶς, ἔστιν ὅτε μὲν τοι καὶ σαφῶς ὑπὲρ τὸ κατὰ φύσιν εἰσί. καὶ γίνεται οὖν, ὅταν ὑπὸ πλεῖστον αὐξηθῇ τὰ τῆς θερμασίας. τηνικαῦτα γὰρ καί τοι μέγιστος ὁ σφυγμὸς γινόμενος καὶ ταχὺς, ὅμως οὐχ ὑπηρετεῖ τῇ χρείᾳ, διὰ τὸ πλῆθος τῆς θερμασίας. ἡ δὲ λοιπὴ καὶ τετάρτη συζυγία τῆς κατὰ οὖν τὸ γένος τῶν σφυγμῶν ἀλλοιώσεως, ὅταν εἰς ταυτὸν ἀφίκηται, ῥώμῃ τε δυνάμεως καὶ θερμασίας ἐνδεία. γίνονται δ' οὗτοι σύμμετροι μὲν τοῦ μεγέθει, βραδύτεροι μέν τοι καὶ ἱκανῶς ἀραιοὶ, καὶ μάλιστα ὅταν ὑπὸ πλέον ἡ ψύξις κρατῇ. βραχείας γὰρ οὔσης τηνικαῦτα τῆς τῶν σφυγμῶν χρείας, καὶ πάσης πληρουμένης ῥαδίως τοῦ μεγέθει τῆς διαστολῆς, εὐλόγως ὑπὸ πλεῖστον ἡσυχάζουσιν αἱ ἀρτηρίαι. ὡς γὰρ ὅτ' ἤπειγεν ἡ χρεία συνεχὴς ἡ κίνησις αὐτῶν ἦν, οὕτω νῦν ὅτ' ἐκλύετο, διὰ μακροῦ γίνεται. τὸ μέν τοι τῆς διαστάσεως αὐτῶν πόσον οὐ κωλύεται σαφῶς, οὐδ' ἐναργῶς, διὰ τὴν εὐρωστίαν τῆς δυνάμεως. οὐμὴν οὐδὲ ἡ βραδυτὴς ὑπὸ πολὺ κρατεῖ, διὰ τῆς αὐτὴν αἰτίαν. ἐῤῥωμένη γὰρ ἡ δύναμις σώζετο τὰ κατὰ φύσιν τῆς κινήσεως μέτρα, κἂν ἡ χρεία μὴ καλῇ. μεγάλως μὴ γὰρ δεῖ τὴν χρείαν ἐκλυθῆναι τῆς ψύξεως ἰσχυρῶς κρατούσης, ἵν' ὁ σφυγμὸς ἐναργῶς γένητο μικρότερος. ὡς τὰ πολλὰ δὲ τῆς κατὰ φύσιν σώζει ποσότητα τῆς διαστάσεως, ἢ ὀλίγῳ γέ τινι καὶ οὐ πάνυ σαφεῖ γίνεται μικρότερος, ὑπὸ πλέον μέν τοι βραδύτερος, ἢ μικρότερος ἐν ταῖς καταψύξεσι φαίνεται, παραπλησίως ἰτοῖς βαδίζουσιν, ὅταν μὴ δέωνται τῆς κινήσεως ἠπειγμένης. ἥττον γὰρ οὗτοι τοῦ μεγέθους τῆς βαδίσεως ἀφαιροῦσιν ἢ τοῦ τάχους. καὶ εἰ δέησειε δέ ποτε θάττον αὐτοὺς βαδίσαι, τοῦ μεγέθει πλέον, ἢ τῷ τάχει προστιθέασι. προσέχειν ἐνταῦθα χρὴ τὸν νοῦν ἀκριβῶς τοῦ λεγομένῳ, μή τι παρακούσωμεν αὐτοῦ, καὶ δόξαιμεν ὑπὸ πάσει διαθέσει τὴν κατὰ μέγεθός τε καὶ μικρότητα τροπὴν πλείονα γίνεσθαι τῆς κατὰ τάχος καὶ βραδυτῆτα. πλείων μὴ γὰρ οὐ γίνεται διὰ παντὸς, ἑτοιμοτέρα μέν τοι καὶ διὰ τοῦτο καὶ προτέρα. τὴν γὰρ ἀπὸ τοῦ συμμέτρου μετάστασιν εἰς μέγεθος καὶ μικρότητα ῥᾶον ἐστὶν ἰδεῖν γινομένην τῆς εἰς τὸ τάχος καὶ βραδυτῆτα. προελθούσης μέν τοι τῆς τροπῆς εἰς ἀξιόλογον μέγεθος, ἐὰν ἔτι συμβαίνει τὴν θερμασίαν αὐξάνεσθαι, τὸ τάχος τηνικαῦτα ὑπαδίδωσιν ἀθρόως. καὶ τοῦτ' εὐλόγως συμβαίνει, καθάπερ καὶ πρόσθεν εἴπομεν. εἰς γὰρ τὸ πληρῶσαι τὴν χρείαν, ἀρκεῖ τῇ καρδίᾳ τὸ μέγεθος τῆς διαστολῆς αὐξάνειν, οὐδὲν δεομένη καὶ τὸ τάχος ἀνάλογον αὐτῷ συναυξαίνειν. Ὅταν δ' ἤδη τὸ μέγεθος μὴ ἀξιόλογον ᾖ, εἶτα δὲ καὶ τὰ τῆς χρείας ἐπείγη, τό τε καὶ τοῦ τάχει τὸ λεῖπον πᾶν προστίθησιν. εἰ δὲ μηδὲ τοῦτ' ἀρκοίη, συνεχεῖς ποιεῖται τὰς κινήσεις, ὅπερ ἐστὶ ταυτὸν τοῦ πυκνὸς. ἀλλὰ περὶ μὲν τούτων, ἱκανὰ καὶ ταῦτα. Μεταβάντες δ' αὖθις ὑπὸ τὰς τῶν ὀργάνων διαφορὰς ὑπασκεψώμεθα, πρῶτον μὲν τοὺς οἰκείους ἑκατέρας αὐτῶν σφυγμοὺς, ἔπειτα δ' ἤδη καὶ τὰς μετὰ τῶν ἄλλων αἰτίων ὑπαλλάξεις, ὥσπερ ὀλίγω πρόσθεν ἐποιήσαμεν. ὅτι μὲν οὖν ἐπειδὰν σκληρότερον καὶ μαλακώτερον ἑαυτοῦ γένηται τὸ τῆς ἀρτηρίας σῶμα καὶ τοὺς σφυγμοὺς αὐτοὺς, ἢ σκληροὺς, ἢ μαλακοὺς ἀπεργάζεται, πρότερον εἴρηται, καὶ οὐ δεῖται μακροτέρων λογισμῶν τὸ τοιοῦτον, ὑπὸ πάντων τῶν ἐναργῶν μαρτυρούμενον, ὡς κατὰ τὴν τοῦ πλήττοντος φύσιν καὶ ἡ τῆς πλήγης ἀποτελεῖται ποιότης. ὅτι δὲ καὶ μέγεθος μὲν ταῖς μαλακότησι τῶν ὀργάνων, μικρότης δὲ ταῖς σκληρότησιν οἰκεῖα, λέλεκται μέν τοι καὶ περὶ τούτων ἔμπροσθεν, εἰρήσεται δὲ καὶ νῦν διὰ τὴν ἀκολουθίαν τοῦ λόγου. τὸ μὲν μαλακὸν ὄργανον, ἑτοίμως ἐκτεινόμενον πάντῃ ῥαδίως διαστέλλεται. τὸ δὲ σκληρὸν οὐκ ἄνευ μεγάλης βίας. ἕπεται δὲ τοῦ μὲν ἑτοίμῳ τῆς διαστολῆς, τὸ μέγεθος. τῷ δ' ἀντιβατικῷ τε καὶ δυσπαθεῖ, σμικρότης. ὡσαύτως δὲ καὶ τάχος μὲν, τοῦ προτέρῳ, βραδύτης δὲ τῷ δευτέρῳ γένει, οὐ μὴν κατὰ τὴν αὐτὴν ἀναλογίαν μεγέθει τε καὶ μικρότητι. θάττων μὲν γὰρ ὀλίγῳ, παμπόλλῳ δὲ μείζων, ὁ ὑπὸ μαλακότητι τῶν ὀργάνων σφυγμὸς, τοῦ διὰ σκληρότητα. τὸ γὰρ ὑμενῶδες τοῦ σώματος τῆς ἀρτηρίας κἂν σκληρότερον ποτὲ γένοιτο, πρὸς μὲν τὸ τάχος τῆς κινήσεως ἕτοιμον τε καὶ εὐπειθὲς, εἰς δὲ τὸ μέγεθος τῆς διαστολῆς ἁπάντων ἀφυέστατον, εἴ γε χρὴ ῥαδίως ἐκτείνεσθαι πάντῃ, τὸ μεγίστην διαστολὴν ποιησάμενον. τοιοῦτον δ' ἐστὶ τὸ μαλακόν. καὶ ὅταν ὑπὸ πλεῖστον ἐκστῇ τοῦ κατὰ φύσιν, ἢ εἰς μαλακότητα, ἢ εἰς σκληρότητα τὸ τῶν ἀρτηριῶν σῶμα, βραδύτερος ὁ μαλακὸς σφυγμὸς τοῦ σκληροῦ γίνετο. τὸ μὴ γὰρ βραχεῖ τοῦ κατὰ φύσιν μαλακώτερον σῶμα, τοῦ βραχεῖ σκληροτέρου, διότι πρὸς τὸ μέγεθος τῆς διαστολῆς εὐπειθέστερον ἐστὶ, διαθεῖν καὶ πρὸς τὸ τάχος τῆς κινήσεως, τὸ δ' ὑπὸ πλεῖστον ἐκλυθὲν εἰς μαλακότητα καὶ οἷον καταῤῥέον τε καὶ καταπίπτον εἰς ἑαυτὸ διὰ ὑπερβολὴν ὑγρότητος, οὔτ' εἰς τὸ μέγεθος τῆς διαστολῆς ὁμοίως ἕτοιμον, οὔτ' εἰς τὸ τάχος τί κινήσεως, καὶ κατὰ τοῦτ' ἀπολείπεται τοῦ τάχει τοῦ σκληροῦ, μεγέθει δὲ καὶ νῦν ἔτι πλεονεκτεῖ, οὐ τοῦ σκληροῦ μόνον, ἀλλὰ καὶ αὐτοῦ τοῦ κατὰ φύσιν. αἱ μέν τοι τοιαῦται διαθέσεις, ἐν αἷς εἰς ἄμετρον ὑπερβολὴν ἥκουσιν αἱ ἀρτηρίαι, σκληρότητος, ἢ μαλακότητος, οὐκ ἄνευ καὶ τῆς τῶν ἄλλων συνεκτικῶν αἰτίων γίνονται μεταβολῆς. ὅτε γὰρ τὴν δύναμιν εὔρωστον ἔτι μένειν οἷόν τε, ὅτε τὴν θερμασίαν ἐν τοῖς κατὰ φύσιν ὅροις. ὅθεν αὐτῆς μόνης ἤτοι μαλακότητος ἢ σκληρότητος ἄνευ τῶν ἄλλων αἰτίων, τοὺς οἰκείους σφυγμοὺς ἀφαινώμεθα, μείζους μὲν καὶ θάττους ὑπὸ ταῖς μαλακότησιν ἐροῦμεν, ἐλάττους δὲ καὶ βραδυτέρους ὑπὸ ταῖς σκληρότησι γίνεσθαι, καὶ ὑπὸ πλέον γε μείζους ἢ ὠκυτέρους δι' ἣν εἴπομεν ἔμπροσθεν αἰτίαν. πυκνότητι δὲ καὶ ἀραιότητι τοσοῦτον ἀλλήλων τε καὶ τοῦ συμμέτρου παραλλάττειν, ὅσον ἐκ τοῦ μεγέθους, ἢ τῆς μικρότητος, ἢ τοῦ τάχους, ἢ τῆς βραδυτῆτος, ἐξίστανται τοῦ κατὰ φύσιν. ἐῤῥέθη δὲ καὶ πρόσθεν ὡς ἔστιν αἰτία μία καθόλου πυκνότητος ἐνεργειῶν ἁπασῶν, ὅταν ἐλλιπέστερον τῆς χρείας ἑκάστης συντελῆται, τῶν μὲν οὖν σκληρῶν ὀργάνων ἡ διαστολὴ σκληροτέρα, καὶ διὰ τοῦτ' ἐλλιπεστέρα τῆς χρείας ἡ ἐνέργεια. τῶν δὲ μαλακῶν τοὐναντίον, ἀξιόλογος μὲν ἡ διαστολὴ, πληροῦται δ' ἱκανῶς ἡ χρεία. εὐλόγως οὖν τοῖς μὲν σκληροῖς σφυγμοῖς, αἱ πυκνότητες. τοῖς δὲ μαλακοῖς αἱ ἀραιότητες ἕπονται. εἰ δὲ συνδράμοι ποτὲ τῇ μὴ σκληρότητι ψύξις. τῇ δὲ μαλακότητι θερμασία, γένοιντ' ἂν οὕτω οἱ σκληροὶ σφυγ

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 96 sur 494

μοί, τῶν μαλακῶν ἀραιότεροι. κατὰ συμπλοκὴν δὲ τὴν ἤδη τῶν ἐν τοῖς συνεκτικοῖς αἰτίοις διαφορῶν ἡ τοιαύτη τῶν σφυγμῶν ἀλλοίωσις γίνεται. ἐπεὶ δὲ κατὰ τὴν ἀκολουθίαν αὐτὴν τοῦ λόγου πρώτης ἐμνημονεύσαμεν τῆς κατὰ σκληρότητα καὶ ψύξιν συζυγίας, τὸ πᾶν ἤδη περὶ αὐτῆς λεγέσθω. σκληρότερον τὸ σῶμα τῶν ἀρτηριῶν γενόμενον ἅμα τῇ ψύξει τῆς ἐμφύτου θερμασίας, τοὺς σφυγμοὺς ποιήσει μικροτέρους τε καὶ βραδυτέρους τῶν κατὰ φύσιν. εἰ μὲν ἡ σκληρότης κρατεῖ μικροτέρους πλέον ἢ βραδυτέρους. εἰ δ' ἡ ψύξις, ἔμπαλιν βραδυτέρους πλέον, ἢ μικροτέρους. οὕτω δὲ καὶ πυκνοτέρους μὲν, εἰ ἡ σκληρότης πλεονεκτεῖ τῆς ψύξεως, ἀραιοτέρους δὲ εἰ ἡ ψύξις κρατοίη. εἰ δ' ἴση καθ' ἑκάτερον αὐτῶν ἡ εἰς τὸ περὶ φύσιν ἐκτροπὴ γένοιτο, τοσούτω μικροτέρους, ὅσῳ καὶ βραδυτέρους. ἀραιότητι δὲ, ἢ πυκνότητι τῶν κατὰ φύσιν οὐδὲν ἀλλοιότερον. ὅσον γὰρ ἡ χρεία τῆς γενέσεως αὐτῶν ἀφεῖλε διὰ τὴν ψύξιν, τοσοῦτον καὶ τοῦ ποσοῦ τῆς διαστολῆς καὶ τοῦ χρόνου τῆς κινήσεως, συγκαθεῖλεν. οὔκουν δεῖται συνεχέστερον κινεῖν τὰς ἀρτηρίας ἡ φύσις, ὥσπερ ἐν τοῖς πλείστοις τῶν μικρῶν σφυγμῶν, ἐφ' ὧν ἐλλιπεστέρα τῆς χρείας ἡ διαστολὴ, εἰ μέν τοι ἡ σκληρότης μὲν ἱκανὴ, ὀλίγῳ δ' εἴη παντελῶς ἡ ψύξις, αὐτὸ δὲ τοῦτο ἔσται τηνικαῦτα τὸ προειρημένον, τὸ τῆς χρείας ἐλάττονα γινομένην τὴν διαστολὴν, συνεχεῖς τὰς κινήσεις ἐργάσασθαι. ὥσπερ οὖν εἰ καὶ τοὔμπαλιν γένοιτο, πάμπολυ μὲν ἡ ψύξις, ἐλάττον δ' ἐλαχίστῳ τοῦ κατὰ φύσιν ἡ σκληρότης. ἀνάγκη γὰρ τότε τοὺς σφυγμοὺς ἀραιοτέρους ὠθῇ πλέον ἢ μικροτέρους γενέσθαι, ὅτι καὶ τὰ τῆς χρείας ὠθῇ πλέον ἠλάττωται τοῦ ποσοῦ τῆς διαστολῆς. τοιαύτη μέντοι ἡ πρώτη συζυγία τῶν αἰτίων. δευτέρα δ' ἦν ἐφ' ἧς ἐκράτει μαλακότης ἅμα θερμότητι. τρεῖς δ' ἀνάγκη κἀνταῦθα γενέσθαι τὰς πρώτας διαφορὰς. ποτὲ μὲν ὁμοίως εἴς τε μαλακότητα καὶ θερμότητα τῆς τροπῆς γενομένης. ποτὲ δ' ἤτοι τῆς μαλακότητος, ἢ τῆς θερμότητος κρατούσης. εἰ μὴ οὖν ὅσον ἡ μαλακότης τοσοῦτον καὶ ἡ θερμότης τοῦ κατὰ φύσιν ἐξίστατο, μεγάλους ἀνάγκη καὶ ταχεῖς γίνεσθαι τοὺς σφυγμοὺς, πυκνοὺς δ' οὐκ εὐθέως, ἀλλ' ὅταν ἡ χρεία τῆς γενέσεως αὐτῶν ὑπὲρ τὸ μέγεθος ἢ τῆς διαστολῆς. εἰ δ' ἡ μαλακότης κρατεῖ, πλεονεκτήσει καὶ τὸ μέγεθος τοῦ τάχους. εἰ δ' ἡ θερμότης κρατεῖ, οὐκ ἔθ' ἁπλῶς ἀφῃρήσασθαι δυνατὸν, ἀλλὰ χρὴ διορίσασθαι. παμπόλλης μὲν γὰρ οὔσης, τῆς θερμασίας, ὡς μὴ πληροῦσθαι τὴν χρείαν ὑπὸ τῆς ἐνεργείας, πλέον ὠκυτέρους ἢ μεγάλους ἀνάγκη γίνεσθαι τοὺς σφυγμοὺς, εὐθὺς δὲ δηλονότι καὶ πυκνούς. ὅταν δ' ἱκανῶς ἀφλάνει τῆς χρείας ἡ φύσις, εἰς ὅσον μεγάλους, εἰς τοσοῦτον καὶ ταχεῖς. τρίτη δ' ἂν εἴη συζυγία τῶν κατὰ ταῦτα τὰ γένη τὸν σφυγμὸν ἀλλοιούντων αἰτίων, ὅτ' εἰς ταυτὸν ἥκῃ σκληρότης θερμότητι. μεγάλης μὲν οὖν τῆς καθ' ἑκάτερον εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς γινομένης, οἱ σφυγμοὶ τάχιστοι μὲν ἔσονται καὶ πυκνότατοι, μικρότατοι δ' οὐκ ἔτι, πλὴν εἰ καὶ τὰ τῆς δυνάμεως ἔχοι κακῶς, ὅπερ οὐχ ὑπόκειται νῦν, ἀλλ' ἥττους μὲν τῶν κατὰ φύσιν, οὐ μὴν εἰς ἔσχατόν γε μικρότητος ἥκοντες. εἰ μέντοι τὰ τῆς θερμασίας ἀμέτρως ἔχοι, τὸ δ' ὄργανον μὴ πάνυ σκληρὸν, ἀλλ' ὀλίγῳ δέ τινι τοῦ συμμέτρου παραλάττον, οὐχ ὅπως ἐλάττον τοῦ κατὰ φύσιν ἡ διαστολὴ τῶν ἀρτηριῶν, ἀλλὰ καὶ μείζων γένοιτ' ἄν. οἰκείων γὰρ ὄντων σφυγμῶν, τῇ μὲν σκληρότητι τῶν ὀργάνων τοῦ μικροῦ, τῇ δ' ἀμετρίᾳ τῆς θερμασίας τοῦ μεγάλου, κατὰ λόγον ἐν τοιαύταις διαθέσεσιν ὁ σφυγμὸς μέγας γίγνεται, συνεξομοιούμενος τοῦ κρατοῦντι, ὥσπερ ὅταν ἡ σκληρότης κρατῇ, μικρὸς ταχὺς μέν τοι πάντως ὁπότερον ἂν τῶν αἰτίων πλεονεκτῇ, καὶ πολὺ μᾶλλον ὅταν ἡ θερμασία. τηνικαῦτα δὲ καὶ ἡ πυκνότης ὑπαφανεστέρα. λοιπὴ δ' ἂν εἴη συζυγία κατὰ τὰ νῦν προκείμενα γένη τῶν σφυγμῶν, ὅταν εἰς ταυτὸν ἀφίκηται μαλακότητι ψύξις. ὄντος δὲ κἀνταῦθα τοῦ μὲν μεγάλου σφυγμοῦ ταῖς μαλακότησιν οἰκείου, τοῦ δὲ μικροῦ ταῖς ψύξεσιν, ὁπότερον ἂν αὐτῶν πλέον ἐξίσηται τῆς φύσεως, ἐκείνῳ συνεξομοιοῦσθαι τοὺς σφυγμοὺς ἀναγκαῖον. ὥστε μεγάλου μὲν, τῆς μαλακότητος τῶν ὀργάνων κρατούσης, μικροὶ δ' ἐν ταῖς ψύξεσιν ἔσονται. σύμμετροι δ' ὅταν ὅσον εἰς μέγεθος ὑπὸ τῆς μαλακότητος αὔξωνται, τοσοῦτον καθαιρῶνται πρὸς τῆς ψύξεως εἰς μικρότητα. καθόλου γὰρ εἰπεῖν οὐκ ὠθῇ τῶν νῦν προκειμένων μόνων αἰτίων, ἀλλὰ κἀπὶ τῶν ἄλλων ἁπάντων τῶν παρὰ φύσιν, οἱ σύμμετροι γίνονται σφυγμοὶ, τῶν εἰς τἀναντία τρεπόντων αὐτοὺς ἑκατέρων ὁμοίως δυναμένων, καὶ δόξαν γε ψευδῆ τοῦ κατὰ φύσιν διακεῖσθαι τοὺς οὕτω νοσοῦντας, οἱ πολλοὶ τῶν ἰατρῶν ἴσχουσιν. ἀλλὰ περὶ μὲν τούτων ἐν τοῖς δι' αὐτῶν προγνώσεως ὠθῇ πλέον εἰρήσεται. τὸ δὲ νῦν εἶναι, τοῦτ' ἀρκεῖ μόνον ἐνδεδηλωμένον, ὅσον τῆς προκειμένης πραγματείας ἴδιον, ὡς πάντες, μὲν οἱ κατὰ φύσιν σφυγμοὶ μέσοι τῶν ὑπερβολῶν εἰσι καὶ σύμμετροι, οὐ μὴν ἅπαντες γε οἱ σύμμετροι κατὰ φύσιν. ἀραιοὶ μέν τοι καὶ βραδεῖς οἱ τοιούτοι σφυγμοὶ πάντες εἰσὶ, καὶ μᾶλλον ὅταν ἡ ψύξις κρατῇ. ἐπεὶ δὲ καὶ περὶ τούτων εἴρηται τὰ εἰκότα, ἐπαλλάξομεν ἑξῆς τὰς ἀφ' τῶν ὀργάνων διαφορὰς, ταῖς ἀφ' τῆς δυνάμεως, ἐκεῖνο πρότερον ἀναμνήσαντες, ὡς ὅσα πλεονεξία θερμασίας ἕπεται πάθη σφυγμῶν. τοσαῦται καὶ χρεῖαι γενέσεως ψυχικοῦ πνεύματος. ὀργάνων οὖν σκληρότης ἅμα μὲν ἀσθενείᾳ δυνάμεως, μικροὺς καὶ βραδεῖς καὶ πυκνοὺς ἀποτελεῖ τοὺς σφυγμοὺς. ἅμα δὲ ῥώμῃ, μικροὺς μὲν καὶ πυκνοὺς, οὐ μὴν καὶ βραδεῖς, ἀλλ' ἔστιν ὅτε πολὺ τοῦ κατὰ φύσιν ὠκυτέρους. ὅσον γὰρ διὰ τὴν σκληρότητα τῶν ὀργάνων ἐλλιπὲς τοῦ συμμέτρου τῆς διαστολῆς, τοσοῦτ' ἀναπληροῦται πρὸς τοῦ τάχους τε καὶ τῆς πυκνότητος. εἰ δέ γε μαλακὸν μὲν εἴη τὸ ὄργανον, ἐῤῥωμένη δ' ἡ δύναμις, μείζονες μὲν ὑπαφανῶς οἱ σφυγμοὶ γίνονται, ὀλίγῳ δέ τινι βραδύτεροι καὶ ἀραιότεροι. εἰ δ' ἀῤῥωστία δυνάμεως συνέλθοι μαλακότητι τῶν ὀργάνων, ἴσης μὲν ἀμφοτέρων καὶ μετρίας ἅμα τῆς εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς γενομένης, σύμμετροι τε καὶ πάνυ τοῖς κατὰ φύσιν ὡσάντως ἔχοντες οἱ σφυγμοὶ φαίνονται, πλὴν ὅσα μαλακότητι διαλλάσσουσιν. ἀμέτρου δ' ἱκανῶς, μικροὶ καὶ βραδεῖς, καὶ πυκνοὶ γίνοντες. ὡσάντως δ' εἰ καὶ τὰ τῆς ἀῤῥωστίας κρατοίη πολλῷ. καὶ γὰρ οὖν καὶ τότε μικροὶ καὶ βραδεῖς, καὶ πυκνοὶ γίνονται. τῆς μέντοι μαλακότητος κρατούσης, ἐγγύς τι τῶν κατὰ φύσιν οἱ σφυγμοὶ φαίνεται. βραχεῖ γὰρ ἀπολειπομένη τοῦ κατὰ φύσιν ἡ δύναμις οὐ κωλύεται διαφυλάττειν, οὔτε τὸ ποσὸν τῆς διαστολῆς, οὔτε τὸ ποιὸν τῆς κινήσεως, ὥσπερ ὅταν ὀργάνων συμπέσῃ σκληρότητι τηνικαῦτα μὴ γὰρ κωλύεται ἡ διαστολή. πυκνοῦντες δ' ἐξ ἀνάγκης εἰς τοσοῦτον οἱ σφυγμοὶ, εἰς ὅσον ἐλλιπὴς ἑκάστη γίνεται

τῶν ἐνεργειῶν

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 97 sur 494

τῶν ἐνεργειῶν. Ὅταν δ' ἡ μὲν δύναμις ἐπ' ὀλίγον ἀσθενῆ, μαλακοὶ δ' οἱ χιτῶνες ὦσιν οἱ τῶν ἀρτηριῶν, ὅτε βραδυτέρας γενομένης τῆς κινήσεως, ὅτε μικροτέρας τῆς διαστολῆς, καὶ διὰ τοῦθ' ἱκανῶς τῆς χρείας πληρουμένης, οὐδ' εἰς πυκνότητα τίς γένηται μεταβολὴ τῶν σφυγμῶν. Λοιπὸν δ' ἂν εἴ πάσας ὁμοῦ συμπλέξαι τὰς τῶν συνεκτικῶν αἰτίων διαφορὰς, γίνονται δὲ τὸν ἀριθμὸν ὀκτὼ. δύο διὰ ὅταν ἐκλυθείσης ἅμα τῆς τε δυνάμεως καὶ τῆς χρείας, ποτὲ μὲν μαλακώτερον αὐτοῦ γένηται τὸ ὄργανον, ποτὲ δὲ σκληρότερον. δύο δ' ἄλλαι, τῆς μὲν δυνάμεως ἐκλυθείσης, τῆς δὲ χρείας πληθείσης, τῶν δ' ὀργάνων ἢ μαλακῶν ἢ σκληρῶν γενομένων καὶ ἄλλαι δύο τῆς μὲν δυνάμεως ἐρρωμένης, τῆς χρείας δὲ ἐκλελυμένης ἅμα τῇ τῶν ὀργάνων ὑπαλλαττομένῃ διαφορᾷ. δύο δὲ λοιπὰ τῆς μὲν δυνάμεως ἐρρωμένης, τῆς δὲ χρείας πληθεταμένης, ἅμα τῇ προειρημένῃ τῶν ὀργάνων διαφορᾷ. ἐκλυθείσης μὲν οὖν τῆς δυνάμεως ἅμα καὶ τῆς χρείας, εἰς μικρότητα μὲν καὶ βραδυτῆτα πάντως οἱ σφυγμοὶ τρέπονται καθ' ἑκατέραν τῶν ὀργάνων τὴν διαφορὰν. πυκνοῦνται δ' οὐκ ἐξ ἀνάγκης. ὥσπερ οὐδ' ἀραιοῦνται, ἀλλὰ τούτων ἑκάτερον αὐτοῖς ἐν μέρει προσγίνεται, παρά τε τὴν τῶν ὀργάνων διαφορὰν, καὶ τὸ ποσὸν τῆς βλάβης καθ' ἑκάστην τῶν συνεκτικῶν αἰτίων. ὀλίγης μὲν γὰρ οὔσης τῆς ἐν τῇ δυνάμει βλάβης, καὶ τῶν ὀργάνων μὴ πάνυ σκληρῶν ὑπαρχόντων, οὐδὲ μία γίνεται κατὰ πυκνότητα σφυγμῶν ἀλλοίωσις. ἐρρέθη γὰρ καὶ πρόσθεν, ὅτι μὴ τοὺς σφυγμοὺς μόνους, ἀλλὰ καὶ πᾶσας ἁπλῶς τὰς ἐνεργείας πυκνοῦσθαι συμβαίνει, διὰ τὸ καθ' ἑκάστην αὐτῶν ἐλλιπὲς, τὸ δ' ἐλλιπὲς, ὡς τῇ χρείᾳ, μετρεῖται, καὶ τοῦτ' εἴρηται πρόσθεν. ὅταν οὖν ἐκλυθῇ μὲν αὐτὴ, βραχεῖα δ' ἡ τῆς δυνάμεως ἡ βλάβη, τηνικαῦτα μὲν οὐκ ἂν ἐλλιπὴς ἡ ἐνέργεια γένοιτο, πλὴν εἰ δι' ὀργάνων ἄμετρον σκληρότητα. ἐὰν τοίνυν μεγάλως μὲν ἡ δύναμις βλαβῇ μετρίως δ' ἡ χρεία ἐκλυθῇ, σκληρὰ δ' ἱκανῶς ἀπτελεσθῇ τὰ ὄργανα, μικροτέρους ἀνάγκη γίνεσθαι τοὺς σφυγμοὺς τῆς χρείας, καὶ διὰ τοῦτ' ἐλλιπῆ τὴν ἐνέργειαν. εἰς ὅσον δ' ἐλλιπεστέραν, εἰς τοσοῦτον καὶ πυκνοτέραν. ἀλλὰ καὶ αὐτὴν τὴν μικρότητα τε καὶ βραδυτῆτα τῶν τοιούτων σφυγμῶν οὐχ ὡσαύτως ἔχειν διὰ παντὸς οἷόν τε. Περὶ γὰρ τὸ μᾶλλον τε καὶ ἧττον, ἢ τοι τὴν δύναμιν, ἢ τῆς χρείαν βεβλάθαι, ἀνάγκη τοὺς αὐτοὺς τοὺς σφυγμοὺς, ἢ μᾶλλον ἢ ἧττον εἰς μικρότητα τε τοὺς βραδυτῆτα μεταβάλλεσθαι. μικρότεροι μὲν γὰρ τοὺς διὰ τῆς ἀρρωστίαν τῆς δυνάμεως γίνονται, καὶ διὰ τῆς χρείαν ἐκλελυμένην, καὶ διὰ τῆς τῶν ὀργάνων σκληρότητα, ἀλλ' ἧττόν τε τοὺς μᾶλλον πάσχουσι τοῦτο πρὸς τὸ ποσὸν τῆς ἀλλοιώσεως ἑκάστου τῶν αἰτίων, ἢ κατὰ μόνας, ἢ κατὰ σὺν δύο, ἢ πάντων ὁμοῦ βεβλαμμένων. κατὰ μόνας μὲν, ὅταν μικρότατος ὁ σφυγμὸς γένηται, ἢ τοι τῶν ὀργάνων σκληροτάτων ἀπτελεσθέντων, ἢ τῆς δυνάμεως ἀρρωστούσης ἐσχάτως. ἀρκεῖ γὰρ καὶ τὸ ἕτερον αὐτῶν ὁποτερονοῦν, ὡς εἴρηται βλαβὲν, μικρότερον ἐργάσασθαι τὸν σφυγμόν. κατὰ σὺν δύο δὲ, ὥσπερ ὅταν ἐσχάτως μὲν γένηται μικρὸς, οὐκ εἰς ἔσχατον δὲ βλάβης ἥκη τι τῶν εἰρημένων αἰτίων, ἀλλ' ἑκάτερον αὐτῶν τοσοῦτον ἀπλείπεται τῆς ἄκρας βλάβης, ὥστε τὸν ἐξ ἀμφοῖν ἀπτελούμενον σφυγμὸν, ὁμοίως ἠλλοιῶσθαι τοῦ διὰ θάτερον ἐσχάτως βεβλαμμένῳ. οὕτω δὲ καὶ εἰ τὰ τρία γένη τῶν αἰτίων εἰς ἑνὸς σφυγμοῦ γένεσιν συνδράμοι, ποιήσειεν ἂν ποτε τηλικαύτην ἀλλοίωσιν, ὅσῃ καὶ δι' ἣν ἐξ αὐτῶν ἄκρως βεβλαμμένον ἐγένετο. καὶ χρὴ τούτου μεμνῆσθαι πρὸς πάντα τὸν λόγον, ὅπως μή τις ἐξαπατηθεὶς τὴν ἐξ ἁπάντων τῶν αἰτίων ἐσχάτως βεβλαμμένων γινομένην ἀλλοίωσιν, ἐξ ἀνάγκης ἡγεῖται μείζονα τῆς ἐξ ἑνὸς ὑπάρχειν. ἀρκεῖ γὰρ, ὡς εἴρητι, δὴ ἣν ὁτοιοῦν αἴτιον ἀκριβῶς βεβλαμμένον, εἰς ἐσχάτην ἀλλοίωσιν ἀφικέσθαι τοὺς σφυγμοὺς. ἡγοῦν τῆς δυνάμεως εἰς τοὔσχατον κατάπτωσις μικροτάτους ἐργάζεται τοὺς σφυγμοὺς, κἂν μαλακοὶ μὲν οἱ χιτῶνες οἱ τῶν ὀργάνων ὑπάρχωσιν. ἐπεὶ δὲ ἡ χρεία, ὥστε καὶ τούτου πάλιν ἐν τοῦ καθόλου μεμνῆσθαι χρήσιμον, ὡς πολλάκις μὲν εἰς τὴν τῶν ἐσχάτων σφυγμῶν γένεσιν πλειόνων αἰτίων δεῖ, πολλάκις δ' ἣν ἀπόχρη. μέγιστος μὲν οὐκ γένοιτο δι' εὐρωστίαν ἄκραν δυνάμεως, εἰ μὴ καὶ τἄλλα συντελεῖ. μικρότατος δ' ἄν ποτε γένοιτο δι' ἀρρωστίαν. καὶ τό γε τούτου θαυμασιώτερον, τῶν λοιπῶν αἰτίων πολλάκις τὴν ἐναντιώτατον σφυγμὸν οἰκεῖον ἐχόντων, καὶ καθ' ἣν ἐξ αὐτῶν τὸ κρατοῦν ἡ τροπὴ γίνεται. κρατεῖ δ' ἄλλο, νῦν μὲν εἰ τύχη, δυνάμεως ἀρρωστία, δι' ἣν μικρότατος ὁ σφυγμὸς ἐγένετο. αὖθις δ' ὀργάνων σκληρότης, καὶ αὖθις πάλιν χρείας κατάλυσις. ὥσπερ γὰρ ἀρρωστούσης ἐσχάτως τῆς δυνάμεως, οὐκ ἂν οὔθ' ἡ μαλακότης τῶν ὀργάνων, οὔθ' ἡ τῆς χρείας ἔπειξις αὐξήσει τὸ μέγεθος, οὕτω καὶ κατασκληρυνθέντων τῶν ὀργάνων, οὐδὲν οὔθ' ἡ δύναμις ἐρρωμένη συντελέσει πρὸς τὸ μέγεθος οὔθ' ἡ τῆς χρείας ἔπειξις. ὥσπερ δὲ δι' ἣν αἴτιον ἐσχάτως βεβλαμμένον ἐσχάτη σφυγμῶν ἀλλοίωσις γίνεται πολλάκις, οὕτως ἔστιν ὅτε πάντων ἅμα τῶν αἰτίων εἰς ἑνὸς σφυγμοῦ γένεσιν συντελούντων, οὐδέπω τὴν ἐσχάτην ἀλλοίωσιν ἔσχηκεν ὁ πρὸς αὐτῶν ἀπτελούμενος. εἰ γὰρ ἅμα μὲν ἄρρωστος ἡ δύναμις, ἅμα δὲ ἡ σκληρότης μὲν τῶν ὀργάνων, ἔκλυσις δὲ τῆς χρείας, οὐδ' οὕτως ἀναγκαῖον μικρότατον γενέσθαι τὸν σφυγμὸν, καί τοι πάντων τῶν εἰρημένων αἰτίων μικρὸν γενναῖν πεφυκότων. ἀλλ' ἐὰν μή τε ἣν ὁτιοῦν ἐξ αὐτῶν ἔσχατον ἥκη βλάβης, μή τε τὸ ἐξ ἁπάντων ἀθροιζόμενον κεφάλαιον ἴσον ἢ τῇ καθ' ἣν μεγίστῃ κακώσει, τὸν σφυγμὸν οὐκ ἐνδέχεται γενέσθαι μικρότατον. Ὅπερ οὖν ἔφην, οὐδὲν οὕτω σκοπεῖν χρὴ κατὰ τὰς ἀλλοιώσεις τῶν σφυγμῶν, ὡς τὸ ποσὸν τῆς βλάβης τῶν αἰτίων. ἀλλὰ τοῦτο μὲν κἂν τοῖς περὶ τῆς δι' αὐτῶν προγνώσεως ἐροῦμεν, ἐν δὲ τοῦ πρόντι λόγῳ μεταβῶμεν, ὠθὶ τῆς τρίτην τε τοῦ τετάρτην συζυγίαν τῶν ὀκτὼ τῶν προειρημένων, ἐνταῦθα που καταλιπόντες ἤδη τὸν περὶ τῶν πρώτων δυοῖν λόγων. εἰ γάρ τι καὶ πρεῖται κατὰ ταύτας, ῥᾳδίως ἐκ τῶν προειρημένων ἂν εὑρεθήσεται. ὅταν οὖν ἀρρωστῇ μὲν ἡ δύναμις. ἐπείγῃ δ' ἡ χρεία, σκληρὸν δ' ἦ τὸ ὄργανον, μάλιστα μὲν εἰς πυκνότητα, δεύτερον δ' εἰς μικρότητα, τρίτον δ' εἰς βραδυτῆτα τῆς τροπὴν τῶν σφυγμῶν εὑρήσεις γινομένην. οὐ μὴν γ' ἐξ ἀνάγκης οὔτε διὰ παντὸς, οὔτε καθ' ἕκαστον αὐτῶν ὁτιοῦν, οὔθ' ἅμα, συμπίπτει πάντα. μεγάλης μὲν γὰρ οὔσης καθ' ἕκαστον τῶν αἰτίων τῆς βλάβης, μικρότατοι, τοῦ πυκνότατοι, καὶ βραδεῖς οἱ σφυγμοὶ γίνοντι. βραδεῖς μὲν, ὅτι τοῦ ἡ δύναμις ἀσθενὴς. μικρότατοι δὲ. διά τε ταύτην, καὶ διὰ τῆς τῶν ὀργάνων σκληρότητα. ὅτι δὲ τοιοῦτοι, διὰ τοῦτο τοῦ πυκνότατοι, καὶ πολὺ μᾶλλον, ὡσὰν τῆς χρείας ἐπειγούσης. καὶ τοίνυν καὶ χωρὶς ταύτης, ἀρρωστία δυνάμεως ὀργάνων σκληρότητι συνελθοῦσα, ἱκανὴ μικροτάτους τε καὶ πυκνοτάτους ἐργάσασθαι τοὺς σφυγμοὺς, ἐξ ὑπομέτρου δὲ τούτοις τὸ ἀπὸ τῆς χρείας βίαιον προσιόν, εἰς ὄλεθρον μὲν

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 98 sur 494

οὐ μικρὰ συντελεῖ, πυκνοτέρους δ' οὐκ ἂν ἔτι τοὺς σφυγμοὺς ἐργάσαιτο. καὶ γὰρ καὶ χωρὶς ταύτης ἦσαν ἤδη πυκνότατοι. εἰ μέντοι βραχεῖα μὲν ἥτε τῶν ὀργάνων εἴη βλάβη, καὶ ἡ τῆς δυνάμεως, πολλὴ δ' ἡ χρεία τῆς γενέσεως αὐτῶν, οὔτε μικρότεροι τῶν κατὰ φύσιν οὗτοι γε, οὔτε βραδύτεροι γένοιτ' ἄν, ἀλλ' ἔστιν ὅτε θάττους μὲν σαφῶς, μείζους δὲ κἂν μὴ σαφῶς, ἀλλ' ἴσοι γε ἐναργῶς τοῖς κατὰ φύσιν. ἐπειγούσης γὰρ ἱκανῶς τῆς χρείας κἂν ἀρρωστοτέρα τοῦ κατὰ φύσιν ἡ δύναμις ἦ κινεῖται ταχέως. πολὺ δ' ἂν μᾶλλον ἤυξησε τὸ μέγεθος τοῦ τάχους, εἰ μὴ πρὸς τῆς σκληρότητος ἐκωλύετο. νυνὶ δὲ διὰ τοῦτ' ὀλιγοτέρου γίνεται τὸ τάχος τοῦ μεγέθους, ὅτι τὸ μὲν, οὐδὲν ἐμποδίζει βραχεῖ σκληρότερον ἑαυτοῦ, γενόμενον τὸ ὄργανον. τοῦ μεγέθει δ' ἐναντιοῦται μάλιστα πάντων. πυκνοὶ δ' ὑπὸ τῶν τοιούτων οἱ σφυγμοὶ γίνονται τοῦ μὴ πληροῦσθαι τὴν χρείαν. εἰ δέ γε βραχεῖα, καὶ τάυτης ἡ εἰς τὸ παρὰ φύσιν ἐκτροπὴ γένοιτο, παντελῶς ὀλίγη τε. καὶ δυσδιάγνωστος ἔσται καὶ ἡ πυκνότης. πληροῦται γὰρ αὐτάρκως τηνικαῦτα τοῦ τάχει τε καὶ τοῦ μεγέθει, καὶ καθόλου φάναι, χρὴ παραβάλλειν ὑπὸ τῆς τοιαύτης συζυγίας, τοῦ ποσῷ τῆς χρείας, τὴν ὑπὸ τῆς δυνάμεως διὰ τῶν ὀργάνων ἀπτελουμένην ἐνέργειαν. ὅσον γὰρ ἀπλείπεται τῆς χρείας ἡ ἐνέργεια, τοσοῦτον ὑπὸ δίδωσιν εἰς πυκνότητα. μικρότεροι δ' αὖ πάλιν εἰς τοσοῦτον καὶ βραδύτεροι γινονται τοῖς οὕτω διακειμένοις, εἰς ὅσον ἂν ἤ τοι τὰ τῆς δυνάμεως, ἢ τὰ τῶν ὀργάνων ἐξίσταται τοῦ κατὰ φύσιν. ἀλλὰ περὶ μὲν τῆς τρίτης ἐπαλλάξεως τῶν αἰτίων ἱκανὰ καὶ ταῦτα. περὶ δὲ τῆς τετάρτης συζυγίας ἤδη λεκτέον. ἐφ' ἧς ἄρρωστος μὲν ἡ δύναμις, ἤυξηται δ' ἡ χρεία σὺν τῇ τῶν ὀργάνων μαλακότητι. δῆλον οὖν κἀπὶ τάυτης, ὡς εἰ μὲν ἡ κατὰ τὴν χρείαν αὔξησις, παμπόλλη γένοιτο, βραχὺ δ' ἀπλείποιτο τοῦ κατὰ φύσιν ἥ τε δύναμις καὶ τὰ ὄργανα, πολὺ μᾶλλον εἰς μέγεθος ἤπερ εἰς τὸ τάχος ὑπὸ δώσουσιν οἱ σφυγμοί. κατὰ μὲν γὰρ τὴν πρὸ τάυτης εἰρημένην συμπλοκὴν ἡ σκληρότης τῶν ὀργάνων ἀντέπραττε τοῦ μεγέθει τῆς διαστολῆς. κατὰ δὲ τὴν νῦν προκειμένην, οὐκ ὅπως ἀντιπράττῃ πρὸς τὴν διαστολὴν ἡ μαλακότης αὐτῶν, ἀλλὰ καὶ συνεργεῖ πάντων μάλιστα. μείζων οὖν ἐναργῶς ἔσται τοῦ κατὰ φύσιν ὁ σφυγμὸς, οὐ μὴν ὁμοίως γε καὶ θάττων ἐναργῶς. ἔσται δὲ καὶ πυκνότερος ὁ τοιοῦτος σφυγμὸς τοῦ κατὰ φύσιν. οὐ μὴν ὡσαύτως, οὐ δ' οὕτως τοῦ κατὰ τὴν τρίτην συζυγίαν, ὅτι νῦν ἡ χρεία μᾶλλον ἢ κατ' ἐκείνην πληροῦται. εἰ δὲ τὰ μὲν ἀπὸ τῆς χρείας τε καὶ τῆς δυνάμεως ὀλίγῳ τινὶ παραλλάττοιτο τοῦ κατὰ φύσιν, ἡ δ' εἰς μαλακότητα τροπὴ τῶν ὀργάνων εἴη συχνὴ, πλησίον τῶν κατὰ φύσιν ἐν ταῖς τοιαύταις διαθέσεσι οἱ σφυγμοὶ γενήσονται, καὶ τοῦ ποσῷ τῆς διαστολῆς, καὶ τοῦ ποιῷ τῆς κινήσεως, καὶ τοῦ χρόνῳ τῆς ἡσυχίας, ἑνὶ δὲ μόνῳ τοῦ μαλακῷ τῆς προσβολῆς, οὐδὲν γὰρ ἴδιον ἀχώριστον αὐτῶν, διαλλάξουσι τῶν κατὰ φύσιν. εἰ δὲ τὰ τοῦ μὲν ἀπὸ τῆς χρείας τε καὶ τῶν ὀργάνων μὴ μεγάλην ἔχοι τὴν ἐκτροπὴν, ἡ δύναμις δ' ἰσχυρῶς κάμνοι, μικροὶ μὲν ἱκανῶς καὶ πυκνοὶ, μετρίως δ' ἂν εἶεν οἱ τοιοῦτοι βραδεῖς. ἀρκεῖ καὶ περὶ τάυτης τῆς συμπλοκῆς τοσαῦτα. μεταβῶμεν δ' ὑπὸ τὰς ἑξῆς δύο, κοινὸν μὲν ἐχούσας τὴν τε ῥώμην τῆς δυνάμεως, καὶ τὴν χρείαν τῆς γενέσεως τῶν σφυγμῶν ἐκλελυμένην διαφερούσας δ' ἐν τοῖς ὀργάνοις, ἡ μὲν δὴ ἑτέρα αὐτῶν ἐφ' ἧς σκληρὸν μὲν τὸ ὄργανον, εὐρωστία δ' ἐστὶ δυνάμεως, ἐλάττων δ' ἡ χρεία, μικροτέρους μὲν πάντως ἐργάζεται τοὺς σφυγμούς. οὐ μὴν οὔτε βραδυτέρους, οὔτε πυκνοτάτους ἐξ ἀνάγκης. ἀλλ' εἰ μὲν ἱκανῶς ἐκλυθείη τι τῆς χρείας μετρίως τῶν ὀργάνων ἐσκληρυσμένων, οὐ μικρότεροι μόνον, ἀλλὰ καὶ βραδύτεροι σαφῶς καὶ ἀραιότεροι γενήσονται. εἰ δὲ πλείων ἡ τῶν ὀργάνων εἴη κάκωσις ἤπερ ἡ τῆς χρείας, μικρὸς ἱκανῶς ὁ τοιοῦτος σφυγμὸς γίνεται, καὶ διὰ τοῦτο πυκνός. διὰ δὲ αὐτὸ τοῦτο καὶ ἧττον βραδὺς τοῦ κατὰ τὴν προτέραν διάθεσιν. εἰ γὰρ μήθ' ἡ χρεία πληροῦται καὶ ἡ δύναμις εὔρωστος ἐστὶν, οὐκ ἄρ' ἀξιολόγως γένοιτο βραδύς. οὐ πληροῦται δ' ἡ χρεία διὰ τὴν μικρότητα διαστολῆς. αὕτη δ' εἵπετο τῇ σκληρότητι τῶν ὀργάνων. μαλακὰ δ' εἴπερ ἦν, οὐ ἂν ἐλάττων σαφῶς τοῦ κατὰ φύσιν ὁ σφυγμὸς ἦν, πλὴν εἰ μὴ μεγάλως ἠλάττωτο τὰ τῆς χρείας. καὶ πάντως ἂν εἰς τοσοῦτον ἀραιότερος ἐφαίνετο, εἰς ὅσον ἂν καὶ τὰ τῆς χρείας καθήρατο. καὶ μέν τοι καὶ βραδὺς, σαφῶς μὲν, ὑπὸ ταῖς ἀξιολόγοις τῆς χρείας ὑπαλλαγαῖς, οὐ σαφῶς δ' ὑπὸ ταῖς ἐλάττοσι. ἀλλ' ἤδη καὶ περὶ τούτων τῶν συμπλέξεων αὐτάρκως διειλεγμένοι, τῶν ὑπολοίπων δυοῖν μνημονεύσωμεν, ἐφ' ὧν αὐξηθείσης μὲν τῆς χρείας ῥωσθείσης δὲ τῆς δυνάμεως οἱ χιτῶνες τῶν ἀρτηριῶν, ποτὲ μὲν μαλακοί. ποτὲ δὲ σκληροὶ γίνονται. μαλακῶν μὲν δὴ ὄντων αὐτῶν, πάντως μὲν οἱ σφυγμοὶ μεγάλοι τε καὶ ταχεῖς γενήσονται. πυκνοὶ δ' οὐκ ἐξ ἅπαντος, ἀλλ' ὅταν ἐξ αἴσιος ἡ τῆς χρείας αὔξησις ἦ. τηνικαῦτα γὰρ οὔτε τὸ μέγεθος τῆς διαστολῆς, οὔτε τὸ τάχος τῆς κινήσεως ἱκανὰ πληροῦν τὴν χρείαν. ὀλίγης δ' οὔσης τῆς ὑπερβολῆς ἀπχρώντως ὑπηρετεῖ καὶ τὸ μέγεθος μόνον. εἰ μέν τοι σκληροὶ γενηθεῖεν οἱ τῶν ἀρτηριῶν χιτῶνες πολυειδῶς ἐν ταῖς τοιαύταις διαθέσεσιν οἱ σφυγμοὶ τρέπονται. βραχείας μὲν γὰρ οὔσης τῆς σκληρότητος, ἀξιολόγου δὲ τῆς κατὰ τὴν χρείαν ὑπαλλαγῆς, καὶ μείζους καὶ θάττους καὶ πυκνοτέρους τῶν κατὰ φύσιν ἔσονται. ἴσης δὲ καθ' ἑκάτερον τῶν αἰτίων τῆς εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς γενομένης, καὶ μήδε πάνυ τι μήδ' ἑτέρας ἰσχυρᾶς, ἴσοι μὲν τοῖς κατὰ φύσιν, ὠκύτεροι τε καὶ πυκνότεροι γίνονται. εἰ δ' ἰσχυρὰ βλάβη καὶ τῆς χρείας καὶ τῶν ὀργάνων γένοιτο, τῶν μὲν σκληρυνθέντων ὑπὸ μᾶλλον, τῆς δ' ἐπειγούσης ἀμετρότερον, θάττους μὲν ἂν ἔτι καὶ νῦν εἶεν τῶν κατὰ φύσιν, μικρότεροι δὲ καὶ πυκνότεροι. ἐπεὶ δὲ καὶ περὶ τούτων εἴρηται τὰ εἰκότα, λοιπὸν ἂν εἴη προχειρισάμενον ἕνα τινὰ σφυγμὸν, ἐπ' αὐτοῦ διδάξαι τὸ χρήσιμον τῆς αὐτοῦ γυμνασίας. ἔστω δὴ ὁ ταχὺς, ὃν οἰκεῖον ῥώμης τε καὶ δυνάμεως ἐλέγομεν ὑπάρχειν, καὶ χρείας ἐπειγούσης καὶ ὀργάνων μαλακότητος. πῶς οὖν οὕτως εὑρεθεὶς ἐφ' ἑνὸς ἀρρώστου διορισθήσεται, πηνίκα μὲν ὑφ' ἑνὸς τῶν εἰρημένων αἰτίων πηνίκα δ' ὑπὸ δυοῖν, ἢ καὶ πάντων γίνετο, τὸν δὲ τρόπον. ἐπειδὴ τῆς μὲν ἰσχυρᾶς δυνάμεως, ὁ σφοδρὸς ἀχώριστος ἐστὶ, τῶν δὲ μαλακῶν ὀργάνων ὁ μαλακός, ὅταν μὲν χωρὶς ἀμφοτέρων τούτων τὸ τάχος, ἐκ τῆς χρείας ἐπειγούσης μόνης γίνεται. ὅταν δὲ μετὰ θατέρου, πάντως μὲν καὶ ἐφ' ἐκείνου τοῦτο γνώρισμα παρέχοντος ἐξ ἀνάγκης δὲ καὶ διὰ τὴν τῆς χρείας αὔξησιν. ἐδείχθη γὰρ ἔμπροσθεν, ὡς οὐχ οἷόν τε γενέσθαι ταχεῖς σφυγμοὺς, ὥσπερ οὐ δὲ μεγάλους ἄνευ τοῦ τὴν χρείαν καλεῖν. ὁπόσον μὲν οὖν τι μετέβαλλεν εἰς

ῥώμην

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 99 sur 494

ῥώμῃ ἢ εἰς ἀῤῥωστίαν ἡ δύναμις, ἐκ τῆ ἰδίου αὐτῆς σφυγμῶ γνῶσι διαγινώσκειν. ὅτῳ δὲ καὶ πρὸς τῆ ὀργάνου ἡ ποιότης. καὶ γὰρ καὶ τούτης γνῶσεις ἔχομεν σφυγμούς. ὁπόσου δὲ ἡ χρεία ἡ γνώσεως αὐτῶν, τεκμήρεσθαι χρὴ συλλογιζομένου ἐκ ἡ κατὰ τὸ μεγεθός τε καὶ τὴν τυκνότητα καὶ τὸ τάχος μεταβολῆς. εἰ γὰρ καὶ μεγίσ῀ καὶ τυκνότατος ἅμα αὐτὸς εἴη καὶ τάχισ῀, ἐχάτως ἐπείγεται ἡ χρεία. εἰ δ' ἁπλῶς μέγας τε καὶ θάτῃον βραχεῖ, μὴ μὴν τοι μέγισ῀ τε καὶ τυλινδ῀, οὐκ ἂν εἴη μεγάλη ἡ χρείας ἡ μεταβολή, πρὸς ᾧ καὶ ἀπὸ τῆ ἄλλων γνωρισμάτων χωρὶς τῆ σφυγμῆ δύνασθαι προγινώσκεσθαι τὰ ἡ χρείας τῶς ἔχῃ. εἴτε γὰρ θρμασίας εἴη πλῆθος, εἴτε ἀπανὴ τῆ ψυχικῆ πνεύματος, ὁ χαλεπὸν διορίζαῖ. ἡ μὲν γὰρ θρμασία τὴν ἀφὴν ὀκ ἂν λάθοι, τὰ πολλὰ δὲ καὶ ᾧ ἡ συνωνοίας ἥδ' ἀφέστατα γνωρίζεται, καὶ δίψει, καὶ τῇ ὄνδυ ἀιαθήσει τῆ κάμνοντος. ἡ δὲ τῆ ψυχικῆ πνεύματος ἀνάλωσις, ὄντε τοῖς γυμναζομένοις καὶ διαφορουμένοις, καὶ τοῖς εἴσω ῥεύμασι γίνεται, ὧν ὀδὲν λάθοι τὸν ἰατρόν. ὁ δὲ χρὴ νῦν ἡμᾶς ὠφῖ πλέον ἐστὲ αὐτῆ λέγειν, ὁ γὰρ ἡ αὐτῆ προκειμένης πραγματείας, ὅτι μὴ πάρεργον, ἀλλὰ τ῀ προγνωσιλῆς ὄντ῀ ὁ πιὸτος λόγ῀. ἐμνημονδύσαμεν δ' αὐτῆ νῦν, ὑφ' εἷς καθαι τοῖς πρὸς τὸν Αρχιγένη βαλόμενοι, πῶς τοῖς πρὸς ἡ γνώσεως τῆ τάχε῀ σφυγμῶ κακῶς αὐτοῖς εἰρημένοις ὡς ὁ χαλεπόν ὄντ῀ ἀῤῥυθμίαν ἐκάστοτε τὴν ποιήσασαν αἰτίαν. ἔσται δὲ καὶ διὰ τῆ ἀῤῥήτ῀ ἐπὶ σαφέστερον τοῦτο, πρὸς τῆ ὑπολοίπων σφυγμῶν ἡ γνώσεως, εἰ διέλθωμεν πρότερον, οἷον τῆ τε ἀτάκτων καὶ ἀρύθμων καὶ ἀνωμάλων καλουμένων. καὶ μάλιστα εἰ καὶ ᾗ μίαν διαζολὴν ἡ ἀρτηρίας ἔχῃ τοιὸτον.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΟΙΣ ΣΦΥΓΜΟΙΣ ΑΙΤΙΩΝ

ΛΟΓΟΣ. Β'

Περὶ μὲν οὖν τῆ σφοδροῦ σφυγμοῦ καὶ τῆ σκληροῦ καὶ τῆ μεγάλου, καὶ πρὸς ἔτι τάχε῀ τε καὶ τυκνοῦ καὶ τῆ ἐναντίων αὐτοῖς, ἅμα τῆ πρώτου διῆλθομεν λόγου, τῆς θ' ἡ γνώσεως ἑκάστου καὶ πόσων αἰτίων ἔστι, καὶ πῶς ἀλλήλοις συμπαρίστανται, καὶ τινὰ μὲν ἐξ ἀνάγκης αὐτῶν ἕπονται ταῖς γνώσαις αἰτίαις, τινὰ δ' οἰκεῖοι μὲν εἰσὶν αὐταῖς, οὐ μὴν ἀναγκαῖάν τε τὴν ἀκολουθίαν ἔχουσιν. ἐξῆς δ' ἂν εἴη περὶ τῆ ὑπολοίπων σφυγμῶν ἡ γνώσεως διελθεῖν, καὶ πρῶτόν γε τῆ ἀνωμάλων. ἐπεὶ δὲ τούτων, οἱ μὲν ἐν μιᾷ κινήσει ἡ ἀρτηρίας τὴν ἰσότητα διαφθείρουσι, οἱ δ' ἐν πλείοσιν, ἧν πρ῀ δὴ καὶ συνημματικὴν ἀνωμαλίαν ἔθ῀ ὀνομάζειν. καὶ ἔσιν αὕτη πολὺ σαφεστέρα ἡ καθ' ἕνα μόνον σφυγμὸν γινομένης, κάλλιον ἂν εἴη περὶ πρ῀τέρας τούτης ποιήσασθαι τὸν λόγον. ἔπονται δὴ πάντες οἱ τοιοῦτοι σφυγμοί, καθόλου μὲν φάναι, ταῖς τε ἡ καρδίας ἀνωμάλοις δυσκρασίαις, καὶ κακώσεσιν ὀργάνων, ἢ διαθέσεων. ἢ γὰρ ἐμφράξεσιν, ἢ θλίψεσιν, ἢ σκληρότησιν, ἢ πλήθεσιν ὑπογίνονται. πλῆθους νῦν ἀκουομένου, τὸ πρὸς τὴν διαθέσιν μετρουμένου. ὁ μὲν ἀρκεῖ ῥ῀ μόνον γιγνώσκειν τοῖς αὐτῆ, ἀλλὰ χρὴ τά τε ᾗ μέρος ἅπαντα διορίζαθαι καὶ τὴν οἰκείαν ἀπόδειξιν ἑκάσῳ ποδοθῆναι, τριῶν δ' ὄντων σωτικῶν αἰτίων γνώσεως σφυγμῶν, ὀργάνου καὶ διαθέσεως καὶ χρείας, ἅμα μὲν τὴν ἡ χρείας ἀλλοίωσιν, ὑφ' οἷον τε γνώσ῀ τ῀ ἐν τοῖς σφυγμοῖς ἀνωμαλίαν συνημματικὴν ἀναγνῶ. ὁ δὲ γ' ἐξαίφνης, ὁ δὲ ἀθρόως εἰς τοσοῦτον ποτὲ μεταβάλλειν ἐγχωρεῖ τὴν χρείαν, ὥστε, εἰ τύχοι τὸν σφυγμὸν τὸν πρότερον μὲν γνῶναι μέγαν, ἢ ταχὺν, ἢ τυκνότερον, τὸν δὲ δεύτερον μικρὸν, ἢ βραδὺν, ἢ ἀραιόν. εἴ τε γὰρ αὔξησις εἴη ἡ κατὰ φύσιν θρμότητος, εἴτε μείωσις, εἴτε πλέωμ, εἴτε ἐλάττωμ, διαπανᾷ τῆ ψυχικῆ πνεύματος, οὐδὲν τούτων ἀθρόως ὅτως ἴσχει μεταβολὴν, ὡς αὖ σφυγμοὺς ἀνίσους ἐργάσθαι. μάθοις δ' ἂν ἀκριβῶς ἐκ τῆ γινομένων παροξυσμῶν ἐν ἅπασι τοῖς ὠφελίμοις πυρετοῖς, οἷον τοῖς τ' ὠῖ βουβῶσι καὶ τριταίοις τοῖς ἀκμάζουσι, καὶ τοῖς δι' ἐγκαυσιν, ἢ ψύξιν, ἢ ὁτιῆν ἄλλο τοιοῦτον. ἅπας γὰρ ὁ ἀπὸ ἡ ἀρχῆς αὐτῶν ἕως ἡ ἀκμῆς χρόν῀, ἀνάλογον τῇ κατὰ θρμασίαν αὐξήσει, καὶ τοὺς σφυγμοὺς εἰς μέγεθος, καὶ τάχ῀, καὶ τυκνότητα τρέπων, οὐδέ ποτε τὸν δεύτερον σφυγμὸν τῆ πρώτου ἀκριβῶς ὑφ' ἑνὸς κινοῦντα διαφέροντα. ἀλλ' εἰ μὲν χρόνον τινὰ συχνὸν διαλείποις, καὶ μείζων ἐναργῶς καὶ θάτῃον καὶ τυκνότερος φαίνεται. παραυτίκα δ' ὁ δεύτερος τόρ῀, πλὴν εἰ σωέλθοι ποτὲ τὴν πρώτην ὑπερβολὴν ἢ πλῆθος, λέγω τὸ πρὸς τὴν διάμιν νοούμενον, ἢ σφίγξις, ἢ θλίψις, ἢ σκληρότης ὀργάνου, ἢ ἡ καρδίας αὐτῆς δυσκρασία τῆς ἀνώμαλ῀. ἅπερ ὀκ ἔτ' ἰδίοις νοσήμασος. καὶ γάρ τοι καὶ αὐτοῖς τοῖς ὑγιαίνουσιν, ὅταν ἢ τοι λουσάμενοι τύχωσιν, ἢ γυμνασάμενοι, διαπανωμένου μὲν τῆ πνεύματος, αὐξανομένης δὲ ἡ θρμασίας, μείζους καὶ θάτῃους καὶ τυκνότεροι τῆν κατὰ φύσιν οἱ σφυγμοὶ φαίνονται. ἀφῆ δὲ οὐ δέ ποτε ὁ δεύτερ῀ τῆ πρώτου τὴν διάγνωσιν ἴσχει. ὃς τις δ' ἀνωμάλως καὶ οὓς τοιούτους εἴη λέγει σφυγμούς, καὶ μὴ φαίνονται, ἡ μὲν ἐν τοῖς ὀνόμασι σωηθείας ἁμαρτία, ἀφώτερον δ' οὐδὲν διδάσκει οὐ δὲ γὰρ οὓς ἂν ὁ λόγ῀ ἐξεύρῃ κατά τινα συλλογισμὸν, ἀνίσους τούτους ἐνωμάλους εἰώθαμεν καλεῖν, ἀλλ' οὓς ἂν ἐναργῶς αἰσθάνεσθαι διαγινώσκομεν ὄντας τοιούτους. καλείτω δ' οὖν εἴ βούλοιτό τις καὶ τούτους ἀνωμάλους, ἀλλ' ἐκεῖνο γ' ἴσω, ὡς οὐ δέ μία τῆ αἰσθήσεως ἀνωμαλίαν ἅμα τὴν ἡ χρείας ἀλλοίωσιν γίνεται. ταῦτα μὲν δὴ ἦρκει καὶ τοσαῦτ' εἰς ἐνάργειαν, τὸ μηδ' ἐπὶ τῆ συνημματικὴν καλουμένην ἀνωμαλίαν ἀλλοιώσει χρείας ἕπεσθαι. προσκείσθω δ' ἔτι, τὸ, ᾗ οὖν θυμοὺς γίνεται φαινόμενον, ἐπεσθ' ἡ καὶ οὗτοι ἡ ἐμφύτου θρμασίας οἷον ζέσις τις ἐν δοκοῦσιν. ἀνώμαλοι τοίνυν καὶ τούτοις οἱ σφυγμοὶ γίνονται ποτέ, κατὰ μὲν τὸν ἴδιον αὐτῶν λόγον οὐδαμῶς, ἴσαν γὰρ ἂν ἀεὶ τοιοῦτοι, φόβου δέ τινος σωθραμόν-

τος αὐτοῖς. διὸ λογώς δὴ τοιαῦτα ποικίλοι τε καὶ ἀνώμαλοι φαίνονται, ὡς ἂν ὁ μόνον τὸν διαφορότατον ἀτρίων, ἀλλὰ καὶ τῇ φύσει ἐναντίων ἀλλοιούμενοι. διὰ μὲν γὰρ τὴν τῆς ἀντιπεριστάσεως ὄρεξιν, ὑγροὶ καὶ μεγάλοι καὶ ταχεῖς καὶ σφοδροί, διὰ δὲ τὴν τοῦ τι παθεῖν μᾶλλον ἢ δρᾶσαι προσδοκίαν, μικροὶ καὶ ταπεινοὶ καὶ ἀμυδροὶ καὶ βραδεῖς γίνονται. ἐναλλὰξ οὖν ἀλλήλοις ἑκάτεροι φαίνονται τῆς τῶν κρατούντος ἀτρίου φύσιν ὑπαλλαττόμενοι. κρατεῖ δέ ποτε μὲν ὁ θυμὸς μᾶλλον, ποτὲ δὲ τὸ ἐπιθ. ἀλλὰ καὶ αὐτὸς ὁ φόβος, ὁ γοῦν ἰσχυρὸς ἀνωμάλως ἐργάζεται οὔτε σφυγμὸς, κακώσει δυνάμεως, μὴ ἀλλοιώσει χρείας. πῶς οὖν ἡ δυνάμις κακουμένη οὔτε σφυγμὸς ἀνωμάλως ἐργάζεται; οὐκ γὰρ ἐφεξῆς ἐστιν εἰπεῖν. ὅταν μὴ πάντα τῷ ὀργάνῳ κρατεῖν, ὡς ὅταν γε κρατῇ, πάντας ὁμοίως τε καὶ ἴσως ἀρτηλῇ. εἰ δέ που σφάλλει περὶ τὴν ἐνέργειαν, οἷον ὀκλάσασα, διαφθείρει τοῦτη τὴν ἰσότητα. χρὴ δὲ προσέχειν ἀκριβῶς τοῖς λεγομένῳ τὸν νοῦν, ἵνα μή τις οἰηθῇ πάσῃ κακώσει δυνάμεως ἀνάγκης ἕπεσθαι τὴν συμπαθικὴν ἀνωμαλίαν. ὁ γὰρ ὅτως ἔχει. ἀλλ' ὅταν μὲν κατὰ τὸν ἑαυτῆς λόγον ἀρρῶστῃ, πανοίως ποτὲ οὔτε σφυγμὸς ἀνωμάλως ἀρτηλεῖ. ὅταν δ' αὐτὴ μὲν ἰσχυρὰ καθ' ἑαυτὴν ᾖ, βαρυύηται δ' ὑπὸ πλήθους, ἢ λυωσθῇ παντάπασιν ἔχει τὰ ὄργανα, τοιαῦτα τὴν ἐρημίαν ἀνωμαλίαν ἐργάζεται. μαθεῖν δ' ἐνέστιν ὅ βούλομαι ἀφέξομαι δὲ παραδείγματος. ἀναμνησθῶμεν γὰρ λυοῦσι ἀνθρώπων βαδίζοντων ἀτρέμα. ἔστω ἡ μὲν ἑτέρου ἰσχυροτάτη τε ἅμα καὶ νεωτάτη, ἀλλὰ βαστάζετω μέγιστον φόρτιον. ὁ δ' ἕτερος μηδὲν ὅλως βαστάζετω, πάνυ δ' ἀσθενὴς ἔστω διὰ νόσου, ἢ γῆρας. ὅτ' οὖν μέγα προβαίνοντες, ὅτε ταχέως ὅτοι, καὶ τάυτη μηδὲν ἀλλήλων διαφέροντες εἰς τὴν ἐνέργειαν ἐκείνος διοίσουσι, ἢ τὰ πολλὰ μὲν ὡσαύτως ὁ ἀσθενὴς βαδιεῖται, διαφέροντος δὲ καὶ ἀνωμάλως, καὶ ἄλλοτ' ἀλλοίως ὁ ἰσχυρός. ὁ μὲν γὰρ δι' εὐπροθυμηθείη δυνατός ὄσιν, ἢ μεγάλῃ ἢ ταχείαν ποτὲ τὴν ἐνέργειαν ποιήσασθαι, ὁ δ' ἰσχυρὸς τὰ πολλὰ μὴ καὶ αὐτὸς ὁμοίως, ἔστι δ' ὅτε πλέονι προθυμίᾳ χρησάμενος, καὶ θᾶττον καὶ μᾶλλον ἐνέργησε πῶς γοῦν ὀλίγου ἔστ' αὖθις ὑπὸ τοῦ φορτίου κινηθεὶς εἰς τὴν ἀρχῆς βραδυτῆτα τε καὶ μικρότητα τῆς ἐνεργείας ἐπανῆλθε. ταυτὸν δὴ οὖν συμπίπτει καὶ τῇ διὰ τῶν ἀρτηριῶν ἐνεργείᾳ. καταπεπληγμένας μὲν γὰρ εἰς ἰκανὸν ἀδύνειαν τῆς δυνάμεως, ἀμυδροὶ καὶ μικροὶ καὶ βραδεῖς οἱ σφυγμοὶ γίνονται. εἰ δ' ἐρρωμένη μὲν εἴη τὴν ἑαυτῆς λόγον, ὑπὸ δέ τινος πλήθους βαρύοιτο, ποικίλους ὅτω καὶ ἀνωμάλως ἀρτηλεῖ, οὐ πλείστους μὲν ἀμυδροὺς καὶ βραδεῖς καὶ μικρούς, ὅταν ἰσχυρῶς βαρυθῇ, οὐ πλείστους δ' ἂν πάλιν σφοδροὺς καὶ ταχεῖς καὶ μεγάλους, ὅταν ἐπ' ὀλίγον. ὁπόταν δὲ μήτ' ἰσχυρὰ πάνυ, μήτ' ἄγαν ὠθιεικὴς ἡ κάκωσις γένηται, ἐγγύς πῃ τοῦ πλήθει οὖν ἐναντίους ὡς μήτε πλέους ἔχειν εἰπεῖν μήτ' ἐλάττους, ἢ οὖν σφοδροὺς τῶν ἀμυδρῶν, ἢ οὖν μεγάλους τῶν μικρῶν, ἢ οὖν ταχεῖς τῶν βραδέων. ὅτω μὲν ἁ ἡ δυνάμεως βλάβαι οὖν σφυγμοὺς ἀνωμάλους ἐργάζονται.

Αἱ δὲ τῶν ὀργάνων τόν δὲ τὸν τρόπον. ὅταν αἱ πεφυκέμεναι χώραι τῆς ἀρτηρίας ἕνεκα τῆς διαστελλομένης αὐτὰς ἐκπλήττεσθαι, καταληφθῶσιν ὑπό τινος ἑτέρου σώματος, ἀνάγκη συνοχωρουμένας ἐν τούτῳ τὰς ἀρτηρίας ἀδυνατεῖν, αὐτάρκως διαστέλλεσθαι. τὸ καθ' ἑκάστην οὖν ἐνέργειαν ἐλλιπὲς, ἀθρόον ἐν ποτε κεφάλαιον ἀξιόλογον ἀρτηλεῖ, ὡς τε πολὺ τῆς χρείας ἀπολείπεσθαι τὴν ἐνέργειαν. τότε δ' ἤδη καὶ ἡ δυνάμις ἀναγκάζεται βιαίως τε καὶ σφοδρῶς ἐνεργεῖν, ἀρσείεσθαι καὶ διώσασθαι ἀναδύσασα τὰ προκείμενα τοῖς ὀργάνοις αὐτῆς, καὶ κωλύοντα τὰς κινήσεις. κἂν τούτῳ μείζονά τε τὴν ἐμποδὼν, ἀνάγκη καὶ σφοδρότερον καὶ ὠκύτερον γίνεσθαι τὸν σφυγμόν. ταυλιότερον δ' ἂν ὁ νῦν πρῶτον ἀλλ' οὐθὲν ἧττον ἀρχῆς ἐγένετο. δεδεικται γὰρ ἐν τοῖς πρὸ τούτου λόγῳ ταῖς ἐλλιπεσθείαις τῆς χρείας ἐνέργειαις, ἧττ ἀνάγκης ἕπεσθαι πυκνότητι σφυγμῶν. εἰ μὲν οὖν τῷ ἴσῳ ὁρμῇ ἡ δυνάμις ὧδε πάντῳ ἐφυλάττῃ ἐν ἁπάσαις ἐφεξῆς διαστολαῖς, ὁμοίως ἂν ἀεὶ μεγάλοι καὶ σφοδροὶ καὶ ταχεῖς ἐγίνοντο. νυνὶ δ' ὁ γὰρ φυλάττει ἀλλὰ πάλιν ὧδε τῷ ἧττ ἀρχῆς φέρεται κίνησιν, ἐν τούτῳ πολυειδής τε καὶ συνεχὴς ἡ ἀνωμαλία γίνεται. τί ἧ, μὴ φυλάττειν ἄτοπον ὄν, τὸ μηδὲν ἀνύσασαν αὐτῷ μέγα, κάμνειν ματαίως. εἰ μὲν ἐν ὑγρότητι εἴη τις προκεχυμένη ταῖς ἀρτηρίαις, ταῖς σφοδραῖς καὶ βιαίαις κινήσεσιν ὠθισμένη, μεταῤῥεῖν ἄλλοτ' εἰς ἄλλους ἀναγκάζεται τόπους, ἐς ἂν ἡ τοι κατά τινα πόρον ἐνεχθεῖσα, τὸν ἧττοχετεύσασα δυνάμενον αὐτῷ, ἐκπέσῃ τοῦ σώματος, ἢ καὶ λειπωθεῖσα τοῦ χρόνου, ἢ καὶ τελέως εἰς ἀτμὸς λυθεῖσα διαπνοὴν ἐν. καὶ τότω τέως ἀνάγκη ποικίλλειν τε καὶ συνεχῆ γίνεσθαι τὴν διαστολὴν, μήτ' ἴσον τὸ πλῆθος ἐν παντὶ τοῦ μεταξὺ χρόνῳ τῶν ὑγρῶν φυλαττομένων, μήτε τὰς αὐτὰς συνοχωρουμένας ἀρτηρίας, ἀλλ' ἧττ ἀκυρωτέρῳ πολλάκις μοίρᾳ εἰς τὰ κυρωτέρα, κἂν τότῳ αὖθις εἰς ἀκυρώτερα μεθισταμένων. εἰ δ' ἢ τι φλεγμονὴ ἴσ, ἢ ἀπόστασις, ἢ σκίῤῥος εἴη τὸ πάθημα τῶν προκειμένων ταῖς ἀρτηρίαις σωμάτων, ὑφ' ὃ βλίβον τέ τε καὶ συνοχωρῆσαι, διὰ μακροτέρων ὅτως ἀνάγκη χρόνων τοῖς ἴσοις σφυγμοῖς πρεμπίπτειν οὐκ αὐτοῖς. ἀεὶ γὰρ τὰ αὐτὰ μόρια τῶν ἀρτηριῶν βλίβειν πρὸς τὰ αὐτῶν, ἢ ἴσῳ τοῖς μεγέθεσιν, ἢ μὴ πρὸς ἐπισίῳ ὄγκῳ. γένοιτο δέ ποτε μὴ διὰ πλῆθος ἅμαξ ἢ διὰ ταῖς φλεψὶν ἢ ταῖς ἀρτηρίαις αὐτῶν ἐγκεχυμένα ἀνωμαλία σφυγμῶν. ἀλλ' αὖτη γε ταῖς φλεβοτομίαις τάχιστα παύεται. τὸ μὲν γὰρ ἐν ταῖς φλεψὶ πλῆθος. ὡς ἂν πρὸς ἀκμὴν ἑαυτῆς ἀρτηριῶν βλίβοντα καὶ συνοχωρῆν αὐτὰς ὁμοίως πρὸς φύσιν ὄγκῳ ἴσῳ ταῖς φλεβοτομίαις, αὐτίκα μὲν συναθεῖλε τὸν ὄγκον τῶν φλεβῶν. δεύτερος δὲ ταῖς ἀρτηρίαις χώραν ὑπερπῖπτεν πῶς τὴν κίνησιν πρέχον, ἐφ' ᾗ τὴν φύσιν ἐνέργειαν ἀκώλυτον λαβοῦσαι, τὴν ὁμαλότητα τῶν σφυγμῶν ἅμ' αὐτῇ τῷ φύσιν ἀνεκτήσαντο. τὸ δ' ἐν ταῖς ἀρτηρίαις αὐταῖς ἅμα τότῳ μὴ ὅπως γίνεσθαι ταῖς ὁδοῖς τὸ πνεύματος ἀ ἡ λόγε δεῖ. μάλιστα δὲ καὶ παχύ πως, ἢ γλίσχρον, ἢ καὶ ἐν τοῖς ἐχάτοις αὐτῶν πορᾶσιν ἐσφιγμένον εἴη. τοιαῦτα γὰρ ἂν ἐλλειψιν ἐκπεμπειν τὸ πνεῦμα δυνάμενα, πολυειδῆ ἅμα καὶ χαλεπωτάτην ἐργάζονται τὴν ἀνωμαλίαν, μάλιστ' ὅταν ἢ τοι ἡ καρδίας αὐτὴ ἐγγύς, ἢ καὶ πόῤῥω μὲν, ἀλλ' ἐν κυρίοις μορίοις ἡ σφίγξις τῶν ἐμφερομένων χυμῶν γίνεται. καθόλου τοίνυν εἰπεῖν, ἢ βλιβομένων ἰσχυρῶς τῶν ἀρτηριῶν, ἢ ἐμφερομένων ἀνωμαλία τις γίνεται περὶ αὐτὸ σφυγμὸς, κἂν μηδὲν ἡ δυνάμις πεπονθῇ. εἰ μήτοι καὶ ἡ δυνάμις ἔχει φάυλως, ὥστ' ἐπὶ τοιαύτῃ τῶν ὀργάνων διαθέσει, παντὶ που δῆλον, ὡς πολυειδεστέραν ἀνάγκη γίνεσθαι τὴν ἀνωμαλίαν, ὥσπερ γε καὶ εἰ

τῇ τῶν

κατὰ τὴν καρδίαν αὐτὴν ἀνώμαλος ὑπάρχει δυσκρασία, περὶ ἧς ἅπαντα τὸν λόγον ἀκριβώσαιμι ἐν τῇ προγνωστικῇ πραγματείᾳ. εἰ δὲ τὰ μὲν τῶν ὀργάνων ἔχει καλῶς, ἡ δύναμις δ' ἀσθενὴς εἴη μεγάλως, ἡ προειρημένη μὲν οὐκ ἂν εἴη ἡ μέν τοι μείουρος ὀνομαζομένη, γένοιτ' ἂν ἀνωμαλία. κατὰ γὰρ τὴν ὑπερβολὴν τῶν δακτύλων ἡ δύναμις νικωμένη, μικροτέρους ἀεὶ καὶ ἀμυδροτέρους ἐργάζεται τοὺς σφυγμούς. ἀφοδείξεως δ' οὐκ ἔτι δεῖ τοῦ λόγου. δέδεικται γὰρ ἐν τοῖς περὶ διαγνώσεως αὐτάρκως. ἀλλ' ὃ χρὴ προσθῆναι χρήσιμον εἰς τὰ παρόντα, τοῦτο προσκείσεται. Τὴν ἀσθένειαν τοῦ τοὺς σφυγμοὺς ἐργαζομένης δυνάμεως οὐκ ἴσην ἐν πάσαις ταῖς διαθέσεσι ὑπάρχειν ἀναγκαῖον. ἀλλὰ πάμπολυ δή τοι τὸ μᾶλλον τε καὶ ἧττον ὑπάρχειν. ἡ μὲν δὴ πρώτη καὶ βραχεῖα, μικροτέρους μὲν καὶ ἀμυδροτέρους, οὐ μὴν γε μυούρους ἐργάζεται τοὺς σφυγμούς. ἡ δὲ ὑπὲρ ταύτῃ τοσούτῳ μείζων, ὡς ἤδη καὶ τοὺς ὑπερβαλλομένους δακτύλους ἄχθος εἶναι τῇ δυνάμει, τῶν μειούρων ἐστὶ σφυγμῶν ἀπετελεστική. διττῆς δ' οὔσης ἐν αὐτοῖς τούτοις διαφορᾶς, οἱ μὲν γὰρ αὐτῶν εἰς τὴν ἐξ ἀρχῆς κίνησιν ἐπανέρχονται, καὶ καλοῦσιν αὐτοὺς μειούρους παλινδρομοῦντας, οἱ δ' αὐτόθι που κατα στρέφουσιν, ἰστέον ὡς οἱ μὲν πρότεροι μικροτέραν ἐνδείκνυνται τὴν ἀσθένειαν. ἀναμάχεται γάρ πως ἡ δύναμις ἔτι, καὶ οἷον ἀθροίζουσα καὶ συστρέφουσα πολλάκις ἑαυτὴν, τάξει μὴ τὸ μέγεθος οὕτω, τῶν σφυγμῶν, αὔξει δὲ καὶ τὸν τόνον. οἱ μέν τοι καταμένοντες ἐν ἐσχάτῃ μικρότητι, καὶ μηκέτ' ἐπανερχόμενοι, μείζονας ἢ κατὰ τούτους ἐμφαίνουσι λελύσθαι τὴν δύναμιν, ὥσπερ εἰ καὶ τελέως ἐκλείποιεν, ἐσχάτην τινὰ τὴν ἀῤῥωστίαν ἐνδείξονται. ὅτι μέν τοι τούτων ἁπάντων ἡ διάγνωσις ὑπεικειμένων τῶν δακτύλων ταῖς ἀρτηρίαις, καὶ μηδόλως αἱρομένων γίνετο παντί που τρόδηλον. εἰ γὰρ αἴροντες αὐτοὺς, εἶτα μετ' ὀλίγον ὑπερφέροντες εὑρίσκομεν καθ' ἑκάστην ὑπεβολὴν ἐκλελοιπυῖαν τὴν κίνησιν. ἀσφυξίαν τε τοῦτο καλοῦμεν παντελῆ καὶ οὐκ ἐκλείποντα σφυγμόν. πολύ δ' οἶμαι διαφέρειν ἀσφυξίαν ἐκλείποντος σφυγμοῦ. ἡ μὲν γὰρ οἷον στέρησίς ἐστιν ἁπάσης τοῦ ἐνεργείας, πρὸς γοῦν τὴν αἴσθησιν, ὁ δ' ἐξ ἡμίσειας ἀπώλεια. ὁπόταν οὖν ὑπερβάλλοντι μέν τοι τοὺς δακτύλους ἡ κίνησις ἐμφαίνηται, φυλάττοντι δ' ὑπεικειμένους, ἐκλυθεῖσα, κατὰ βραχὺ πάυσηται παντάπασι, τοὺς μὲν σφυγμοὺς τοὺς τοιούτους ἐκλείποντας ὀνομάζειν. τὴν διάθεσιν δ' ἡγεῖσθαι μέσην τοῦ τε τῶν μειούρων σφυγμῶν καὶ τοῦ παντελοῦς ἀσφυξίας. ὅσῳ δὲ τῶν μειούρων χαλεπωτέραν, τοσούτῳ τοῦ ἀσφυξίας ὑπεικεστέραν. τρεῖς μὲν οὖν αὗται διαθέσεις τοῦ ποσῷ τοῦ βλάβης διαφέρουσαι. τετάρτη δ' ἡ τῶν παλινδρομούντων μειούρων, ἢ πασῶν ὑπεικεστάτη. πέμπτη δ' ἔτι προσκείσθω ταύταις, ἡ τῶν διαλειπόντων, προηγουμένη δηλονότι τοῦ τῶν ἐκλειπόντων ὃ γὰρ ἐφ' ἑνὸς, ἢ δυοῖν, ἢ ὅλως ἀριθμοῦ τινὸς σφυγμῶν ἦν, τοῦθ' ἡ τῶν ἐκλειπόντων ὑπὲρ πάντων ἐργάζεται. πρόδηλοι δὲ καὶ αὐτῶν τῶν διαλειπόντων αἱ διαφοραί. μείζονες μὲν γὰρ αἱ βλάβαι τοῦ δυνάμεως, ὅταν πλείονες. ἐλάττονες δ' ὅταν ὀλιγώτεραι κινήσεις ἐκλείπωσιν. ἡ δὲ τῶν παρεμπιπτόντων καλουμένων σφυγμῶν διάγνωσις, ἐναντία τῇ τῶν διαλειπόντων ἐστὶν, εἶεν δ' ἂν δηλονότι καὶ οὗτοι τῶν ἀνωμάλων ἐν ἀθροίσματι, καὶ γίνονται τοῦ δυνάμεως ἐῤῥωμένης μὲν, ἀλλ' ὑπὸ πλήθους χυμῶν, ἢ ἐμφράξεως ὀργάνων ἐνοχλουμένης. ὡς οὖν ἵνα διώσηται τὰ λυποῦντα μείζονας πολλάκις καὶ σφοδροτέρους καὶ ὠκυτέρους τοὺς ἐργάζεται σφυγμοὺς, οὕτω καὶ πλέονες, ἐν ταῖς τοιαύταις διαθέσεσι μάλιστα, καὶ ὑψηλοὶ γίνονται σφυγμοὶ καὶ διὰ τοῦτο κριτικῆς ἐκκρίσεως εἰσὶ σημεῖα. οὐ μόνον δὲ δι' ἀῤῥωστίαν δυνάμεως, ὁ διαλείπων γίνεται σφυγμός. ἀλλὰ καὶ δι' ἐμφραξιν ὀργάνων ἰσχυρὰν, ἢ θλίψιν τοῦ νὰ καὶ στενοχωρίαν, ὅταν μηδ' ὅλως εἰς ἑαυτὰς ἕλξαι τι δυνηθῶσιν αἱ ἀρτηρίαι. περὶ μὴ οὖν τοῦ ἐν ἀθροίσματι τῶν σφυγμῶν ἀνωμαλίας, ἱκανὰ καὶ ταῦτα. Περὶ δὲ τοῦ καθ' ἕνα λεκτέον ἐφεξῆς. εἰσὶ δὲ ταύτης πάμπολλαι μὲν αἱ κατὰ μέρος διαφοραί. πειρατέον δ' ἡμῖν εἰς τὰς καθόλου πάσας ἀναγαγεῖν, ὧν σαφῶν γενομένων, κἂν εἴ τι τῶν κατὰ μέρος ὑπολείποιτο, ῥᾳδίως ἐκ τῶν προειρημένων εὑρήσεται καὶ τὰ λοιπά. καὶ ἡ γ' ἀρχὴ τοῦ λόγου ἡ αὐτὴ γιγνέσθω, ἥπερ κἂν τοῦ περὶ διαφορᾶς αὐτῶν. ἠρξάμεθα δ' ἐν ἐκείνῳ διαιρούμενοι τοῦ κινήσεως αὐτῆς πρῶτον τὴν ἀνωμαλίαν, ἡ τοι διακοπτομένης, ἢ συνεχοῦς μενούσης, ἢ ἐπανερχομένης. καὶ τοίνυν ἐννέα διαφορὰς ἐδιδάξαμεν γινομένας, ὁπόταν διαστελλομένης τοῦ ἀρτηρίας ἡσυχία τις ἐν τοῦ μέσῳ γινομένη τὴν ὅλην διαστολὴν εἰς τρεῖς τέμνη χρόνους. ἐξῆς οὖν ὑπὲρ ἑκάστης αὐτῶν ἐνταῦθα σκεψώμεθα τὰς αἰτίας ζητοῦντες. καὶ πρῶτον γε τοῦ πρώτης ἐν αὐταῖς ῥηθείσης, ὅταν ὠκέως ἀρξαμένη τοῦ κινήσεως ἡ ἀρτηρία, κἄπειτα μικρὸν ἡσυχάσασα τὸ λεῖπον τῇ διαστολῇ, μετὰ ταῦτα προσθῇ, βραδέως κινηθεῖσα. γίνεται γὰρ τοῦτο τὶ μὲν χρείας ἐπειγούσης, τοῦ δυνάμεως δὲ ὑπηρετούσης μὲν ὅσον ἐφ' ἑαυτῇ, κωλυομένης δ' ἢ τοι δι' ὀργάνων βλάβην, ἢ πλῆθος ἀξιόλογον. ἐπεὶ εἴ γε μὴ διεκόπτετο ποτὲ τοῦ ἡσυχίας ἡ διαστολὴ, πάντως ἂν ἦν μεγάλη. τοιαύτη δ' οὐκ ἂν γένοιτο χωρὶς τοῦ καὶ τὴν χρεῖαν καλεῖν καὶ τὴν δύναμιν ὑπηρετεῖν. ὅτι δὲ οὐκ ἐνδέχεται μικρὰν διαστολὴν ἡσυχίᾳ μεταλαβεῖσθαι, μάθοις ἂν ἐννοήσας, ὡς οὐδεὶς τῶν μικρῶν σφυγμῶν εἰς δύο αἰσθητὰ μόρια τμηθῆναι δύναται. οὗτος δέ γε ὑπὲρ οὗ νῦν ὁ λόγος, εἰς δύο τέτμηται σαφεῖς σφυγμοὺς, τόν τε πρὸ τῆς ἡσυχίας τὸν ταχὺν, καὶ τὸν ὑπὲρ ταύτῃ τὸν βραδύν. εἰ μὲν δὴ καὶ ἑκάτερος αὐτῶν ἀξιόλογον ἔχοι μέγεθος, οὗτος ἂν ὅλος εἴη τῶν μεγίστων. εἰ δὲ μὴ, ἀλλ' οὐ μικρός γε πάντως ἐστὶ, κἂν ἐκ μικρῶν δυοῖν συννοῆται. δηλοῖ δὲ τὴν ῥώμην τῆς δυνάμεως, καὶ τὸ τοῦ προτέρας κινήσεως τάχος, ὥσπερ γε καὶ τὸ τοῦ χρείας ἐπεῖγον, ἡ μετὰ τὴν ἡσυχίαν κίνησις ἐνδείκνυται, οὐ γὰρ ἄνευτούτου, συνεπλήρωσεν ἄν ποτε τὴν ἐξ ἀρχῆς ὁρμὴν ἡ δύναμις, ἀλλὰ ἔνθα πρῶτον ἐπεσχέθη κινουμένη, κατέπαυσεν ἂν ἐνταῦθα τὴν διαστολὴν, μικρὸν ἕνα τοῦτον ἐργασαμένη σφυγμόν. ὥσπερ οὖν καὶ φαίνεται μυριάκις ἐνταῖς συστηματικαῖς ἀνωμαλίαις μικρὸς γινόμενος ὁ σφυγμὸς, οὐ τοῦ μὴ δύνασθαι κινεῖσθαι τὴν δύναμιν, ἀλλὰ τοῦ κωλύεσθαι. πολλάκις οὖν τὸν ἐφεξῆς αὐτῷ μέγιστον εἰργάσατο, συστρέψασα, καθάπερ ἂν εἴποι τις ἑαυτὴν, καὶ οἷον ἀθροίσασα καὶ ἀνακτησαμένη, καὶ παντὶ τοῦ τόνου βιαίως χρησαμένη. ἐνὸν οὖν αὐτῇ καὶ νῦν ἐργάσασθαί τι τοιοῦτον, οὐκ ἐργασαμένη, τὴν χρείαν ἐπείγειν ἐνεδείξατο. πόθεν οὖν ὅτι πλῆθος ἄμετρον, ἢ θλίψις ὀργάνων. ἢ ἔμφραξις ἐμποδίζουσι τὴν κίνησιν, πρῶτον μὲν ἐκ τοῦ τήν τε δύναμιν ἐῤῥῶσθαι καὶ τὴν χρείαν ἐπείγειν. οὐ γὰρ ἂν ἔτι λοιπὸν οὐδὲν εἴη τοῦ βλάβης αἴτιον ἔξω τῶν εἰρημένων, ἔπειτα δὲ κἀξ αὐτῆς τοῦ

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 102 sur 494

φύσεως αὐτῶν. εἴτε γὰρ πλῆθος εἴη τὸ βαρύνον, οὐκ ἀδύνατον ἐν τῷ μέσῳ τῆς διαστολῆς στάσαν τὴν δύναμιν καὶ οἷον ἀναπαυσαμένην οὕτως τὸ λεῖπον προσθεῖναι, εἴτ' ἔμφραξις τῶν ὀργάνων ἰσχυρά, ἢ θλίψις τὶς βίαιος, ἴσχεσθαι τὴν κίνησιν εἰς τοσοῦτον εὔλογον, εἰς ὅσον ἀπορρεῖ τοῦ πληρώσοντος πνεύματος τὴν χώραν τῆς διαστολῆς. ἀλλ' ἐπεὶ τὸ τελέως ἴσχεσθαι, τοῦ τελέως ἀποκεκλεῖσθαι τὰς ὁδοὺς τοῦ πνεύματος ἐνδεικτικόν ἐστιν. διὰ τοῦτο καὶ τῆς θλίψιν καὶ τὴν ἔμφραξιν ἰσχυρὰν εἶναι φαμέν. τοῦτο μὲν δὴ κοινὸν ἁπασῶν τῶν ἐφ' ἡσυχίας τεμνομένων διαστολῶν. ἰδίᾳ δὲ ἑκάστης αὐτῶν τὰ νῦν λεχθησόμενα. τῆς μὲν πρώτης ἱκανῶς βαρύνεσθαι τὴν δύναμιν ὑπὸ τοῦ πλήθους ὅταν γε διὰ πλῆθος ὁ σφυγμὸς γίνεται τοιοῦτος. ἡ γὰρ ὑστέρα κίνησις ἡ μετὰ τὴν ἡσυχίαν οὐκ ἂν ἄλλως ἐγένετο βραδεῖα τῆς προτέρας οὔσης ὠκείας, εἰ μὴ ἐνενίκει τό τε καὶ ἰσχυρῶς ἐβεβάρητο πρὸς τοῦ πλήθους ἡ δύναμις. ἔμπαλιν δ' ὧν τῆς δευτέρας ἔχει διαφορᾶς ἐφ' ἧς ἀμφότερα τὰ μέρη τῆς κινήσεως ἐστι ταχέα. φαίνεται γὰρ ἀναφερόνσα καὶ διασώζουσα τὸν τόνον ἡ δύναμις καὶ διαμαχομένη τῷ πλήθει. μέση δ' ἀμφοῖν ἐστὶ δηλονότι διάθεσις ἐφ' ἧς καὶ ἡ κίνησις ἡ δευτέρα μέση ταχείας τε καὶ βραδείας ὅπερ ἐστὶ σύμμετρος. αὗται μὲν οὖν τρεῖς διαφοραὶ τῶν ἡσυχίας σχιζομένων διαστολῶν. ἕτεραι δὲ τρεῖς ὅταν τῆς προτέρας κινήσεως βραδείας γινομένης, ἡ δευτέρα τὰς τρεῖς τρέπηται τροπὰς ἢ τοι βραδεῖα, ἢ ὠκεῖα, ἢ σύμμετρος γινομένη, καὶ δηλονότι καὶ ταύταις χειρίστη μὲν ἐφ' ἧς αἱ κινήσεις ἄμφω βραδεῖαι. πολὺ δ' ὑπλεικεστέρα ταύτης ἐφ' ἧς ἡ δευτέρα ταχεῖα. μέση δ' ἀμφοῖν ἐφ' ἧς ἡ σύμμετρος. οὕτω δὲ κἂν εἰ τῆς πρώτης κινήσεως συμμέτρου γινομένης, ἡ δευτέρα τὰς τρεῖς τρέποιτο τροπάς. ὑπλεικεστέραν μὲν ἐνδείξεται διάθεσιν ἡ ὠκεῖα κίνησις. ὀλεθριωτέραν δ' ἡ βραδεῖα. μέσην δ' ἡ σύμμετρος. πασῶν δὲ τῶν ἐννέα διαφορῶν, ὑφ' ἧς τινος ἂν αἰτίας γίνωνται, χειρίστη μὲν ἡ ἀμφοτέρας ἔχουσα τὰς κινήσεις βραδείας. ὑπλεικεστάτη δ' ἡ ἀμφοτέρας ταχείας. μέση δ' ἐφ' ἧς ἀμφότερα σύμμετρα. καὶ ἄλλαι δὲ μεταξὺ τῆς τε μέσης καὶ τῶν ἀκρῶν ἑκατέρας, ἀνάλογον. ἀλλὰ καὶ χρόνος οὗτος ὁ τῆς ἡσυχίας, ὅσῳ περ ἂν πλείων γίγνετο καθ' ἑκάστην τῶν εἰρημένων ἐννέα διαφορῶν, τοσούτῳ χαλεπώτερον. ἔμπαλιν δὲ τῶν κινήσεων ὁ χρόνος αὐξανόμενος ὑπλεικεστέραν ἐμφαίνει τὴν διάθεσιν. ὡσαύτως δὲ καὶ τὸ τῶν διαστολῶν ἀμφοτέρων μέγεθος ἄριστον. ὥσπερ οὖν ἡ μικρότης χείριστον. οὕτω δὲ καὶ ἡ μὲν σφοδρότης ἄριστον, ἡ δ' ἀμυδρότης, χείριστον. εἰ δ' ἅπαντα ἅμα συνέλθοι τὰ εἰρημένα κακὰ περὶ ἕνα σφυγμόν, οὗτος ἂν ὁ χείριστος εἴη αὐτῶν. ὥσπερ εἰ καὶ πάντα τὰ ὑπλεικέστατα, ὁ βέλτιστος. ὁ μὲν γὰρ, εἴτε πλῆθος εἴη τὸ βάρυνον τὴν δύναμιν, νενικῆσθαι αὐτὴν ἀξιολόγως, εἴτ' ἔμφραξις τὶς ἐν ταῖς ἀρτηρίαις, ἐν κυρίαις, μὲν ταύταις, καὶ οὐ πόρρω τῆς ἀρχῆς, μεγάλην δὲ καὶ αὐτὴν τὴν ἔμφραξιν ὑπδείκνυται, εἴτε θλίψις τὶς καὶ στενοχωρία, πᾶσαν ὀλίγου δεῖν κατηλῆφθαι δηλοῖ τὴν χώραν τῶν ἀρτηριῶν. ὁ δ' ὑπλεικέστατος ἐν αὐτοῖς, ἐφ' οὗ δηλονότι καὶ αἱ κινήσεις ἀμφότεραι ταχεῖαι τε καὶ μεγάλαι καὶ σφοδραὶ, καὶ ὁ χρόνος ὁ τῆς ἡσυχίας βραχὺς, τὴν μὲν δύναμιν κρατεῖν τοῦ πλήθους ἐνδείξεται, τὰς δ' ἐμφράξεις τε καὶ θλίψεις τῶν ἀρτηριῶν, ἢ μικρὰς, ἢ οὐκ ἐν κυρίοις, ἢ πόρρω τῆς ἀρχῆς. ταῦτα μὲν οὖν τῆς καλουμένης ἰδίως προγνωστικῆς θεωρίας ἔχεται τῇ κοινωνίᾳ τοῦ λόγου συναναγραφέντα. Μεταβάντες δ' ἤδη σκεψώμεθα περὶ τῶν συνεχῆ μὲν τὴν κίνησιν ὅλης αὐτῆς τῆς διαστολῆς ἐχόντων σφυγμῶν, οὐ μὴν ἰσοταχῆ τε πᾶσαν. εἴρηται δὲ καὶ περὶ τούτων ἱκανῶς ἐν τῷ περὶ διαφορᾶς τῶν σφυγμῶν, ὁπόσαι μὲν αἱ πάσαι τούτου τοῦ γένους διαφοραὶ γίνονται, πόσοι δὲ καὶ οἱ καθ' ἑκάστην αὐτῶν σφυγμοί. ὥς τε οὐδὲ τούτων τὸν ἀριθμὸν ἔτι χρὴ νῦν ἐπεξιέναι, ἀλλ' ὑπὲρ τὰς αἰτίας αὐτῶν ἰτέον, ὡς οἷόν τε καὶ ταύτας ἐν τῷ καθόλου διεξιόντας, ὑπὲρ τοῦ βραχύτερον γίνεσθαι τὸν ἅπαντα λόγον. ὅσοι μὲν δὴ αὐτῶν ἀπὸ τῆς ἀρχῆς ἄχρι τοῦ τέλους εἰς τάχος διαδιδόασιν, ἧττον βαρύνεσθαι τὴν δύναμιν ἐμφαίνουσιν, ὅσοι δ' ἔμπαλιν, μᾶλλον. οὐ μὴν λυωμένης γε τῆς δυνάμεως οὐδεὶς τούτων γίνεται. μεγάλοι γὰρ ἅπαντες εἰσὶ, καὶ μάλισθ' ὅσον εἰς διαστήματα τρία καὶ χρόνους τρεῖς ἢ τέτταρας αἴσθησιν ἐγχωρεῖν οἷόν τε τὴν κίνησιν. ἴδιον δὲ τῶν ἀθρόαν εἰς τἀναντία ποιουμένων τὴν μεταβολὴν, τὸ μὴ τῆς δυνάμεως μόνης βαρυνομένης, ἀλλὰ καὶ ἔμφραξιν ἢ θλίψιν ὀργάνων γίνεσθαι, λέγω δ' εἰς τἀναντία ποιεῖσθαι μεταβολὴν ἀθρόως, εἰ κινούμενοι ταχέως. ἐξαιφνίδιον ἐγένοντο βραδεῖς, ἢ ἔμπαλιν ἐκ βραδείας τῆς πρόσθεν κινήσεως, ὠκεῖς. γίγνονται γὰρ οὗτοι δι' ἐμφράξεις μέν τινας καὶ στενοχωρίας, ἀλλ' ἧττον χαλεπὰς τῶν διαλειπόντων, καὶ τῆς δυνάμεως δ' αὐτῆς ὑπὸ πλήθους βαρυνομένης, ἀλλ' ἧττον ἢ ἐν τοῖς διαλείπουσιν. οὐ γὰρ ἴσον δή που τὸ κακόν ἐστιν, ἢ ὑπαλλαγῆναι τῆς κίνησιν, ἢ κωλυθῆναι. οἱ γὰρ κατὰ μέρος μέν τοι τούτου τοῦ γένους τῆς ἀνωμαλίας σφυγμοί, τή ποτ' ἀλλήλων διαφέρουσι, καὶ τίνευ μὲν εἰσὶν αὐτῶν ὀλεθριώτεροι, τίνευ δὲ, καὶ αὐτοὶ, καὶ ὑπλεικέστεροι, ῥάδιον μὲν καὶ αὐτὸν τινὰ τῶν ἐντυχγανόντων ἐξευρεῖν. κἀξ ὧν ὑπὲρ τῶν διαλειπόντων εἰρήκαμεν † ὠρμημένοι. εἰρήσονται μέν τοι καὶ πρὸς ἡμῶν ἐν τοῖς περὶ τῆς διὰ σφυγμῶν προγνώσεως. ὁ γάρ τοι παρὼν λόγος, οὐδὲν αὐτῶν ἔτι δεῖται, ὡς κατὰ τὸ κοινὸν τοῦ γένους, κοινὰς καὶ τὰς τῆς γενέσεως ἐχόντων αἰτίας, ἃς δὴ νῦν πέπαυμαι λέγων. ἀλλ' ὑπὲρ τὸ λοιπὸν ἔτι γένος τῆς καθ' ἓν μόριον τῆς ἀνωμαλίας, οὓς δικρότους ὀνομάζομεν σφυγμοὺς ἤδη μετιτέον. ἐλέγομεν δ' αὐτοὺς ἐξ ἀνάγκης εἶναι κλονώδεις. οὔκουν οἷόν τε τὰς αἰτίας αὐτῶν ἐξευρεῖν ἀκριβῶς, πρὶν τὰς τοῦ κλονώδους ὑπλεμελῶς διασκέψασθαι. γίνονται τοίνυν οὗτος ὅταν ἡ μὲν δύναμις εὔρωστος ἦ, τὸ δ' ὄργανον σκληρὸν, ἐπείγη δ' ἡ χρεῖα. εἰ γὰρ ἕν τι τούτων ἐκλείπει, κλονώδης οὐκ ἂν γένοιτο. τὸ γάρ τοι συνέχον αὐτοῦ τὴν γένεσιν, ἔστι βίαιος διαστολὴ σκληρᾶς ἀρτηρίας. οὐ γὰρ ἂν ἄλλως κραδαίνοιτό τε καὶ διασείοιτο πάντη, μὴ οὐκ ἀμφοτέρων τούτων συνελθόντων. εἴτε γὰρ ἡ ἀρτηρία μόνη σκληρυνθείη, μὴ μέν τοι βιάζοιτο διαστέλλειν αὐτὴν ἡ δύναμις ὑπὲρ πλεῖστον, οὐκ ἂν οὐδεὶς δή που γένοιτο κλόνος, ἀλλ' αὐτὸ δὴ τοῦτο μόνον ὁ καλούμενος σκληρὸς σφυγμός. εἰ δ' ὑπὲρ πλεῖστον μὲν ἡ δύναμις ἐθέλει διαστέλλειν τὰς ἀρτηρίας, αἱ δ' ἕποιντο μαλακότητι συμμέτρῳ, μέγας μὲν ἂν οὕτως, ἀλλ' οὔ τι γε κλονώδης, οὔθ' ὅλως σκληρὸς ἔσται. εἴπερ οὖν μέλλει κλονώδης ἔσεσθαι, δῆλον ὡς διαστέλλειν αὐτὰς ἡ δύναμις ὑπὲρ πλεῖστον ἢ πεφύκασι βιάζεται. ἀλλ' οὐκ ἂν εἰ μὴ πρὸς τῆς χρείας ἐπειγούσης ἠναγκάζετο, βιαίως ἂν ποθ' ὥρμησεν ἐνεργεῖν ἡ δύναμις. ὥστ' εὐλόγως ἐρρῶσθαι μὲν ἔφαμεν χρῆναι τὴν δύναμιν, ἐσκληρύνθαι δὲ τὰς ἀρτηρίας, ἐπείγειν δὲ τὴν χρείαν.

† al. ὠρμημένον

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 103 sur 494

χρείαν. αὐτὴν δὲ ταύτην τὴν ἔπειξιν ὑπό τινος ποτὲ αἰτίας γίγνεσθαι λεκτέον. οὐ δὲ γὰρ οὐδὲ ὅσον χρὴ παραλιπεῖν. ἔστι δὲ μία μὲν, ὡς ἂν οὕτω τις εἴποι, πρόσεχὴς αἰτία. πολλαὶ δ' αὖτης δημιουργοί. τίς οὖν ἡ μία, καὶ τίνες αἱ πολλαί; ἡ μία μὲν ὅταν ἁπλήρωτος ἡ χρεία μὴν πρὸς τῆς ἐνεργείας. αἱ πολλαὶ δὲ ταύτης ποιηταὶ, καθόλου μὲν φάναι δυνάμεως ἀρρωστία, καὶ ὀργάνων δυσπάθεια, καὶ τῆς χρείας αὔξησις. ἀλλ' ὥσπερ τὸ νῦν προκειμένου χάριν τῶν σφυγμῶν ἀφελεῖν χρὴ τὴν ἀρρωστίαν τῆς δυνάμεως. εἰσέρχεται γὰρ ἐρρῶσθαι. λοιπὸν οὖν ἤτοι τῆς χρείας αὐξανομένης, ἢ τῶν ὀργάνων ἀπειθούντων, ἢ καὶ ἀμφοῖν ἅμα συνελθόντων ἐλάττων ἡ διαχολὴ τῆς χρείας ἐν τοῖς λιποψυχοῦσιν ἔσται σφυγμοῖς. ἀλλ' ἡ μὲν χρεία τῇ πλεονεξίᾳ τῆς ὁρμότητος, ἢ τῇ διαπάνῃ τοῦ ψυχικοῦ πνεύματος αὐξάνεται. δυσπαθῆ δὲ γίνεται τὰ ὄργανα, διὰ ἐμφράξεις, ἢ θλίψεις, ἢ σκληρότητας. ὅταν δὲ αἱ σκληρότητες, ἢ φλεγμαινόντων, ἢ σκιῤῥουμένων, ἢ σκληρυνομένων, ἢ ξηραινομένων, ψυχομένων † τεινομένων γίνονται τῶν ὀργάνων. καὶ ὅτως ἤδη πάσας εὑρίσκομεν τὰς αἰτίας τῶν † al ἢ
χῆς, ὁ πολυχρόνιος φόβος. ἔκ τε τῶν ἐν τῷ σώματι περιεχομένων χυμῶν, ὅσοι ψυχροὶ τῆς κράσιν ἡσυχάζοντες πρότερον, ἐκινήθησαν νῦν, ἢ ὅλως ἰσχνότεροί πως ἐγένοντο τῶν θερμῶν. διορίζεσθαι δ' αὐτὰ κατὰ μέρος ἀναλογον τοῖς εἰρημένοις εἴη ὑπὸ τῶν θερμαινόντων ἀιτίων. δὶς γὰρ ὑπὲρ τοῦ ὁμοίων λέγειν οὐκ ἀναγκαῖον. ἡ μὲν δὴ κατὰ μέγεθός τε καὶ μικρότητα τροπὴ τῶν σφυγμῶν, ὑπὸ τοιούτων τε καὶ τοσούτων ἀιτίων ἀπτελεῖτε, πρὸς γοῦν τὴν φύσιν αὐτοῦ τοῦ πράγματος, ἐπεὶ πρός γε τὴν ἡμετέραν διάγνωσιν ἔτ' ἐνδεῖ, πολλάκις γὰρ ἡ μὲν ἀρτηρία διαστέλλεται μέγιστον ὅσον ὑπ' αὐτῆς, ἀπκρύπτεται δ' ἢ κωλύεται τὸ μέγεθος τῆς διαστολῆς διὰ τὸ πλῆθος, ἢ τὸ τάχος, ἢ τὴν σκληρότητα τῶν περικειμένων, ἢ προκειμένων σωμάτων. αὕτη μὲν γὰρ ἡ οὐσία τοῦ μεγάλων τε καὶ μικρῶν σφυγμῶν κατὰ τὸν κύκλον τῆς ἀρτηρίας συνίστατο, τοῦ μήκους ἴσου φυλαττομένου διὰ παντός. οὐ μὴν γε φαίνεται γ' ἴσον, ἀλλ' ἀπκρύπτεταί τι μέρος αὐτοῦ, καὶ λέλεκται μὲν οὖν ἤδη περὶ τούτου κἀν τοῖς δευτέρῳ τοῦ ἐν σφυγμοῖς ἀιτίων. εἰρήσεται δὲ καὶ νῦν ὅσον εἰς τὰ παρόντα χρηστὸν ἀναμνήσεως ἕνεκεν. Τῆς ἀρτηρίας τὸ μὲν ὕψος ἀναλόγως ἀεὶ τοῖς πλάτει διαστέλλεται. κατακρύπτεται δὲ, ἢ κολούεται πολλάκις ὑπὸ τῶν περικειμένων τε καὶ προσκειμένων σωμάτων, ἤτοι σύμπασα ἡ κίνησις, ἢ μοῖρα γέ τις αὐτῆς. καὶ οὐδὲν τὸ κολυούμενον, ἤτοι κατὰ τὸ βάθος μᾶλλον, ἢ κατὰ τὸ πλάτος, ἢ κατὰ τὸ συναμφότερον ὡσαύτως φαίνεται. ὅταν μὲν οὖν ἀδιάγνωστος ὡς πρὸς τὴν ἡμετέραν ἁφὴν ἡ κίνησις ἦ, καθ' ὅλον μὲν τὸ ζῶον συμβάντος τούτου, ὡς μιδαμόθι μηδὲ μίαν ἀρτηρίαν φαίνεσθαι κινουμένην, ἀσφυξία τὸ πάθημα προσαγορεύεται, κατὰ μὲν τὴν ἀλήθειαν οὐδέποτε ἐν ζῶντι σώματι γινομένη, κινεῖται γὰρ ἡ καρδία διαπαντὸς ἅμα ταῖς ἀρτηρίαις ἁπάσαις, ὡς μέν τοι πρὸς τὴν ἡμετέραν ἁφὴν ἔξωθεν ὑπὸ βαλλομένην πολλάκις εὑρισκομένη. πρόκεινται γὰρ δὴ † τούτων ἀρτηριῶν σωμάτων, πάντως μὲν ὑμένες τέ τινες καὶ δέρμα, πολλαχόθεν δὲ καὶ πιμέλη καὶ σάρξ, ὑφ' ὧν οὐ μόνον ἀπκρύπτεσθαι τὸν σφυγμὸν, ἀλλὰ καὶ κωλύεσθαι συμβαίνει. τελέως μὲν οὖν ἀπκρυπτομένης τῆς κινήσεως, εἰ μὲν ἐν ἅπασι τοῖς μέρεσι τῶν ἀρτηριῶν ἁπασῶν οὕτω συμβαίνει, τὸ πάθος ἀσφυξίαν ὀνομάζουσιν. εἰ δὲ κατὰ μέν τινα μέρη φαίνοιτο κινουμένα, τὰ δὲ μὴ, κατὰ τὸ μῆκός ἐν τούτῳ διαφορὰν ἴσχουσιν οἱ σφυγμοί. καὶ δὴ καὶ καλοῦντες μακροὶ μὲν, οἷς ἂν τὸ τῆς αἰσθητῆς κινήσεως μῆκος ὑπὲρ τὸ κατὰ φύσιν, βραχεῖς δὲ οἷς ἂν ἔλαττον τοῦ κατὰ φύσιν. οἷς δ' ἴσον τοῖς κατὰ φύσιν σύμμετροι. τοσοῦτον γὰρ ἀεὶ φαίνετο τῆς κινήσεως τοῦ ἀρτηριῶν, ὅσον ὑπὸ τρέπει τὰ προβεβλημένα σώματα. καὶ διὰ οὐδὲν τοῖς μὲν παχέσι βραχεῖς οἱ σφυγμοί. τοῖς δ' ἰσχνοῖς μακροί. καθάπερ καὶ τοῖς εὐσάρκοις τε καὶ συμμέτροις σύμμετροι φαίνοκεν. καὶ † αὐτοῖς μὲν τοῖς φαινομένης κινήσεως οὐκ ἀεὶ ὁμοίως κωλύεται τοῖς βάθει τὸ πλάτος. ἀλλ' ἐπειδὰν μὲν αἱ κατὰ τὰ πλάγια χώραι τοῦ ἀρτηριῶν, ἤτοι πιμελῆς, ἢ σαρκὸς, ἢ ἀτμῶν, ἢ ὑγρῶν ὦσι πλήρεις, τὸ δ' ὑπὸ κείμενον ἄνωθεν δέρμα καὶ μηδὲν αὐτὰς βαρύνει τοῦ πλάτους. ἡ κίνησις ἀμαυροῦται μόνον. καὶ μᾶλλον εἰ σφοδρὸς ὁ σφυγμὸς εἴη καὶ μέγας, ὅσον ἐφ' ἑαυτῶν. ἐπειδὰν καθαραὶ μὲν αἱ παρακείμεναι χώραι, ῥυσσὸν δ' ἢ τὸ ὑπὸ κείμενον αὐταῖς δέρμα, τοῦ βάθους ἡ κίνησις ἐν τῷ τοιούτῳ σώματι πλέον ἀφανίζεται, καὶ μᾶλλον εἰ μή τε σφοδρὸς εἴη ὁ σφυγμὸς, καὶ μέγας ὅσον ἐφ' ἑαυτῷ. Οταν οὖν εὕρης μακρότερον τοῦ κατὰ φύσιν σφυγμὸν, εἰ μὲν καὶ τὸ πλάτος αὐτοῦ, καὶ τὸ βάθος εἴη συνηυξημένον, ὑπὸ σκέπτου πότερον ὁ ἄνθρωπος ἰσχνότερος ἑαυτοῦ γέγονεν, ἢ θερμότερος, ἀφωρισμένης τῆς ὑπὸ κτήτου κινήσεως. εἰ μὲν γὰρ ἰσχνότερος εἴη γεγενημένος, εἰ μὲν ὑπὸ τοσοῦτον ἐφ' ὅσον καὶ ὁ σφυγμὸς μείζων, ἐν οὐδὲν μόνον ἠλλοίωσεν αὐτὸν, εἰ δ' ἐπ' ἔλαττον, οὐ μόνον τοῦτ' ἐστὶν αἴτιον, ἀλλὰ καὶ θερμότης. εἰδ' ἐν αὐτῷ μένοι τὰ τῆς τοῦ σώματος σχέσεως, ἡ θερμότης ηὔξηται μόνον. εἰ δὲ καὶ παχύτερος εἴη γεγονὼς, διπλάσιον ηὐξῆσθαι λογίζου τὴν θερμότητα. τὸ δ' ὑπὸ τίνος αἰτίας ηὔξηται διορίζεσθαι τοῖς ἔμπροσθεν εἰρημένοις. Εἰ μέν τοι μακρότερος ὁ σφυγμὸς εἴη γεγονὼς, καὶ πλατύτερος, μὴ μέν τοι κατὰ τῆς αὐτὴν ἀναλογίαν εἰς ὕψος ηὐξημένος, ἀλλὰ διαμένων σύμμετρος, ὑπὸ τοῖς προειρημένοις διορισμοῖς ἔτι καὶ τοῦτ' ἐξαίρετον ὑπάρχειν ἀναγκαῖον αὐτῷ, ῥυσσότερον γεγονέναι τὸ κατὰ τῆς ἀρτηρίας ἄνωθεν ὑπὸ κείμενον δέρμα. καὶ εἰ καταστρέψοις τὸ κῶλον, ὥσθ' ὅπερ ἄνωθεν ἦν αὐτοῦ πρότερον, εἶναι νῦν κάτωθεν, οὐδὲν οὕτως ἐκκεκολούσθαι φανεῖται τὸ βάθος. οὗτοι μὲν οὖν οἱ δύο σφυγμοὶ πρῶτοι πάντων εἰσὶ γεγραμμένοι κατὰ τὸ διάγραμμα τῶν ἑπτὰ καὶ εἴκοσι σφυγμῶν ἐν τοῖς προτέρῳ περὶ τῆς διαφορᾶς αὐτῶν, ὁ περὶ τῶν κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἐν ταῖς τρισὶν ἅμα διαστάσεσι συνισταμένων ἐποιήσαμεν. Ἑξῆς δὲ αὐτῶν γέγραπται τρίτος ὁ κατὰ τὸ μῆκος τε καὶ τὸ πλάτος ὑπερβάλλων τὸν κατὰ φύσιν, ἐν δὲ τῇ κατὰ βάθος διαστάσει ταπεινὸς, ὃς καὶ σπανιάκις εὑρίσκεται. μεγάλως γὰρ ὑπὸ τῶν ὑποκειμένων σωμάτων βαρυνομένης γίνεται τῆς ἀρτηρίας, ὅπερ οὐκ ἄν ποτε συμβαίνη χωρὶς τοῦ καὶ τῆς δύναμιν ἀσθενεστέραν γενέσθαι, καὶ τὸν χιτῶνα τῆς ἀρτηρίας ἐσχάτως μαλακὸν, ὧν τὸ μὲν ἀτονότερον τοῦ κατὰ φύσιν, τὸ δὲ μαλακὸν ἱκανῶς ἐργάζεται τὸν σφυγμὸν. ὥστε μετὰ μὲν τούτων γίνοιτ' ἄν ποτε μακρὸς ἅμα καὶ πλατὺς καὶ ταπεινὸς, ἄλλως δ' οὐκ ἂν γένοιτο. καὶ μὲν δὴ καὶ ὁπότε φαίνεται τοιοῦτος, οὐδὲ τότε πολὺ τοῦ κατὰ φύσιν, οὔτ' ὑπὸ τὸ ταπεινότερον, οὔτε ὑπὸ τὸ πλατύτερον ἐξίσταται, οὐ γὰρ ἐγχωρεῖ κατὰ μὲν τὸ βάθος ἐσχάτως βαρύνεσθαι τὴν ἀρτηρίαν, κατὰ δὲ τὸ πλάτος οὐδ' ὅλως. ὥσπερ γε οὐδ' ὑπὸ πλεῖστον μὲν ὕψος ἀνέρχεσθαι, παντάπασι δ' ἐστενῶσθαι. πλέον μὲν γὰρ ὑπὸ δίδωσιν ὕψος ὡς τὰ πολλὰ, καὶ μάλιστ' ὅταν ἦ σφοδρὸς ὁ σφυγμὸς, οὐ μὴν εἰς τοσοῦτον γε ὡς τὸν αὐτὸν ὑψηλότατον τε ἅμα καὶ στενώτατον ὑπάρχειν. εἰ μέν τοι περιστραφείη κἀπὶ τούτου σφυγμοῦ τὸ κῶλον, ὡς τὰ τέως ὑπερκείμενα μέρη, νῦν ὑποκείμενα γενέσθαι, καὶ ἡ κατὰ τὸ βάθος αὐτὸν διάστασις ἐπίδοσιν ἕξει, καὶ οὐκ ἔτι φαίνεται ταπεινὸς. ἀλλ' ὥσπερ μακρὸς καὶ πλατὺς, οὕτω καὶ ὑψηλὸς ὅπερ ἐστὶ μέγας. ὁ γὰρ κατὰ τὰς τρεῖς διαστάσεις αὐξηθεὶς μέγας λέγεται. διορίστέον οὖν ἐπ' αὐτῷ πρὸς τοῖς εἰρημένοις καὶ τὰ τῶν πρώτων ἁπάντων εἰρημένα. προσεπισκεπτέον δὲ καὶ εἰ τοῦ πλάτους ἀφαιρεῖ τι περιστρεφομένου τοῦ κώλου. γίνεται γὰρ καὶ τοῦτ' ἐνίοτε. καὶ δηλοῖ πόσον ὑπὲρ τὴν τοῦ βάθους ἀναλογίαν ἔμπροσθεν ἐπλατύνετο τὸ ἀγγεῖον. Ὁ δ' ὑπὸ τοῖς δὲ τέταρτος ὁ μακρὸς ἅμα καὶ ὑψηλὸς καὶ σύμμετρος κατὰ τὸ πλάτος, ὅσον μὲν ἐφ' ἑαυτοῦ πλατύς ἐστιν, ὥσπερ καὶ ὑψηλὸς, ἀλλὰ ὑπὲρ τοῦ στενοχωρεῖσθαι κα-

† αἱ τοῦ τῶν ἀρτηριῶν σώματος

† αἱ αὐτῆς

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 128 sur 494

τὰ τὰ πλάγια, ἀκολουθεῖν τὴν εἰς ἔσω κίνησιν. ὅλως γὰρ ἐπειδὰν ἤτοι τὸ πλάτος ὑπὲρ τὴν τοῦ βάθους ἀνα-
λογίαν, ἢ τὸ βάθος ὑπὲρ τὴν τοῦ πλάτους ἦ, παραποδίζεται τὸ ἕτερον αὐτῶν, ἤτοι διὰ πλῆθος, ἢ πάχος, ἢ
σκληρότητα τῶν προκειμένων σωμάτων, ἃ μεταξὺ τῆς ἀρτηρίας ἐστὶ καὶ τῆς ὑπιβαλλομένης ἁφῆς. καὶ γὰρ καὶ
ἡ ῥυσσότης, πλέονα τὰ ὑπερκείμενα σώματα ποιεῖ. κατὰ τὰς ῥυτίδας ἐνδιπλοῦσα τὸ δέρμα. ὥστε καὶ ὁ τοιοῦ-
τος σφυγμός, ἢ ὄντως μέγας ὑπάρχων ἐμποδίζεται κατὰ τὸ πλάτος, ἢ φαίνεσθαι μέγας δυναμένος ὑπὸ λε-
πτότητος τοῦ σώματος, ὅμως οὐ φαίνεται, διότι κατὰ μίαν τῶν διαστάσεων ἐστενοχώρηται. ο δὲ
πέμπτος ἐν τῷ διαγράμματι γεγραμμένος, ὁ μακρότερος μὲν τοῦ κατὰ φύσιν, ἐν δὲ ταῖς ἄλλαις ταῖς δύο δια
στάσεσι σύμμετρος, ἰσχνότερον μὲν δηλοῖ ἑαυτοῦ τὸν ἄνθρωπον γεγονέναι, τὸν σφυγμὸν δὲ ὅσον ἐφ' ἑαυτῷ μι-
κρότερον τοῦ κατὰ φύσιν. ἐπειδὴ γὰρ ὁ μακρὸς σφυγμός, ἢ διὰ μέγεθος οἰκεῖον, ἢ διὰ λεπτότητα φαίνεται τοι-
οῦτος οὐ μὴν νῦν γε διὰ μέγεθος ἐγένετο μακρός, ἦν γὰρ ἂν οὕτω καὶ ὑψηλὸς ἅμα καὶ πλατύς, ἢ πάντως γὲ τὸ
ἕτερον αὐτῶν, ἀπολείπεται διὰ λεπτότητα μακρὸς γεγονέναι. ἀλλ' ἐπεὶ τοῖς ἰσχνοτέροις τοῦ κατὰ φύσιν οἱ
σφυγμοὶ μείζους φαίνονται, δῆλον ὡς στενώτερος τε καὶ ταπεινότερος ὁ σφυγμός ἐστι, τοῦ κατὰ φύσιν, ὅσον ἐφ'
ἑαυτῷ. εἰ δὲ ταῦτα καὶ μικρότερος ὅσον ἐφ' αὑτῷ. ο δ' ἐφεξῆς τῷ δὲ γεγραμμένος ἕκτος ὁ μακρὸς
καὶ ταπεινὸς καὶ σύμμετρος κατὰ τὸ πλάτος, διὰ τὰς προειρημένας αἰτίας, ἥττωνι τοῦ κατὰ φύσιν ὑπάρχων ὅ-
σον ἐφ' ἑαυτῷ, διὰ λεπτότητα φαίνεται μακρός. ἀλλὰ τοῦτο μὲν αὐτῷ κοινὸν πρὸς τὸν πέμπτον. ἴδιον δ' ἐξαί
ρετον ἀκολουθεῖν τὸ βάθος, δι' ἣν ὀλίγον ἔμπροσθεν εἶπον αἰτίαν. Εβδομος δ' ἦν ἐν τῷ διαγράμματι σφυ
γμὸς μακρὸς ἅμα καὶ στενὸς καὶ ὑψηλός, ὃς ἐφαίνετ' ἂν ὁμοίως τῷ πάντων πρώτῳ μέγας, εἰ μὴ τὸ πλάτος ἐστενο-
χωρεῖτο. τὰ δὲ ἄλλα καὶ περὶ τοῦ δὲ παραπλησίως τῷ πρώτῳ πάντων δεῖ διορίζεσθαι. καὶ μὴ δὴ καὶ ὅσα κατὰ τὸν
τρίτον εἴρηται, καὶ ταῦθ' ἐνταῦθα προτιθέναι, τὸ, μήτε πολλάκις φαίνεσθαι τὸν τοιοῦτον σφυγμὸν, μήθ' ὅταν
φαίνητο, πλεῖστον ὅσον ὑπερβάλλειν μὲν τοῦ συμμέτρου κατὰ τὸ ὕψος. ἀπολείπεσθαι δὲ κατὰ τὸ πλάτος.
ο δ' ἐφεξῆς αὐτῷ γεγραμμένος ὄγδοος ὁ μακρὸς ἅμα καὶ στενὸς καὶ σύμμετρος κατὰ τὸ βάθος. ὅτι μὲν μι-
κρὸς ἐστὶ κατὰ τὴν οἰκείαν οὐσίαν, εὔδηλον ἐκ τῶν ὑπὸ τοῦ πέμπτου προειρημένων. ἰσχνοῦ δὲ τοῦ σώματος γενο-
μένου φαίνεται μακρότερος. τὸ δὲ ἴδιον ἐξαίρετον αὐτῷ παρὰ τὸν πέμπτον ἡ τοῦ πλάτους στενότης, ἐστενοχω
ρεῖσθαι κατὰ ἔσω δηλοῦσα τὴν ἀρτηρίαν. ο δὲ ἔννατος σφυγμὸς ὁ μακρὸς καὶ στενὸς καὶ ταπεινὸς, ἔτι
δὴ καὶ μᾶλλον ἐνδείκνηται μικρὸς μὲν ὢν ὅσον ἐφ' ἑαυτῷ, φαινόμενος δὲ μακρὸς δι' ἔκτεξιν τοῦ σώματος. ὡς
ὑπὸ τὸ πολὺ δὲ, αὐτῷ συνέστιν ἀμυδρότης καὶ σκληρότης. εἰ δὲ μή τε σκληρὸς ἦ. μήτ' ἄγαν ἀμυδρὸς ὑπὸ κα-
ταψύξει τοιοῦτος ἀποτελεῖται. οὕτως μὲν οὖν ἅπαντες οἱ εἰρημένοι νῦν ἐννέα σφυγμοὶ μακρότερον ἔχουσι
τὸ μῆκος τοῦ κατὰ φύσιν, ἐξαλλάττονται δὲ κατὰ τὰς λοιπὰς δύο διαστάσεις. οἱ δ' ἐφεξῆς ἐννέα σύμμετροι
κατὰ τὸ μῆκος ὄντες ὑπαλλάττονται κατά τε τὸ βάθος καὶ τὸ πλάτος. ο μὲν οὖν δέκατος ὑψηλὸς ἅμα
καὶ πλατὺς φαινόμενος, ἐφ' ἑνὸς μὲν ἀνθρώπου τῷ συμμέτρῳ παραβαλλόμενος ἀδύνατος συστῆναι, πλὴν
εἴπο τε κατὰ τὸ σπάνιον ἡ θέσις ὅλη τῆς ἀρτηρίας ἐξαλλάττοιτο, πρὸς δὲ τὸν ἁπλῶς σύμμετρον εἰ παραβάλλοι
το, καὶ γενέσθαι δυνατός ἐστι. καὶ αἰτία τῆς γενέσεως αὐτοῦ κατὰ τὴν τῆς διαπλάσεως ἰδιότητα. σύμπτω-
μα γὰρ ἐστὶν ἀρτηρίας ἑκατέρωθεν μὲν ὑπὸ βαθεῖα σαρκὶ κρυπτομένης, κατὰ δὲ τὶ μέσον ὀλίγον ἐκκειμένης
προπετοῦς. ο δ' ἐνδέκατος τοῦ προγεγραμμένου παραλλάττων ἑνὶ μόνῳ τῷ βάθος ἴσον ἔχειν τῷ κατὰ
φύσιν, ἐκ περιττοῦ προσερχομένην ἔχει τὴν ἔσω ταπεινοῦσαν αἰτίαν. τὰ δ' τῷ δεκάτῳ ταῦτα. ο δὲ
δωδέκατος ὁ πλατὺς καὶ ταπεινὸς ὑπὸ συμμέτρῳ μήκει, περιστραφέντος τοῦ κώλου γίνεται. ἤτοι γὰρ φανεῖ-
ται πάντη σύμμετρος, ἢ μέγας. εἰ μὲν οὖν πάντη σύμμετρος φαίνοιτο, δηλώσει τὸ μὲν ὕψος ἔμπροσθεν
ἐπ' ὀλίγον τεθλίφθαι. τὸ δὲ πλάτος ἐκτετᾶσθαι διὰ μαλακότητα τῆς ἀρτηρίας. εἰ δὲ μέγας, ὑπὸ πλεῖστον τε-
θλίφθαι τὸ ὕψος. ο δὲ ιγ'. ὑψηλὸς ἅμα καὶ σύμμετρος ἐν ταῖς λοιπαῖς δύο διαστάσεσιν, ὅμοια μὴ
τῷ δεκάτῳ κατά τε τὴν φυσικὴν διάπλασιν ἀποτελεῖται, καὶ προσέτι τὴν τῆς κατὰ φύσιν θέσεως ἀλλοίω
σιν. ἐκ περιττοῦ δ' αὐτῷ πρόσεστι παρ' ἐκεῖνον ἡ στενοχωρία τοῦ πλάτους. ο δὲ ιδ. ὁ κατὰ τὰς τρεῖς
διαστάσεις σύμμετρος ὅτι μὲν τῷ κατὰ φύσιν ὁ αὐτὸς φαίνεται, πρόδηλον. εἰ δὲ καὶ ὄντως ἐστὶν ἴσος τῷ κα-
τὰ φύσιν ἐκ τῆς τοῦ σώματος σχέσεως διορίζεται. εἰ μὲν γὰρ ἰσχνότερον εἴη τοῦ κατὰ φύσιν, οὗτος ἂν ὅσον
ἐφ' ἑαυτῷ μικρότερος ὢν ὁ σφυγμὸς, ἴσος φαίνοιτο τῷ συμμέτρῳ. εἰ δὲ παχύτερον εἴη τὸ σῶμα τοῦ κατὰ φύ
σιν, ὁ σφυγμὸς ὅσον μὴ ἐφ' ἑαυτῷ μέγας ἐστὶ, φαίνεται δὲ σύμμετρος ὑπὸ πολυσαρκίας κωλυόμενος. εἰ δὲ μήτ'
εἰς ἰσχνότητα, μήτ' εἰς παχύτητα παραλλάττοι τὸ σῶμα, σύμμετρον ἐν τῷ τοιῷδε τὸν σφυγμὸν ἀναγκαῖον
οὐ φαίνεσθαι μόνον, ἀλλὰ καὶ εἶναι. καὶ δέδεικται γὲ ἡμῖν ἐν τῷ δευτέρῳ περὶ σφυγμῶν διαγνώσεως, ὅτι
πρὸς ἔσω οἱ ἄλλοι πάντες παραβαλλόμενοι, μεγάλοι καὶ μικροὶ, καὶ μακροὶ, καὶ βραχεῖς, καὶ πλατεῖς, καὶ
ὑψηλοὶ, καὶ ταπεινοὶ λέγονται. ο δὲ πέντε καὶ δέκατος ὁ ταπεινὸς μὲν κατὰ τὸ βάθος, σύμμε-
τρος δὲ ταῖς λοιπαῖς δύο διαστάσεσιν, ὁ αὐτός ἐστιν τῷ προγεγραμμένῳ τεσσαρεσκαιδεκάτῳ κατὰ πάντα,
πλὴν ὅσα τὸ βάθος αὐτοῦ τεθλίπται. ὥστ' ὅσα ἐπ' ἐκείνου προείρηται, ταῦτα κἀπὶ τούτου χρὴ δοκεῖν εἰρῆσθαι.
μεμνῆσθαι δὲ περὶ τῶν τοιούτων ἁπάντων προσήκει, τὸ, ἢ καταστρεφομένου τοῦ κώλου μηκέτι φαίνεσθαι ταπει
νόν. ο δὲ ἑκκαιδέκατος ὁ σύμμετρος μὲν ἐν τῷ μήκει στενὸς δὲ καὶ ὑψηλὸς, ἤτοι κατὰ τὴν τῆς δια-
πλάσεως ἰδιότητα γίνεται φύσιν τοιοῦτος, ἢ κατὰ τὸ πλάτος ὑπὸ τῇ κατὰ τὰ πλάγια θλίψει τῶν ἀρ-
τηριῶν. ο δὲ ιζ σύμμετρος μὲν κατὰ τὸ μῆκος τε καὶ τὸ βάθος, ἐν δὲ τῇ λοιπῇ διαστάσει στενὸς, ὅ-
τι μὲν στενοχωρεῖται κατὰ τὰ πλάγια πρόδηλον ἐκ τῆς τοῦ βάθους συμμετρίας. τὰ δ' ἄλλα πάντα κἀπὶ
τούτου τοῖς κατὰ τὸν ιδ. τε καὶ πέντε καιδέκατον ὡσαύτως ἔχει. ο δὲ ιη. ὁ σύμμετρος μὲν κατὰ
τὸ μῆκος, στενὸς δὲ καὶ ταπεινὸς κατὰ μὲν τὴν οἰκείαν οὐσίαν, μικρός ἐστι. φαίνεται δὲ τῷ μήκει σύμμετρος
ἐπ' ἰσχνότητα. συλλήβδην καὶ εἰπεῖν, ὅταν ὑπὲρ τῆς τοῦ βάθους τε καὶ τοῦ πλάτους ἀναλογίαν ἐκταθῇ τὸ μῆκος,

ἰσχνότητα

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 129 sur 494

ἰσχνότητα τοῦ σώματος ἐνδείκνυτο, οὐ μὴν ὅταν γε μειωθῇ πρὸς τῆς ἀναλογίαν τοῦ βάθους εὐσαρκίαν σημαίνει. ἀλλ' ἤτοι φυσικὴν τινα διάπλασιν, ἢ θέσιν τῆς ἀρτηρίας ἀνώμαλον. Ο δὲ ιθ. βραχὺς καὶ πλατὺς καὶ ὑψηλὸς, ἤτοι φύσει φαίνεται τοιοῦτος ὑπὸ διαπλάσεως ἰδιότητα, ἢ κατὰ τὸ πάθος ἐν τῇ θέσει διαστρεφομένης τῆς ἀρτηρίας. Καὶ εἰκοστὸς δὲ κατὰ μὲν τὰς ἄλλας δύο διαστάσεις αὐτὰς τῷ ιθ. φαινόμενος. ἐν δὲ τοῦ βάθει σύμμετρος. ἐξαίρετον ὡς ἐπ' ἐκείνου προείρηται τὸ κεκολοῦσθαι τὸ ὕψος ἔχει.

Ο δὲ κα, ὁ βραχὺς καὶ πλατὺς καὶ ταπεινὸς ὑπὸ τοῖς αὐτοῖς αἰτίοις. ἔτι κἀκεῖνα προσλήψεται τὰ πλατὺν ἅμα καὶ ταπεινὸν ἀπεργαζόμενα τὸν σφυγμόν. Ωσαύτως δὲ ὁ κβ. ὁ βραχὺς ἅμα καὶ ὑψηλὸς καὶ σύμμετρος κατὰ τὸ πλάτος ὑπὸ ταῖς αὐταῖς αἰτίαις προσλήψεται τὰ ποιοῦντα σύμμετρον ἐν τοῦ πλάτει καὶ ὑψηλὸν σφυγμόν. Ωσπερ γὲ καὶ ὁ κγ. ὁ βραχὺς μὲν κατὰ τὸ μῆκος. ἐν δὲ ταῖς λοιπαῖς δύο διαστάσεσι σύμμετρος. ἐν ταῖς αὐταῖς αἰτίαις ἀναχθήσεται. ὁ δὲ κδ. ἐξαίρετον ὑπὸ ταῖς αὐταῖς αἰτίαις προσλήψεται τῆς ταπεινοῦσαν τὸ ὕψος αἰτίαν. οὕτως δὲ καὶ οἱ ἐφεξῆς δύο κατὰ τὸν αὐτὸν τρόπον εἰς τὰς προειρημένας αἰτίας ἀναχθήσονται, μεμνημένων ἡμῶν ὡς ἂν ἐν οἷς σφυγμοῖς ἀσκλείπεται τὸ μῆκος τῆς κατὰ τὸ βάθος καὶ κατὰ τὸ πλάτος ἀναλογίας, ἐν τούτοις, ἤτοι φυσικῇ διαπλάσει τὴν αἰτίαν ἀνατιθέναι προσῆκεν, ἢ διαστρόφῳ θέσει τῆς ἀρτηρίας. εἴρηται δὲ κἀπειδὰν ὑπερέχῃ τὸ μῆκος τῆς κατὰ τὸ πλάτος, ἢ τὸ βάθος ἀναλογίας, ἤτοι κεκολοῦσθαι τὸ ἕτερον αὐτῶν μόνον ὑπὸ στενοχωρίας, ἢ καὶ τὸ ἕτερον ἠυξῆσθαι. καὶ ὡς τὸ μὲν κεκολοῦσθαι πολλάκις συμπίπτει, τὸ δὲ ἠυξῆσθαι σπανιάκις. ὑπὸ μὴν τοῦ πλάτους, ὅταν βαρύνηται τὸ ὕψος ὑπὸ μαλακῷ τῷ χιτῶνι τῆς ἀρτηρίας, εὐθὺς δὲ καὶ ὡς οὐδὲ σφοδρὸς ὁ τοιοῦτος ἐστὶ σφυγμός. ὑπὸ δὲ τοῦ βάθους, ὅταν στενοχωρῆται μὲν τὸ πλάτος, ὁ σφυγμὸς δὲ ἡ σφοδρός τε ἅμα καὶ μέγας, ὅσον ἐφ' ἑαυτῷ. λοιπὸς δὲ ὑπὸ πάσιν. ὁ κζ. ἐστὶν ὁ βραχὺς καὶ στενὸς καὶ ταπεινὸς, ὅσπερ δὴ καὶ μικρὸς ἐστὶν ἤτοι φαινόμενος τοιοῦτος, ἢ κατὰ τὴν ἑαυτοῦ φύσιν ὑπάρχων. ἃ γὰρ ὑπὸ τοῦ πρώτου πάντων διώρισται τοῦ μεγάλου, ταῦτα κἀπὶ τούτου διορίζεσθαι χρή. κατὰ φύσιν μὲν γὰρ ἐχούσης τοῦ σώματος τῆς σχέσεως ὁ τοιοῦτος σφυγμὸς οὐ μόνον φαίνεται μικρὸς, ἀλλὰ καὶ ὄντως ἐστί. παχυτέρας δὲ γενομένης, εἰ μὲν ὅσον περ ἑαυτοῦ παχύτερος ὁ ἄνθρωπος ἐγένετο, τοσοῦτῳ καὶ ὁ σφυγμὸς μικρότερος, εἴη ἂν οὕτω γε σύμμετρος μὲν ὅσον ἐφ' ἑαυτῷ. διὰ δὲ παχύτητα τοῦ σώματος ἐλάττων τοῦ κατὰ φύσιν φαινόμενος. εἰ δὲ πλέονι παχύτερος ἤπερ ὁ σφυγμὸς μικρότερος, μείζων ἂν εἴη τοῦ κατὰ φύσιν ὁ τοιοῦτος σφυγμὸς, ὅσον ἐφ' ἑαυτῷ. εἰδ' ἐλάττων παχύτερος, ἤπερ ὁ σφυγμὸς μικρότερος, ἐλάττων ἂν εἴη τοῦ κατὰ φύσιν ὁ τοιοῦτος, ὅσον ἐφ' ἑαυτῷ. λεπτοτέρου μέντοι τῇ σώματος ὄντος, ἤπερ ὁ σφυγμὸς φαίνοιτο μικρὸς, ἔσται μὲν καὶ οὗτος τῇ φύσει μικρὸς, ἀλλ' ἐλάττων φαίνεται μικρὸς, ἢ ὄντως ἐστίν. ἡ γὰρ ἰσχνότης τοῦ σώματος εἰς ὅσον ἐξέστη τοῦ κατὰ φύσιν, εἰς τοσοῦτον μέγεθος αὐτῷ προσδίδωσι φαντασίαν. ἃ δ' ὑπὸ τοῦ μικροῦ τε καὶ μεγάλου σφυγμοῦ διώρισται ταῦτα κἀπὶ τῶν ἄλλων ἁπάντων διορίζεσθαι χρὴ, γινώσκοντας ὡς κἀκείνων ἕκαστος, ἤτοι μικρὸς, ἢ μέγας, ἢ σύμμετρος ἐστὶν ὅσον ἐφ' ἑαυτῷ. καὶ τρεῖς οὗτοι σφυγμοὶ κατὰ τὸ ποσὸν τῆς διαστολῆς εἰσὶν, ὡς πρὸς τῆς φύσιν αὐτοῦ τοῦ πράγματος. φαίνονται δ' ἑπτὰ καὶ κ. διὰ πάχος, ἢ λεπτότητα τοῦ σώματος, ἢ ῥυσσοτέρου τοῦ δέρματος, ἢ στενοχωρίαν ἀνώμαλον τῶν περὶ ταῖς ἀρτηρίαις χωρίων, ἢ διαπλάσεως ἰδιότητα. χρὴ τοίνυν ἕκαστον ὅτις μὴ μέχρι λόγου ψιλοῦ μετέρχεται, ἀλλ' ἐπ' αὐτῶν τῶν ἔργων ἀσκεῖν προαιρεῖται, μεμνημένον ἁπάντων, ὧν νῦν δὴ πέπαυμαι λόγων, ἐπειδὰν ὑπισκέπτηται τίνα τῶν κατὰ τὸ ποσὸν τῆς διαστολῆς συνισταμένων σφυγμῶν. πρῶτον μὴν ὑπισκοπεῖσθαι τίς ἐστι τῶν ἑπτὰ καὶ εἴκοσιν, εἶθ' ἑξῆς αὐτοῦ χωρίσαντα τὰς διὰ τὰ παρακείμενα σώματα γινομένας ἀλλοιώσεις, ἐξευρεῖν, εἴτε σύμμετρος ἐστὶν, εἴτε μέγας, εἴτε μικρὸς, εἶθ' ἑξῆς τὰς διαθέσεις ὑφ' ὧν τοιοῦτος ἐγένετο. διδάσκουσι γὰρ αὗται τά τε προγεγονότα καὶ τὰ μέλλοντα. οἷον εὐθέως ὑπὸ τοῦ μικροῦ, καὶ στενοῦ καὶ ταπεινοῦ, παραδείγματος γὰρ ἕνεκα τὸν λόγον ὑπὸ τούτου διδάξομεν, ὅτι μέν ἐστιν ὅσον ἐφ' ἑαυτῷ μικρὸς, εὔδηλον ἐκ τοῦ τὴν μὲν κατὰ κύκλον αὐτοῦ μεμειῶσθαι διάστασιν, ἠυξῆσθαι δὲ τὴν κατὰ μῆκος. εἰ γὰρ ὑπὸ δυοῖν αἰτίων ὁ κύκλος τῆς διαστολῆς ἐλάττων φαίνεται, διά τε πολυσαρκίαν, καὶ ὅτι μικρότερος ὄντως ὁ σφυγμὸς ἐγένετο. νυνὶ δὲ οὐκ ἐστὶ πολυσαρκία. πάντως γὰρ ἂν μόνον οὐδὲν ἠυξήτο τοῦ μήκους, ἀλλὰ καὶ μεμείωτο. δῆλον ὡς κατὰ τῆς οἰκείαν οὐσίαν ὁ σφυγμὸς μικρὸς ἐγένετο. ὅποτ' οὖν κεχωρίσται τὸ περὶ τῆς τοῦ σώματος σχέσιν ἐγγινόμενον αὐτῷ φάντασμα τοῦ μήκους ἐκ τῶν μικρῶν ὑπάρχοντι κατὰ τὴν ἰδίαν οὐσίαν, ἐξῆς ὑπισκεψώμεθα διά τινα ποτ' αἰτίαν ἐγένετο μικρὸς. μέγιστον δ' εἰς τοσοῦτον συντελεῖ τὸ διαγινώσκειν δύνασθαι τὸ ποσὸν τῆς τε μικρότητος καὶ τοῦ μήκους. ἤτοι γὰρ ὀλίγῳ τινὶ τοῦ κατὰ φύσιν ἐγένετο μικρότερος, ἢ πολλῷ, ἢ ὡς ἂν εἴποι τις μετρίῳ, καὶ δὴ καὶ κατὰ τὸ μῆκος, ἢ ὀλίγον, ἢ μέτριον, ἢ πολὺ τῶν κατὰ φύσιν ὑπερβάλλει. ἔστω δὴ τὸ ἕτερον ὑπὸ πλεῖστον μὴ εἰς μῆκος ἐκτεταμένος. ἐπὶ πλεῖστον δὲ καὶ μικρότητος ἥκων, τουτέστι στενὸς καὶ ταπεινὸς, ὁ τοιοῦτος σφυγμὸς ἐστὶ μὴ τῇ φύσει πολὺ μικρότερος ἢ φαίνηται. ὑπάρχει δ' αὐτῷ τὸ μὴ φαίνεσθαι τοιοῦτος δι' ὑπερβάλλουσαν ἰσχνότητα. τὸ δὲ εἶναι φύσει μικρότερος διὰ τὰς μικροτέρας γενώσας αἰτίας, ψύξιν, ἀτονίαν, ἰσχνότητα. τίς οὖν ἐκ τούτων ἐστὶν, ἢ τίνες ποιήσασαι τὸν νῦν φαινόμενον σφυγμὸν, μακρὸν καὶ στενὸν καὶ ταπεινὸν; λέλεκτο μὴ ἤδη καὶ πρόσθεν, ὡς ἀχώριστον ἐστὶ σημεῖον τῆς μὴ σκληρότητος τῶν ἀρτηριῶν ὁ σκληρὸς σφυγμὸς, τῆς δὲ ἀῤῥώστου δυνάμεως ὁ ἀμυδρὸς, ὅσπερ δὴ καὶ ἄτονος τε καὶ ἄῤῥωστος ὀνομάζεται, καθάπερ γε καὶ ὁ ἐναντίος αὐτῷ, σφοδρὸς, καὶ εὔτονος, καὶ εὔρωστος. ἀλλ' ἐπὶ τοῦ προκειμένου σφυγμοῦ κἀκεῖνο χρὴ γινώσκειν. ὡς ἐξ ἀνάγκης ἐστὶν ἀμυδρὸς. οὐδέπο τε γὰρ ἐσχάτως μικρὸς γίνεται σφυγμὸς εὐρωστούσης δυνάμεως. ἡ μέν τοι σκληρότης οὐκ ἐξ ἀνάγκης συνέστι. περὶ δὲ τῆς ψύξεως οὐχ ἁπλῶς εἰπεῖν ἐγχωρεῖ, ἀλλὰ χρὴ πρῶτον μὴ γινώσκειν, ὡς ἕτερον μέν ἐστι τὸ ἐψύχθαι τῆς καρδίαν ἅμα ταῖς ἀρτηρίαις, ἕτερον δὲ τὸ ψύχεσθαι. καὶ ὡς τὸ μὴ ἐψύχθαι κεκακῶσθαι τὴν δύναμιν ἐστίν. τὸ δὲ ψύχεσθαι τῆς χρείαν ἠλλοιῶσθαι. πάνυ δ' ἀκριβῶς χρὴ προσέχειν τοῦ λεγομένῳ τὸν νοῦν εὖ εἰδότας ὡς οὐ μόνον εἰς τὰς διὰ τῶν σφυγμῶν προγνώσεις, ἀλλὰ καὶ τὰς ἄλλας χρεδὸν ἁπάσας, οὐδέν ἐστιν αὐτοῦ χρησιμώτερον εἴρηται δ' ἅπας ὁ λόγος οὗτος ἐκ τοῦ γινώσκειν τὴν οὐσίαν τῆς δυνάμεως, ὑπὲρ ἧς ἐν μὲν τῇ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων πραγματείᾳ διὰ τὸ μηδὲ μίαν ἀνάγκην εἶναι παρελίπομεν εἰπεῖν. ἐνταυθοῖ δὲ, πρὸς

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 130 sur 494

γὰρ ὑπερτέμνω ἀκριβῆ τῶν λεχθησομένων ἡ γνῶσις αὕτη συντελεῖ, καιρὸς εἶναι μοι δοκεῖ διελθεῖν, οὔτ' ἐνταῦθα μετὰ τῶν οἰκείων ἀποδείξεων, ἑτέρωθεν γὰρ εἴρηται μακρότερον, ἀλλ' ὅσον ἐν κεφαλαίῳ ῥηθὲν εἰς τὰ ἐνεστῶτα νῦν χρηστόν. ἡ οὐσία τῆς δυνάμεως ἑκάστου τῶν μορίων ἐν τῇ καθ' ἕκαστον αὐτῶν εὐκρασίᾳ τέτακται. τό τε γὰρ ὑπερτελεῖ τὸ ἴδιον ἔργον εὐρώστως, ὅταν εὐκρατότατον ᾖ. καὶ μέντοι καὶ κακῶς ἐργάζεται, δύσκρατον γενόμενον, καὶ εἰς τοσοῦτον γε κακῶς, εἰς ὅσον δύσκρατον. οὕτως οὖν καὶ αὐτὸ τὸ τῆς καρδίας σῶμα ψυχθὲν μὲν, ἢ θερμανθὲν, ἢ ὑγρανθὲν, ἢ ξηρανθὲν ἀμέτρως εἰς ὅσον δύσκρατον ἐγένετο, καὶ τοὺς σφυγμοὺς εἰς τοσοῦτον ἀμυδροὺς ἀποτελεῖ. οὗτος μὲν ἐστὶν αὐτῷ βεφλάφθαι τὴν δύναμιν. τὸ δὲ ὁμιλεῖν ἤτοι τοῦ περιεχομένου κατὰ τὰς κοιλίας ἑαυτῆς αἵματι, καὶ πνεύμονι θερμοτέρῳ πολὺ τοῦ κατὰ φύσιν, ἢ τὸ κατὰ τὸ περικάρδιον σκέπασμα, ἢ τὸ πνεῦμα ἢ καὶ αὐτῷ τοῦ περικαρδίῳ, καὶ τοῦ πνεύμονι, τὴν χρείαν ἐστὶ μόνον ὑπηλλάχθαι, χωρὶς τοῦ βεβλάφθαι τὴν δύναμιν. ὡσαύτως δὲ καὶ τοῦ κατεψύχθαι τε καὶ ψυχεσθαι, κατὰ μὲν αὐτὸ τὸ σῶμα τῆς καρδίας ὑπερκρατοῦντος ἐν τῇ κράσει τοῦ ψυχροῦ στοιχείου, βλάβη τῆς δυνάμεως. κατὰ δὲ τὸν περικάρδιον χιτῶ καὶ τὸν πνεύμονα καὶ τὸ κατὰ τὰς κοιλίας αὐτῆς αἷμα καὶ πεῦμα, τῆς χρείας ἔκλυσις, αἱ δ' ὑγρότητες, καὶ ξηρότητες αἱ μὲν κατ' αὐτὸ τῆς καρδίας τὸ σῶμα, βλάβαι τῆς δυνάμεως εἰσίν. αἱ δὲ κατά τι τῶν ὁμιλούντων, οὐκ ἐξαλλάττουσιν τῆς χρείαν. αἱ μὲν γὰρ εὐκρασίαι τε καὶ δυσκρασίαι κατὰ τὰ τέτταρα γίνονται στοιχεῖα. αἱ δὲ τῆς χρείας ὑπὸ τάσεις τε καὶ ἀνέσεις ἐν τῷ θερμῷ καὶ ψυχρῷ μόνοις. ὅταν οὖν εἰς ἔσχατον ἐκλύσεως ἥκῃ τὰ τῆς χρείας, ἐψυγμένων ἰσχυρῶς τῶν ὁμιλούντων τῇ καρδίᾳ σωμάτων, ἀνάγκη πᾶσα, καὶ αὐτὸ τὸ σῶμα τῆς καρδίας ἰσχεῖν δυσκρατῶς, ὅπερ ἐστὶν οὐδὲν ἄλλο τοῦ τὴν δύναμιν ἀῤῥωστοτέραν γίνεσθαι. καὶ διὰ τοῦτ' ἔλεγον ἀδύνατον εἶναι περὶ τῆς ψύξεως ἁπλῶς εἰπεῖν. οὐ γὰρ ὥσπερ ὑπὸ μόνῃ καταπτώσει δυνάμεως, ἢ ὀργάνων σκληρότητι μόνῃ γίνεται ποτὲ μικρότερος ὁ σφυγμὸς, οὕτω καὶ διὰ κατάψυξιν μόνην, ὡς εἴρηται νῦν, οὐ τῆς καταψύξεως ἀκουομένης ὑπὸ τῆς κατὰ τὴν χρείαν ἐκλύσεως. οὐ γὰρ ἐνδέχεται ποτὲ τὴν καρδίαν εἰς τὸ καταψύχεσθαι μὲν σφοδρῶς ἀφῖχθαι, μὴ κατεψύχθαι δὲ καὶ αὐτὴν. ἐναργέστατα δ' ἂν ὃ λέγω μάθοις, εἰ πειραθείης ποτὲ τῶν ἐν ὁδοιπορίαις ἀποθνησκόντων ὑπὸ κρύει καρτερῷ. πάντες μὲν γὰρ εὐθέως ἅμα τοῦ ψυχρὸν ἐκπνεῖν τὸν ἀέρα, καὶ τὸν σφυγμὸν ἴσχουσι μικρότερον. οὐ μὴν μικρότατόν γε οὐδεὶς αὐτῶν ἴσχει, πρὶν εἰς ἴσχατόν γε ἀφίκεσθαι καταψύξεως, ἡνικ' οὐ μόνον ἡ χρεία τέτραπται τῆς τῶν σφυγμῶν γενέσεως, ὅπερ ἐξ ἀρχῆς ὑπῆρχεν αὐτοῖς, ἀλλὰ καὶ ἡ δύναμις ἀῤῥωστεῖ, μηκέτι φυλαττομένης ἐν τῇ καρδίᾳ τῆς φυσικῆς εὐκρασίας. καὶ ἀθρόως γε τοῦτ' αὐτοῖς εἴωθεν ὡς τὸ πολὺ συμβαίνειν, οὐ κατὰ βραχὺ καθάπερ ἐν ἄλλαις διαθέσεσιν, ὧν ἐστι μία καὶ ἡ νῦν ἡμῖν προκειμένη, καθ' ἣν ἅμα τε μικρὸς ὁ σφυγμὸς φαίνεται καὶ στενὸς καὶ ταπεινὸς ἐν νοσήμασι χρονίοις. οἱ γὰρ οὕτω διακείμενοι τὸν μὲν κίνδυνον οὐχ ἧττον ἐφεδρεύοντα τῶν ἐν ὁδοιπορίαις ἔχουσιν, οὐ μὴν ἐξαίφνης γε μικρὸς αὐτοῖς ὁ σφυγμὸς, ἀλλὰ κατὰ βραχὺ γίνεται μαραινομένοις. ἐν γὰρ καὶ τοῦτ' εἶδος ἐστὶ μαρασμοῦ, τὸ πρὸς τῶν φιλίππου καλούμενον γῆρας ἐξ νόσου. ὡς ὅγε περιφρυγῆς μαρασμὸς οὐ διὰ ψύξιν, ἀλλὰ δι' ἀῤῥωστίαν μόνην δυνάμεως ἀσθενεῖς καὶ μικροὺς ἀπετελεῖ τοὺς σφυγμούς. διορίζετο δὲ τοῦ προτέρου τῷ τε τάχει τῆς κινήσεως καὶ τῇ πυκνότητι καὶ τῇ σκληρότητι καὶ τοῦ πυρώδει τῆς θερμότητος. ἀλλὰ περὶ μὲν τούτων οὐ τοῦ νῦν ἐνεστῶτος λόγου διελθεῖν. ὑπὸ δὲ τὸ προκείμενον ἐπάνειμι. ὁ μικρὸς καὶ στενὸς καὶ ταπεινὸς σφυγμὸς ὁ ὑπὸ πλέον ἐξεστηκὼς τοῦ κατὰ φύσιν ἐν ταῖς τρισὶ διαστάσεσιν, ἐπειδὰν μὲν ἄνευ σκληρόῃητος, φαίνητο τοιοῦτος, ὑπό τινων γίνετο καὶ πόσων αἰτίων, αὐτάρκως διήρηται. ἐπειδὰν δὲ μετὰ σκληρότητος, εὐθὺς μὲν καὶ ταύτῃ σύνεστιν ἤτοι γ' ὁ ἀμυδρὸς σφυγμὸς, ἢ ὁ μέσος ἀμυδροῦ καὶ σφοδροῦ, ὁ μήτ' ἀνατρέπων τὴν ἁφὴν, μήτ' ἀνατρεπόμενος ὑπ' αὐτῆς, μεμνημένων γε ἡμῶν ὡς καθ' ἕτερον τρόπον οὐδείς ἐστι μέσος ἀμυδροῦ καὶ σφοδροῦ. δηλοῦται δ' ὑπὸ κρατεῖν ἐν τοῦ σώματι διάθεσις, ἡ σκληρὰν ἀπετελοῦσα τῆς ἀρτηρίαν. οὗτος δ' ἐστὶν ἤτοι ξηρότης, ἢ πῆξις ὑπὸ ψύξεως, ἢ τάσις. ξηρότης μὲν ἐν τοῖς καυσωδεστάτοις πυρετοῖς, ὅταν κακοήθως χρονίσωσιν, καὶ μάλιστα τοῦ περιφρυγεῖ μαρασμῷ, καὶ τίσιν εἴδεσι μελαγχολικῶν τε καὶ τεταρταίων πυρετῶν. πῆξις δ' ἐκ ψύξεως ἐπί τε ψυχροῦ πόσεσιν ἀκαίροις, ἢ ἀμέτροις, ἢ λουτροῖς ὁμοίοις, ἐπί τε ταῖς ψυχούσαις ὀπώραις ἀκαίροις, ἢ ἀμέτροις, ἢ ὅλως ὅσα τὸ ψυχρὸν φλέγμα γενναῖν πέφυκεν ἱκανῶς, ὅπερ ὑαλώδη χυμὸν ὁ Πραξαγόρας ὀνομάζειν εἴωθεν. τάσις δὲ κατά γε τὰς σπασμώδεις διαθέσεις, καὶ τὰς μεγάλας φλεγμονάς. ἐν δὲ τοῖς σκίῤῥοις καὶ πῆξις καὶ τάσις γίνεται τῶν ἀρτηριῶν. συμβαίνει δὲ τὸ τοιοῦτον ἐφ' ἥπατι μάλιστα καὶ σπληνί. ὑπὸ τούτοις γὰρ τοῖς σπλάγχνοις οἱ σφυγμοὶ σαφέστατα καὶ συνεχέστατα σκληροὶ φαίνονται, μάλιστα μὲν σκιῤῥουμένοις, ἤδη δὲ κἂν ταῖς μεγάλαις φλεγμοναῖς. ἀλλὰ τὰ μὲν τοιαῦτα πάθη καὶ διὰ τῆς ἁφῆς ἐστὶ γνωρίσαι, καὶ δι' οὔρων, καὶ διαχωρημάτων, καὶ τοῦ χρώματος ὅλου τε τοῦ σώματος, καὶ τῆς γλώττης. ἤδη δὲ καὶ διὰ τῆς ἰδέας τῶν πυρετῶν. ὅσαι δ' ἄλλαι διαθέσεις τὸν σφυγμὸν σκληρὸν ἀπετελοῦσιν, αἱ μὲν ἐξ ἁμαρτημάτων προσφάτων ἐξαιφνίδιον ἴσχουσι τὴν γένεσιν. αἱ δ' ἄλλαι πᾶσαι κατὰ βραχύ. τὰ δ' ἁμαρτήματα τὰ τὰς τοιαύτας ἐργαζόμενα διαθέσεις οἴνου πόσις ἄκαιρος ἐστι. καὶ ψυχροῦ. πολλάκις δὲ καὶ ὀπώραι ψύχουσαι, καὶ ψυχρὸν λουτρόν. διαγνώσῃ δὲ τῆς μὲν ἀπ' οἴνου βλάβην, ὅταν ἐξαιφνίδιον ὁ σφυγμὸς μὴ μόνον ἢ σκληρὸς, ἀλλὰ καὶ μείζων καὶ θάττων γένεται καὶ σφοδρότερος. τὰς δὲ ἄλλας κοινὴ μὲν ἀπάσας οἴνου διακρινεῖς τοῦ μήτε μέγεθος αὐταῖς προσγίνεσθαι, μήτε σφοδρότητα, μήτε τάχος. ἰδία δ' ἑκάστην, ἐστὶν ὅτε μὲν ὑπερφανεστέρως, ἐστὶν ὅτε δὲ ἀμαυρότερός τε καὶ στοχαστικοτέρως. ἐπιφανεστέρως μὲν ὅταν καὶ σύμπτωμά τι συμπρέπηται τῶν ὀπώραις ἕπεσθαι πεφυκότων, λέγω δὲ ἐμφύσωσιν γαστρὸς, ἢ δῆξιν διαφθαρόντων, ἢ θλῖψιν τινὰ κατὰ τὸν στόμαχον, ἢ παραφροσύνην ὡς ὑπὸ ταῖς οἰνόδεσιν ὀπώραις, ἢ ἔμετον, ἢ διαχώρησιν ὑγροτέραν τε καὶ πλείονα. ταῦτα μέν γε οὐ δὲ διὰ σημείων, ἀλλ' ἄντικρυς αὐτὴν τὴν οὐσίαν τῶν ἐληδεσμένων ἐνδείκνυτο. ὅταν δὲ μή τε τούτων τι παρῇ, μήτε τῶν ἀπ' οἴνου σημείων, ὕδωρ ψυχρὸν ἐστι τὸ τὴν βλάβην ἐργασάμενον, ἤτοι ποθὲν, ἢ οὐ προσηκόντως ἐν αὐτῷ λουσαμένοις. εἰς δὲ τὴν ἀσφαλεστέραν ἐπὶ τούτων ἁπάντων ἀπόφασιν, οἱ τῶν φοβουμένων τε καὶ ἀγωνιώντων σφυγμοὶ μέγιστον γνώρισμα. καὶ εἰ τοῖς εἰρημένοις ἔμπροσθεν ὕστερον ἐπάγεις ἀεὶ

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 131 sur 494

γεῖς ἀεὶ ὦσιν, ὅτι ἡ τάκτησιν ὁ νόσος, βεβαιοτέραν τε καὶ θαυμασιωτέραν ἐργάζεται τῆς πρόῤῥησιν. ὥς ἐνίοτε οὐδὲ ἀκούοντας ἀπιστεῖν καὶ νομίζειν οὐκ ἐκ τῶν σφυγμῶν εἰρῆσθαί τι τῶν τοιούτων, ἀλλ' ἐξαγγείλαντος τινος τῶν εἰδώτων τὸ πλημμεληθὲν τοῦ κάμνοντι. χρὴ δὲ προαψάμενον ἀκριβῶς τῶν σφυγμῶν, εἶτα τὸ φανὲν ὑπὸ τῶν σημείων ἀποφηνάμενον, ἅπτεσθαι πάλιν ὠθισκοπούμενον εἰ τετάρακταί πως ὁ κάμνων. εἰ μὲν γὰρ ὅλως μὴ ταραχθείη, σκόπει μή τινα τῶν προειρημένων γνωρισμάτων, ἢ παρέλιπεν, ἢ ὀρθῶς οὐκ ἐπεσκέψω. εἰ δὲ ταραχθείη καὶ σοὶ δόξειεν ἀγωνιᾶν, ἢ φοβεῖσθαι, μὴ παραχρῆμα πίστευε τοῦ σημείῳ, πολλάκις γὰρ οὐκ ὑπὸ τοῦ συνειδέναι τοιοῦτόν τι πεποιηκόσιν ἑαυτοῖς οἱ κάμνοντες ἀγωνιῶσιν. ἀλλὰ φύσει πως ὄντες εὐπτόητοι. τούτοις μὲν οὖν ὀλίγον ὕστερον ὁ σφυγμὸς καθίσταται. τοῖς δὲ ὄντως ἐργασαμένοις εἰς ὅσον ἂν ἀποφαίνηταί τι περὶ αὐτοῦ, εἰς τοσοῦτον καὶ ὁ τοῦ φόβου σφυγμὸς ἴδιος ὑπάρχει. πάντα δὲ τὰ εἰρημένα νῦν ἁμαρτήματα τῶν καμνόντων, ἤτοι τὰς φλεγμονὰς, ἢ οὐδὲ σκίῤῥους, ἢ τὰς ξηρότητας, ἢ τὰς διὰ τὴν ψύξιν πῆξεις τῶν σπλάγχνων ὠθιτείνοντα, τὴν ἀλλοίωσιν, οἵαν εἰρήκαμεν ἐργάζεται. κατὰ δὲ τῆς τῶν νεύρων ἀρχὴν, εἴτι τούτων ἀπτελεσθείη, τὴν σπασμώδη διάθεσιν ἐργάζεται. καλῶ δ' ἐκεῖνας τὰς διαθέσεις ὅσαις ἐξ ἀνάγκης πρὸ τοῦ θανάτου σπασμῶδες τὶ γίνετε σύμπτωμα. καὶ ἀπθνήσκουσι γε οἱ τοιοῦτοι πάντες ἔτι θερμοὶ, ἔμπαλιν τοῖς συγκοπτομένοις. οὗτοι μὲν γὰρ ἱκανῶς ὄντες ἤδη ψυχροὶ ζῶσιν ἔτι. οἷς δ' ἡ σπασμώδης διάθεσίς ἐστιν ἐν τῇ τῶν νεύρων ἀρχῇ, νεκροὶ κείμενοι παντάπασιν, ὠθιπλεῖστον διαμένουσιν θερμοί. εἰσὶ μὴ τοῦ τοιούτων ἁπάντων οἱ σφυγμοὶ τοῦ γεγυμνασμένῳ τῆς ἁφὴν εὐθὺς ἐν τῇ πρώτῃ προσβολῇ τήν τε τάσιν ἐνδεικνύμενοι καὶ τῆς οἷον σπασμώδη κίνησιν ἐμφαίνοντες. εἰ δέ τισι τῶν τὴν προειρημένον ἐχόντων σφυγμὸν, αἱ διαχωρήσεις γένονται πολλαὶ, συμβαίνει δὲ ὦσιν μάλιστα κατὰ οὐδὲ σκίῤῥους τοῦ ἥπατος, οὐκ ἔτι τούτοις ὁ σφυγμὸς μακρὸς ἐστιν, ἀλλ' ἤτοι τοῦ κατὰ φύσιν ἐν τῷ μήκει παραπλήσιος, ἢ καὶ βραχύτερος ἔτι. καὶ μὴν καὶ ὦσιν περὶ ἁπάντων τῶν σκληρῶν τε ἅμα καὶ μικρῶν σφυγμῶν ἐπίστασθαι καλὸν, ὡς κλονώδεις γίνονται τάχιστα, καὶ ὡς ὅσοι γ' οὐκ εἰσὶ κλονώδεις, ἤτοι δι' ἀῤῥωστίαν τῆς ζωτικῆς δυνάμεως, ἢ δι' ἔκλυσιν τῆς χρείας, ἢ δι' ἄμφω συνελθόντα, τὴν τοιαύτην κίνησιν οὐ προλαμβάνουσιν. ὡς ὅταν γε καὶ ἡ χρεία δέηται μεγάλης διαστολῆς, καὶ ὁ τόνος ὁ ζωτικὸς ἐργάζεσθαι δύνηται, μόνον δ' ἀντιλέγει τὸ σῶμα τῆς ἀρτηρίας, ὑπὸ σκληρότητος ἀδυνατοῦν εἰς μεγάλην ἐξαίρεσθαι διαστολὴν, ὁ κλόνος ἐν τῇ τοιαύτῃ καταστάσει γίνεται. ἄλλως δὲ ἀμήχανον γενέσθαι κλονώδη κίνησιν ἀρτηρίας. ὥστε καὶ ὁ προκείμενος σφυγμὸς ἄκλονος μὲν φαινόμενος, ἢ ἀῤῥωστίαν ἐσχάτην τῆς δυνάμεως, ἢ τῆς χρείας μεγίστην ἔκλυσιν ἐνδείκνυται. κλονώδης δὲ γενόμενος, εὐθὺς μὴ καὶ τόνου τὶ προειληφέναι δηλοῖ τῆς δύναμιν. εὐθὺς δὲ καὶ τὴν χρείαν τῆς τῶν σφυγμῶν γενέσεως οὐκ εἰς ἔσχατον ἐκλελύσθαι. καὶ μὲν δὴ καὶ μικρότητος οὐκ ὠθὶ πλεῖστον ἥκει, ὥσπερ ὁ προκείμενος σφυγμὸς ἥκειν ἐλέγετο. κατὰ δὲ τὸν αὐτὸν τρόπον, εἰ καὶ χωρὶς κλόνου μακρότερος μὲν εἴη τοῦ κατὰ φύσιν ὁ σφυγμὸς, στενώτερος δὲ καὶ ταπεινότερος, οὐ μὴν ὠθὶ πλεῖστον γε καθ' ἕκαστον αὐτῶν ἀπεχωρηκὼς τοῦ κατὰ φύσιν, ἀλλ' ἐπ' ὀλίγον, ὠθισκέπτεσθαι προσήκει, πότερα σκληρὸς ὢν οὐκ ἔτι κλονώδης, ἢ ὅλῃ οὐ μετέχει σκληρότητος. εἰ μὲν γὰρ σκληρὸς ὢν ἄκλονος εἴη, ψύξιν ἢ ἀῤῥωστίαν δυνάμεως, ἢ τοῦ συναμφότερον ἐνδείκνυτε. διορίζεσθαι δ' ἐκ τῶν προπομένων. ὅτῳ μὲν γὰρ ὠθὶ κατὰ ψύξει μόνῃ τοιοῦτος ὁ σφυγμὸς ἐστὶν, εὐθὺς καὶ βραδύτης αὐτῷ καὶ ἀραιότης συνυπάρχει. ὅτῳ δ' ἐπ' ἀσθενείᾳ δυνάμεως ἡ ἀμυδρότης ἀχώριστος. ἀλλ' εἰ μὴ τὰ τῆς χρείας ἄτρεπτα διαφυλάττετο, τοσοῦτῳ τοῦ κατὰ φύσιν ὁ σφυγμὸς ἔσται θάττων τε καὶ πυκνότερος, ὅσον ἡ μικρότης ἐξετράπετο τοῦ συμμέτρου. εἰ δ' ὅσῳ πρὸς ἡ δύναμις ἀῤῥωστοτέρα, τοσούτῳ καὶ ἡ τῆς χρείας ἔκλυσις, ὅμοιος τοῦ κατὰ φύσιν ὁ σφυγμὸς φανεῖται κατ' ἀμφωτέρας τὰς διαφορὰς, καὶ οὔτε θάττων, οὔτε βραδύτερος, οὔτε πυκνότερος, οὔτε ἀραιότερος. εἰ δὲ θάτερον ὑπερέχει, κατὰ τὴν τῆς ὑπεροχῆς ἀναλογίαν, ὡς ἔμπροσθεν εἴρητε. εἰ δὲ ἅμα τε σκληρὸς εἴη καὶ κλονώδης, τὰς μὲν αὐτὰς ἐνδείξεται διαθέσεις, ὑφ' ὧν ἔμπροσθεν ἐλέγομεν ἀπτελεῖσθαι τὸν σκληρὸν σφυγμὸν, οὐ μὴν οὔτε ἄτονον, ὡς ἐπ' ἐκείνων τὴν δύναμιν, οὔτε ἐκλελύσθαι τῆς χρείαν. εἰς ὅσον δὲ ἑκάτερον αὐτῶν βεβλαμμένον, ὠθὶ μὲν τῆς δυνάμεως ἡ κατὰ σφοδρότητα τε καὶ ἀμυδρότητα δηλώσει διαφορὰ, σὺν τοῦ ποσῷ τοῦ κλόνου. ὠθὶ δὲ τῆς χρείας ἡ κατὰ τάχος τε καὶ πυκνότητα κἀνταῦθα σὺν τῷ ποσῷ τοῦ κλόνου τὰ δ' ἄλλα ἐκ τῶν προειρημένων συντεκμαίρεσθαι. ὡσαύτως δὲ κἂν μήτ' ὀλίγῳ, μήτε πολλῷ τοῦ κατὰ φύσιν ἐξίστηται κατὰ τὰς τρεῖς διαφορὰς, ἀλλὰ μετρίως πως καὶ μέσως, ἐκ τῶν εἰρημένων διαιρεῖσθαι. πολλάκις δ' ὠθὶ τῶν τοιούτων σφυγμῶν, λέγω δὲ τῶν ὀλίγῳ τινὶ τοῦ κατὰ φύσιν εἰς μῆκος τε καὶ στενότητα καὶ ταπεινότητα τὴν μεταβολὴν ἐσχηκότων, οὐ μόνον οὐδέν τι φαίνεται σκληρότητος, ἀλλὰ καὶ μαλακότης αὐτοῖς συνέστιν ὠθιφανής. καὶ γίνετε μὲν καὶ τῇδε διὰ τὰς αὐτὰς κατὰ γένος αἰτίας, ἐξαλλάττεται δὲ τοῦ ποσῷ καθ' ἑκάστην. εἴτε γὰρ διὰ τὴν τῆς δυνάμεως ἀσθένειαν ἐλάττων ὁ σφυγμὸς ἀπτελοῖτο τοῦ συμμέτρου, μείζων ἡ βλάβη δηλοῦται τῆς δυνάμεως, εἴτε διὰ τὴν τῆς χρείας ἔκλυσιν, ὑπὲρ πλέον ἥκειν καὶ ταύτην κακώσεως. εἰς ὅσον γὰρ ἡ μαλακότης τοῦ χιτῶνος ἑτοιμοτέρα πρὸς τὸ μέγεθος τῆς διαστολῆς ἐστὶν, εἰς τοσοῦτο τὴν μικρὸν ἐργαζομένη τὸν σφυγμὸν αἰτίαν ὑπὲρ τετᾶσθαι δηλώσει. τῆς μὲν οὖν κατὰ τὴν δύναμιν ἀῤῥωστίας τὸ ποσὸν αὐτάρκως ἐδηλοῦτο διὰ τοῦ ποσοῦ τῆς ἀμυδρότητος. ἐξ ὑπὲρ μέτρου δ' ἂν εἴη καὶ τὸ νῦν εἰρημένον. ἥδε τῆς χρείας ἔκλυσις εἰς ὅσον ἥκει κακώσεως, ἐκ μόνων τῶν εἰρημένων σημείων εὑρίσκετε. περὶ ὧν εἰρήσεταί τι καὶ διὰ τῶν ἐφεξῆς, ὅταν ὑπὲρ πλέκωμεν ἀλλήλοις τὰ γένη τῶν σφυγμῶν. νυνὶ γὰρ οὐ τοῦτ' ἡμῖν τὸ προκείμενον, ἀλλὰ περὶ τοῦ κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἐγχειρήσαντες λέγειν, ἠναγκάσθημεν ἐφάψασθαι καὶ τῶν ἄλλων. αὖθις οὖν ὠθὶ τὸ προτεθὲν ἐξ ἀρχῆς ἐπανέλθωμεν, ὠθὶ τὰ λοιπὰ γένη μεταβαίνοντες. οὐδὲν γὰρ οἶμαι δεῖν ἔτι οὐδὲ ἄλλους ὁμοίως ἐπανερέχεσθαι σφυγμοὺς ἐκ τοῦ διαγράμματος. ἀλλὰ κατὰ τῆς αὐτὴν μέθοδον ἣν νῦν ὠθὶ τῶν μακροῦ καὶ στενοῦ καὶ ταπεινοῦ πεποιήμεθα, καὶ περὶ τῶν ἄλλων ἑκάστου διορίζεσθαι, πρῶτον μὴ ἀπεχωρίζαντες ὅσα διὰ τὴν τοῦ σώματος σχέσιν ἐξαλλάττονται κατὰ μῆκος, ἢ πλάτος, ἢ βάθος, ὡς μὴ μεγάλοι μόνον ἢ μικροὶ φαίνεσθαι. δεύτερον δὲ τὰς αἰτίας ὠθισκεπτομένους, δι' ἃς ἤτοι μείζονες τοῦ κατὰ φύσιν, ἢ μικρότεροι γίνονται. περὶ μὲν δὴ τοῦ κατὰ τὸ ποσὸν τῆς διαστολῆς γένους τῶν σφυγμῶν αὐτάρκως εἴρηται πρόρ γε τὰ

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 132 sur 494

παρόντα. περὶ δὲ τῆς εἰς τάχος τε καὶ βραδυτῆτα μεταβολῆς αὐτῶν, ὅπερ ἰδιαίτατον ἐστὶ γένος αὐτῆς τῆς κινήσεως τῶν ἀρτηριῶν ἐξῆς ἂν εἴη ῥητέον. Ἀρκτέον δὲ καὐταῦθα πάλιν ἀπὸ τοῦ διαστείλασθαι τὴν ὁμωνυμίαν. λέγεται δὴ ταχὺς σφυγμὸς ὁ μὲν ὡς πρὸς τὸν σύμμετρον, ὁ δὲ ὡς πρὸς ὁντινασοῦν τὸν ὑπερχόντα. καὶ μὲν δὴ καὶ αὐτὸς ὁ σύμμετρος. ὁ μὲν ἁπλῶς ἐστὶ, ὁ κατὰ τὴν ἀρίστην δηλονότι φύσιν, ὁ δὲ καθ' ἕκαστον ἄνθρωπον ἀμέμπτως ὑγιαίνοντα. κρίνεται δ' οὗτος ἐν τῇ πρὸς τὸν ἁπλῶς σύμμετρον παραβολῇ, καὶ διδάσκει τὴν κρᾶσιν ὁποῖα τίς ἐστιν. ὁ μὲν οὖν θάττων θερμοτέραν, ὁ δὲ βραδύτερος ψυχροτέραν ἐνδείκνυται τὴν κρᾶσιν. οὐ μὴν εὑρεῖν γ' ἀκριβῶς ἐστὶ μόνην εἰς ταχὺς καὶ βραδυτῆτα μεταβολὴν, οὔτ' ἐν τοῖς κατὰ φύσιν, οὔτ' ἐν τοῖς οὐ κατὰ φύσιν ἔχουσι σώμασιν. ὁ γὰρ θερμότερος τῆς ἁπλῶς συμμέτρου κρᾶσεως εἰ θάττονα φαίνοιτο τὸν σφυγμὸν ἔχων, ἐξ ἀνάγκης αὐτὸν ἔχει μείζονα, ὅ, τε τοῦ κατὰ φύσιν ἑαυτῶν σφυγμοῦ κατά τινα καιρὸν ἔχων θάττονα, καὶ μείζονα πάντως ἔχει. οὐ μὴν πυκνότερος γε οὐδέτερος αὐτῶν ἐξ ἀνάγκης. ἐν γὰρ τοῦ παραύξεσθαι τὴν θερμασίαν ὑπὸ πλέον ἡ πυκνότης αὐτοῖς προσγίνεται. τοῦ τάχει τοίνυν ἐνίοτε μὲν καὶ τὸ μέγεθος, ἐστὶ δ' ὅτε καὶ ἡ πυκνότης συνέστι. ὥσπερ αὖ πάλιν ἐνίοτε πυκνότης μόνη, ὅταν ἀπολιπόντες τινὰ τῆς ἐνδεχομένην ἐν ἐκείνῳ τοῦ καιρῷ μεγίστην διαστολὴν ἔχοντα, μετὰ ταῦτ' ἐπανελθόντες εὕρωμεν ἴσον μὲν τὸ μέγεθος, ὑπερτεταμένον δὲ τὸ τάχος. ἐξ ἀνάγκης γε τοῦ τοιούτῳ καὶ ἡ πυκνότης συνεπιτέταται. εἰ δὲ ἐκλελυμένην τὴν χρεῖαν τῶν σφυγμῶν ἔχοντά τινα καταλίποντες, ἐπανελθόντες εὕροιμεν εἰς τάχος ὑπερδεδωκότα τὸν σφυγμὸν, οὐ δὲ τό τε μόνον εἰς τάχος ἐπέδωκεν, ἀλλὰ καὶ πυκνότητα μὲν πάντως ἐγχωρεῖ καὶ εἰς μέγεθος. ἐπειδήπερ ἡ τῆς χρείας ἔκλυσις εἰς ἀραιότητα μὲν ἐνεργέστερον, ἐφεξῆς δὲ εἰς βραδυτῆτα, καὶ τρίτον εἰς μικρότητα τρέπει τὸν σφυγμόν. οὕτω δὲ καὶ αἱ εἰς βραδυτῆτα μεταβολαὶ τῶν σφυγμῶν, αἱ μὴ ἐκ τοῦ κατὰ φύσιν, εὐθὺς καὶ εἰς ἀραιότητα τρέποντες. πολλάκις δὲ καὶ εἰς μικρότητα, ὅταν ὑπερπλέον ἡ χρεία μεμείωται. αἱ δ' ἐκ τῶν οὐ κατὰ φύσιν καταστάσεων, αἱ μὲν ὑπὸ παρηυξημένῃ τῇ χρείᾳ, πολλάκις μὲν μετὰ τῆς εἰς μικρότητα τροπῆς, ἐστὶ δ' ὅτε μετὰ τῆς ἀραιότητος, καὶ ποτὲ μετὰ τῆς εἰς ἀμφώτερα. αἱ δ' ὑπὸ μεμειωμένῃ τῇ χρείᾳ μεταβολαὶ τῶν σφυγμῶν, εἰς βραδυτῆτα μετὰ ἀραιότητος τε καὶ μικρότητος γίνοντες. αὗται μὴ αἱ πρώτης τε καὶ ἁπλούστατες τροπαὶ τῶν σφυγμῶν, εἰς τάχος καὶ βραδυτῆτα, καὶ τούτων αἰτίαι προηγούμεναί τε καὶ κατάρχουσαι, κατὰ τὸν αὐτὸν τρόπον εὑρισκόμεναι, ταῖς ἐπὶ μεγέθους τε καὶ μικρότητα εἰρημέναις. αἱ δ' ἐπὶ μικτοί τε καὶ σύνθετοι τροπαὶ μετὰ σφοδρότητος τε καὶ ἀμυδρότητος, ἢ σκληρότητος, ἢ μαλακότητος συνίστανται. περὶ ὧν καὶ αὐτῶν ὑπισκέπτεσθαι τε καὶ διορίζεσθαι προσήκει κατὰ τῆς αὐτὴν μέθοδον, ἣν ἐν τοῦ περὶ τοῦ μακροῦ καὶ στενοῦ καὶ ταπεινοῦ λόγῳ διήλθομεν, ἕνεκα τοῦ γνῶναι διά τινα τὴν αἰτίαν εἰς τάχος ἢ βραδυτῆτα τῆς ἀλλοίωσιν ὁ σφυγμὸς ἐποιήσατο. δυνατὸν μὲν γάρ ἐστιν, ὡς εἴρητες, διὰ τὴν χρείαν ὑπερταθεῖσαν, εἰς τάχος ὑπὸ δοῦναι τὸν σφυγμόν. οὐκ ἀδύνατον δὲ καὶ διὰ τὴν μαλακότητα τῆς ἀρτηρίας, καὶ τὴν ἰσχὺν τῆς δυνάμεως. ἀλλ' ὅταν μὲν ἄτρεπτος ᾖ, κατὰ μαλακότητα, καὶ σκληρότητα, καὶ σφοδρότητα, καὶ ἀμυδρότητα, διὰ τῆς χρείαν μόνην ἢ ἀλλοίωσις. ὅταν δὲ καὶ μετὰ τούτων τινός, ὑπισκέπτεσθαι τε καὶ διορίζεσθαι προσήκει τὸ ἐπικρατοῦν αἴτιον, ὡς ἔμπροσθεν ἐδείκνυμεν, οἷον εὐθέως εἰ μετὰ τοῦ θάττων εἴη μαλακότερος φαίνοιτο, προσήκει σκοπεῖσθαι, πότερον τοσούτῳ θάττων, ὅσῳ μαλακότερος, ἢ πλέονι. εἰ μὲν γὰρ ὅσῳ περ μαλακώτερος τοσούτῳ καὶ θάττων, ὑπὸ τῇ μαλακότητι μόνῃ τὴν ἀλλοίωσιν ἔσχεν. εἰ δὲ πλέονι θάττων, ἢ μαλακότερος, οὐκ ὑπὸ τῇ μαλακότητι μόνον, ἀλλὰ καὶ διὰ τὴν χρείαν ὑπὸ ταθεῖσαν. εἰ δ' αὖ πλέονι μαλακότερος, ἤπερ θάττων, ὅσῳ πλέονι μαλακότερος τοῦτ' ἐκ τῆς κατὰ μόνην τὴν χρείαν ἐκλύσεως ἀφηρέθη. κατὰ δὲ τὸν αὐτὸν τρόπον, εἰ μετὰ τοῦ θάττων γένεσθαι καὶ σφοδρότερος γένοιτο, σκεπτέον εἰ τοσούτῳ θάττων ὅσῳ σφοδρότερος. οὕτω μὲν γὰρ ἂν ἡ ῥώμη μόνη τῆς δυνάμεως τοῦ τάχους αἰτία εἴη. εἰ δ' ἔλαττον σφοδρότερος, ἤπερ θάττων, ὅσῳ θάττων, τοῦτ' ἐκ τῆς χρείας αὐξηθείσης προσῆλθεν. εἰ δὲ πλέονι σφοδρότερος, ἤπερ θάττων, οὐχ ἡ ῥώμη τῆς δυνάμεως μόνον, ἀλλὰ καὶ ψύξις τις ἠλλοίωσε τοὺς σφυγμούς. εἰ δὲ θάττων τε ἅμα καὶ μαλακώτερος καὶ σφοδρότερος φαίνοιτο, ἱκανῶς γε γυμνασμένου δεῖτες γνωσομένου πότερον τοσούτῳ θάττων ἐστὶ τοῦ κατὰ φύσιν, ὅσον ἐξ ἀμφοῖν τῶν αἰτίων ἐγένετο τῆς τε μαλακότητος καὶ τῆς εὐτονίας, ἢ οὐ τοσούτῳ. εἰ μὴ γὰρ τοσούτῳ δι' ἐκεῖνα μόνα τῆς ἀλλοίωσιν ἔσχεν. εἰ δὲ πλέονι, καὶ διὰ τὴν τῆς χρείας ἐπίτασιν. εἰ δὲ ἐλάττονι, καὶ διὰ τὴν τῆς χρείας ἔκλυσιν. οὕτως δὲ κἀπὶ τῆς εἰς βραδυτῆτα τροπῆς τῶν σφυγμῶν ὑπισκεπτέον, εἴτε διὰ τὴν χρείαν μόνην ἐκλυθεῖσαν, εἴτε δι' ἀῤῥωστίαν τῆς δυνάμεως, εἴτε διὰ σκληρότητα τῶν ὀργάνων, ἡ ἀλλοίωσις ἐγένετο. διὰ μὲν οὖν τὴν χρείαν μόνην εὔλογον ἠλλοιῶσθαι τὸν σφυγμὸν, ὅταν μήτε σκληρότερος εὑρίσκεται, μήτ' ἀτονώτερος. διὰ δὲ τῆς ἀῤῥωστίαν τῆς δυνάμεως, ὅταν ὅσῳ περ ἀμυδρότερος, τοσούτῳ καὶ βραδύτερος. οὕτω δὲ καὶ διὰ τὴν σκληρότητα τῶν ὀργάνων, ἐπειδὰν ὅσῳ σκληρότερος τοσούτῳ καὶ βραδύτερος. εἰ μέντοι φαίνοιτο πλέονι τοῦ συμμέτρου βραδύτερος, ἐλάττονι δ' ἀμυδρότερος ἐξ ἀτονίας τε καὶ καταψύξεως ἐγένετο τοιοῦτος. καὶ τό γε δυναστεῦον ἐν αὐτῷ τῶν αἰτίων εὑρήσεις ἐκ τῆς πρὸς τὸν κατὰ φύσιν τε καὶ σύμμετρον παραβολῆς. εἰ μὲν γὰρ ἡ ἀμυδρότης ἀριθμοῖς εἰ τύχοι πέντε τοῦ κατὰ φύσιν ἐξίστασθαι φαίνοιτο. πέντε καὶ δέκα ἀριθμοῖς ἡ βραδύτης, ὑπικρατεῖν ἐν τῇ τοῦ τοιούτου σφυγμοῦ γενέσει, τὸ ψυχρὸν αἴτιον οὐ τὴν ἀτονίαν τῆς δυνάμεως αἰτίαν ὑπολήπτεον. εἰ δὲ πεντεκαίδεκα μὴ ἀριθμοῖς ἡ βραδύτης φαίνοιτο, δέκα δ' ἀριθμοῖς ἡ ἀμυδρότης, ἡ ἀτονία πλέον ἐν τῇ τοῦ σφυγμοῦ γενέσει δύναται τῆς ψυχρότητος. εἰ δ' ἐλάττονι μὴ εἴη βραδύτερος, ἀμυδρότερος δὲ πλέονι, διά τε τῆς ἀτονίαν τῆς δυνάμεως καὶ προσέτι θερμότητα τοιοῦτος ἐγένετο. καὶ τό γε μέγεθος ἑκατέρου τῶν αἰτίων ἐκ τῆς κατὰ τῆς ἀναλογίαν ὑπεροχῆς εὑρήσεις, μεμνημένων ἡμῶν, ὡς ἅπαντα ταῦτα λέγετες τῆς ὑπερκτήτου κινήσεως ἀφωρισμένης. ὡσαύτως δὲ καπειδὰν εἰς βραδυτῆτα τῆς τροπῆς γενομένης εὑρίσκετες τις σκληρότης, ὑπισκεπτέον, εἴθ' ὑπὸ μόνης τῆς σκληρότητος ἡ ἀλλοίωσις, εἴθ' ὑπ' ἀμφοῖν ἐγένετο. εἰ μὲν γὰρ ὅσῳ περ ὁ σφυγμὸς βραδύτερος ἐγένετο, τοσούτῳ καὶ σκληρότερος φαίνοιτο, διὰ τὴν σκληρότητα μόνην ἡ ἀλλοίωσις. εἰ δὲ πλέονι βραδύτερος, ἤπερ σκληρότερος, οὐ διὰ τὴν σκληρότητα μόνην, ἀλλὰ καὶ διὰ τῆς

ψύξιν.

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 133 sur 494

ψύξιν. εὑρήσεις δὲ καὶ ταῦτα τὸ ἰσχυρότερον ἄπιον, ὡς ὀλίγον ἔμπροσθεν εἴρηται. εἰ δὲ πλέονι μὲν ἔστι σκληρότερος, ἐλάττονι δὲ βραδύτερος, οὐ διὰ τὴν σκληρότητα μόνον, ἀλλὰ καὶ διὰ τὴν θερμότητα, τοιοῦτος ἐγγύς. γνώσῃ δὲ καὶ ταῦτα τὸ μέγεθος ἑκατέρου τῶν ἀπίων ἐκ τῆς τῶν ἀναλογίαν ἔχοντος. εἰ δὲ βραδύτερος τε ἅμα καὶ σκληρότερος καὶ ἀμυδρότερος εἴη, γεγυμνασμένος καὶ ταῦτα χρῆα τὸ γνωσόμενος, πότερον τοσούτῳ βραδύτερος ὅτι τῆς φύσιν, ὅσον δὲ ἀμφοῖν τῶν ἀπίων ἐγγύς ἐστι τῆς χρείας ἑκάτερος τε καὶ σκληρότητος, ἢ οὐ τοσούτῳ. εἰ μὲν γὰρ τοσούτῳ, δι' ἐκεῖνα μόνα τὰ ἀλλοίωσιν ἔχοντα, εἰ δὲ πλέονι καὶ διὰ τὴν τῆς χρείας ἔκλυσιν. εἰ δ' ἐλάττονι καὶ διὰ τὴν τῆς χρείας ἐπίτασιν. Ἐπεὶ δὲ καὶ πρὸ τούτου ἀπάρκως εἴρηται, πρός γε τὰ παρόντα βραχύτατον τὸν λόγον ὑποδησάμενος, ἐντεῦθεν πρὶν ἐπ' ἄλλο τι μεταβῆναι χρὴ σοφὲ, διασκέψασθαι τὴν ἀρετὴν, πρώτης μὲν οἰκειοτάτης τοῖς σφυγμοῖς τῆς περὶ τὸ ποιὸν τῆς κινήσεως, δευτέρας δὲ τῆς περὶ τὸ ποσὸν τῆς διαστολῆς, ἡμεῖς καὶ νῦν καὶ τὸ πρώτῳ πρὸ τῆς διαφορᾶς τῶν σφυγμῶν, οὐ τῆς κυριωτέρας διαφορᾶς ἐμνημονεύσαμεν, ὅτι χαλεποτέραν ἔχει τὴν διάγνωσιν, ἀλλὰ τῆς τοῖς εἰωθόσι διαγνωσθῆναι ῥᾳδίως καὶ διὰ ταχέος καὶ συλλῆψαι τι χρησιμωτέρας. ὑπάρχει δ' αὐτῇ καὶ τοῦτ' ἴδιον ἀφαίρετον, ὅπερ οὐδεμιᾷ τῶν ἄλλων, τὸ, φαίνεσθαι μὲν ἐπὶ καὶ ἐνίοτε διαφορᾶς σφυγμῶν ἐν αὐτῇ, κατ' ἀλήθειαν δ' οὐκ εἶναι τοιᾶς. ἐν γὰρ τοῖς ἄλλοις ἅπασι γένεσιν, ὅσαι πέρ εἰσιν αἱ διαφοραὶ φύσεῳ, ζοσάντες καὶ φαίνονται. λοιπὰ δ' ἄλλα δύο γένη σφυγμῶν ὅτι τῆς διαστολῆς, τὸ μὲν ἕτερον ἐνδεεστικὸν τῆς δυνάμεως, τὸ δ' ἕτερον τῶν χιτῶνος τῆς ἀρτηρίας. ἑκάτερον τε, καθ' ὡς ἂν φαίη τις, οὐκ οἰκεῖον, ἀλλ' ἐπίκτητον γένος σφυγμῶν. ὑπάρχει δὲ τοῖς μὲν δυσὶ τούτοις γένεσιν ἀεὶ τὴν αἰτίαν, ὑφ' ἧς γίνεται, καθὼς ἐνδεέστερα. τοῖς δ' ἄλλοις δύο τοῖς πεφυκόσιν οὐκ ἀεί. καὶ γὰρ καὶ συμβέβηκε τοῖς μὲν δυσὶ τοῖς ὑστέροις γένεσιν, ὑπὸ μίας αἰτίας ἑκάτερον δημιουργεῖσθαι. τοῖς πρώτοις δὲ δυσὶ πῶς ἁπασῶν τῶν αἰτιῶν, ἃς τρεῖς ἔστιν πολλάκις ἐδείξαμεν. ὅθεν καὶ χαλεπώτερον ὧν τῶν πρώτων δύο γενῶν ὁ λόγος ὅδ' ἐστίν, καὶ διορισμὸν χρὴ ζητεῖν πλείονων εἰς τὴν τῆς αἰτίας εὕρεσιν. ὧν δὲ τῶν ὑπολοίπων γ' δυοῖν, τό, τε γένος τῆς αἰτίας ἑκάτερον, ἥ τε τοῦ ποσοῦ διάγνωσις ἀφωρισμένη. Σφοδρὸς μὲν ὁ σφυγμὸς ὑπὸ ῥώμης ἀεὶ γίνεται δυνάμεως, καὶ ὅσῳ γε σφοδρότερος, τοσούτῳ καὶ τῇ ῥώμῃ τῆς δυνάμεως ὧν τετάχθαι δηλοῖ. ἀμυδρὸς δὲ διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως, καὶ ὅσῳ γ' ἂν ἀμυδρότερος ᾖ, τοσούτῳ καὶ τῇ δυνάμει ἀσθενεστέραν ὑπάρχειν ἐνδείκνυται. ἥ τε ταῦτα δὲ καὶ ὁ μὲν σκληρὸς σφυγμὸς, ὑπὸ σκληροῦ χιτῶνος τῆς ἀρτηρίας ἀπεργάζεται. ὁ δὲ μαλακὸς ὑπὸ τοῦ μαλακοῦ. καὶ δὴ καὶ τὸ ποσὸν τῆς τοῦ σφυγμοῦ σκληρότητος τε καὶ μαλακότητος, ἐνδεικτικὸν ὅτι τοῦ ποσοῦ τῆς κατὰ τὴν ἀρτηρίαν σκληρότητος καὶ μαλακότητος. ἀλλ' ὁ μὲν τοῦ σκληροῦ καὶ μαλακοῦ μέσος, ὥσπερ καὶ συμμέτρως ὀνομάζεται, πρῶτος τ' ὄντων τῇ φύσει καὶ μόνος τῆς φύσιν. ἀμυδρὸς δὲ καὶ σφοδρὸς τῆς τόνου μὲν τὸν λόγον, οὐδεὶς ὅτι μέσος. ὁ μὲν γὰρ ἀμυδρὸς ἀῤῥωστούσης τε καὶ παρὰ φύσιν ἐχούσης τῆς δυνάμεως ὄντων ἐγγύς, ὁ δὲ σφοδρὸς σύρωστούσης τε καὶ κατὰ φύσιν διακειμένης. καθ' ἕτερον δὲ τρόπον, ὡς καὶ τοῖς ἔμπροσθεν ἐλέγομεν, εἴη ἂν τις μέσος ἀμυδρὸς, καὶ σφοδροῦ. ὁ δὲ τρόπος ὁ κατὰ τὴν διάγνωσιν ὅτι τῆς ὧν καλουμένης ἁφῆς, ἥνικα μὲν ἀνατρέπεται πῶς τοῦ σφυγμοῦ, σφοδρὸν ἡμῶν αὐτὸν ὀνομαζόντων, ἥνικα δ' ἀνατρέπει τὸν σφυγμὸν, ἀμυδρὸν, ἥνικα ἢ οὐδέτερον, ἐν τῷ μέσῳ τόπον ἔστιν λεγόντων ἀμυδρόν τε καὶ σφοδρὸν πρὸς φύσιν ὄντα καὶ αὐτὸν, ὥσπερ καὶ τὸν ἀμυδρόν. ἀλλ' ἀλλοιώσεις τῶν σφυγμῶν, αἱ μὲν εἰς ἀμυδρότητα καὶ σφοδρότητα, καὶ μόναι γίνονται πολλάκις, καὶ ὑφ' ἑνὸς αἰτίου. ὅταν γὰρ τοῦ χιτῶνος τῆς ἀρτηρίας ἅμα τῇ χρείᾳ κατὰ φύσιν ἔχοντος, ὧν βραχύ πως ἀλλοιωθῇ τὰ τοῦ τόνου τῆς δυνάμεως, ἀμυδρότερος μὲν, ἢ σφοδρότερος ἐν τούτῳ τῷ πρόσθεν ὁ σφυγμὸς γίνεται. τῶν δὲ ἄλλων γένων, οὐδὲν αὐτῷ συμμεταβάλλει. ὅτως μὲν δὴ μόναι γίγνονται καὶ ὑφ' ἑνὸς αἰτίου. καθ' ἕτερον δ' αὖ τρόπον ὑπὸ μιᾶς μὲν αἰτίας, αἱ μόναι δὲ. τῆς μὲν οὖν δυνάμεως ὧδε πλέον ἐκλυθείσης, ἢ ὧδε ταθείσης, εἰ καὶ τῶν ἄλλων αἰτίων τῶν σωζεσθῶν μηδὲν ποτε ἀλλοιωθείη, τὴν μὲν προσωπὸν τῶν σφυγμῶν ὑφ' ἑνὸς αἰτίου γένεσθαι συμβήσεται. γένος δ' οὐκ ἂν ἀλλοιωθῆναι μόνον. ἥ τε γὰρ ὧδε πλέον ἀῤῥωστοῦσα δύναμις, οὐ μόνον ἀμυδρὸν, ἀλλὰ καὶ μικρὸν ἐργάζεται τὸν σφυγμόν. καὶ δίστε μικρὸν, οὐδὲν καὶ σκνικόν. ἥτ' ὧδε πλεῖον ῥωννυμένη, σῴζει τοῦ σφοδρότατον, σύθεως καὶ μείζονα τὸν σφυγμὸν ἀπεργάζεται, καὶ εἰ μηδὲν ὑπαλλάττοιτο ἡ χρεία, καὶ ἀραιότερον. ἡ δ' εἰς σκληρότητα τε καὶ μαλακότητα μεταβολὴ τῶν σφυγμῶν, εἰ μὲν ὑφ' ἑνὸς αἰτίου γίνοιτο, πάντως καὶ τῶν ἄλλων τι σύμμετρον βάλλοι γένος. εἰ δὲ μόνη σωίσαιτο, τῶν πλείονων αἰτίων σωεληλυθότων ἀπεργάζεται. ἅμα δὲ μόνη τε καὶ ὑφ' ἑνὸς αἰτίου κατ' ἐνίους τρόπον γίνεται, πλὴν εἰ πάνυ τελῶς ἐλάχιστον ἐκπεπαῖ τοῦ κατὰ φύσιν, ὥστε βραχυτάτῳ μὲν τινι γένεσθαι σκληρότερον τὸν σφυγμόν. ἴδιον μὲν τοι κατὰ τὸ μέγεθος. ὅτῳ γὰρ ἐν δὲ τὸ τάχος, ἐν δ' ἡ πυκνότης ὑπαλλαχθήσεται. ἀφωρίσθαι δὲ καὶ μείζονος τῆς σκληρότητος γινομένης, ἀνάγκη καὶ τὸν σφυγμὸν γένεσθαι μικρότερον καὶ τοσοῦτον γε πυκνότερον, ὅσον μικρότερον. εἰ δ' ἅμα τε σκληρότερος ὁ χιτὼν τῆς ἀρτηρίας γένοιτο, καὶ ἡ θερμότης αὐξηθείη, σκληρότερος μὲν ἂν ὁ σφυγμὸς ὧδε τοσοῦτον εἴη τοῦ κατὰ φύσιν, ἐφ' ὅσον καὶ ὁ χιτὼν τῆς ἀρτηρίας. ἐν μὲν τοι τοῦ μεγέθει τοῦ κατὰ φύσιν ἴσος, ἔπερ ὅσον τὸ θερμὸν ἐνδεὲς τοῦ συμμέτρου, τοσοῦτο καὶ ὁ χιτὼν τῆς ἀρτηρίας σκληρότερος τοῦ κατὰ φύσιν. ἐπεὶ δὲ καὶ πρὸ τούτων εἴρηται τὰ μέτρια πρός τε τὴν ὑπεσθαι ὑπόθεσιν, ἐξῆς ἂν εἴη τὰς προηγουμένας καὶ προκαταρχούσας αἰτίας τῶν προειρημένων δύο γενῶν διελθεῖν. αἱ μὲν οὖν αὐξάνουσαι τὴν ῥώμην τῆς δυνάμεως αἰτίαι προηγούμεναι, αἱ μὲν ἐν αὐτῷ τοῦ σώματι, χυμοί τε τινες εἰσὶν ἡμίπεπτοι τε καὶ ἄπεπτοι, πεπτόμενοι νῦν, ἢτ' ὧν τὴν κείσιν ὁρμὴ τῆς φύσεως, εἰ μὴ ἄρα καὶ ἡ κατὰ τὸν αὐτὸν εἴρηται τρόπον. ἔτι δὲ πρὸς τούτοις θυμός. αἱ δ' ἔξωθεν, οἶνός τε, καὶ τροφαὶ, καὶ γυμνάσια μέτρια, καὶ πρόσφατα τὴν δυσκρασίαν ἐπανορθούμενα τοῦ σώματος αὐτοῦ τῆς τε καρδίας καὶ τῶν ἀρτηριῶν, εἴδωλα ἐλίσματα, εἴτε πόματα, εἴτε καὶ φάρμακα εἴη. καταλύουσι δὲ τὴν δύναμιν, ἀσιτίαι τε καὶ ἀγρυπνίαι,

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 134 sur 494

καὶ φροντίδες, καὶ λύπαι, καὶ κρώσεις ἄμετροι διὰ γαστρὸς, ἢ ὄρων, ἢ ἐμέτων, ἢ μήτρας, ἢ τινῶν ἀιμορραγίας, καὶ αἱ σφοδραὶ τῶν ὀδυνῶν, ἢ μετά τινος ἰδιότητος γινόμεναι, καθάπερ ἡ καὶ σομαχικὴ καλουμένη διάθεσις, ἐφ' ἣ συγκόπτονται. ἔτι τε πρὸς τούτοις ἅπασι ὅσα δυσκρασίαν ἐργάζεται ἡ περὶ τὴν καρδίαν, ἢ τὰς ἀρτηρίας, εἴτουν ἐν τῷ σώματι πάθη ἐχόμενα τὰ μὲν ἐν ὑγροῖς, τὰ δ' ἐν τοῖς στερεοῖς, εἴ τε καὶ τούτων ἔξωθεν προηγούμενα. καὶ ταῦτα σύμπαντα καταλύει τὴν δύναμιν, ἀμέτρως ὑγραίνοντα καὶ ξηραίνοντα, καὶ θερμαίνοντα, καὶ ψύχοντα, καὶ διαφορουῦτα. ὅσαι δὲ αἰτίαι προηγούμεναι τε καὶ προκατάρχουσαι τὸν σφυγμὸν ἐργάζονται σκληρότερον, εἴρηται πρόσθεν ἐν τῷ περὶ τῶν μακρῶν τε ἅμα καὶ σφῶν καὶ ταπεινῶν λόγῳ. ὡς δεῖν ἐπὶ δὴ νῦν αὐτὰς ἐπέρχεσθαι. μόνας δὲ τὰς τῶν μαλακῶν προσθέντας, ἐνταῦθα ποιοῦμεν τὸν λόγον. μαλακὴν οὖν ἐργάζονται τὴν ἀρτηρίαν, αἵθ' ὑγραὶ τροφαὶ, καὶ τὰ πλέω λεπτὰ, καὶ ὕπνοι πολλοὶ, καὶ ἡ ἀθροτέρα δίαιτα, καὶ ἡ θυμηδία. ταῦτα μὲν ἐν τῷ ἐπὶ φύσιν ἔχειν. ἐν δὲ τοῖς παρὰ φύσιν ἐν κώμασι, καὶ λιθάργοις, καὶ ὑδρώροις, ὅσα τ' ἄλλα οἱ χιτῶνας τῶν ἀρτηριῶν ὑγρότητι πολλῇ καὶ μάλιστα φλεγματώδει διαβρέχει, περὶ ὧν ὠδὶ πλέον εἰρήσεται· διὰ τ' ὀλίγης, ὁπόταν ἐπὶ τὰ παθῶν ὁ λόγος ἥκῃ καιρός ἐστι καταπαύειν τ' γενέσθαι λόγον εἰς ἃ ἀθροισαντα κεφάλαιον, ὅδον ὀλίγ' αὖτ' χρήσιμον. ὅτι ἢ τὸ διὰ τῆ γενεσῶσαν διάθεσιν ἑκάστων σωτηκτικῶν αἰτίων, οἱ σφυγμοὶ πρώτως ἐνδείκνυνται. γνωσθείσης δὲ τούτης αὖτε προκεκρίσθαι καὶ αἱ προκατάρξασαι ἢ πρώτης αὐτῶν αἰτίαι λαμβάνονται. καὶ τότε τῶν προγεγονότων ἡ πρόγνωσις. ἡ δὲ τ μελλόντων πρόγνωσις, ἐκ τῶν ἐπομένων ταῖς διαθέσεσι λαμβάνεται. καθ' ὃν δὲ μάλιστα τρόπον ἑκάστου τῶν εἰρημένων γίγνοιτο ἄν, ἐν τοῖς μετὰ ταῦτα λόγοις διαιρήσομαι, πρότερον γε ἢ τὸ διὰ τῶν δὲ τῶν ὑπομνημάτων, ὅδον ὑπόλοιπον ὅτι νῦν ἡμῖν προτεθέντων διελθεῖν.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΠΡΟΓΝΩΣΕΩΣ

ΣΦΥΓΜΩΝ ΒΙΒΛΙΟΝ β'

περὶ μὲν δὴ τῶν πρώτων τε καὶ, ὡς ἄν τις ποιοῖ, στοιχειωδεστάτων σφυγμῶν, ὧν ἐν τῇ διασολῇ ἡ ἀρτηρίας ἡ διάγνωσις, ἐν τοῖς πρὸ τούτου λόγοις δεδήλωται. περὶ δὲ τῶν ὑπολοίπων, ἐξῆς ἂν εἴη ῥητέον ἀρξαμένοις ἐκ τῆς συστολῆς ἀρξαμένοις. ἔστι μὲν οὖν καὶ ταύτῃ τὰ τόσαρα γένη τῶν σφυγμῶν, ὁκόσπερ κἀπὶ τῆς διαστολῆς. καὶ γὰρ ὠκυτέρα καὶ βραδυτέρα καὶ μείζων καὶ μείων καὶ σφοδροτέρα, καὶ ἀμυδροτέρα κατά γε τὴν φύσιν αὐτῶν τοῦ πράγματος, ἡ ἐν τῇ συστολῇ κίνησις γίνεται. ὥσπερ γε καὶ τὸ σῶμα τῆς ἀρτηρίας, ἢ τοι σκληρόν, ἢ μαλακόν ἀπετελεῖτο, οὐ μὴν διαγνῶναί γε δυνατὸν ἔστι τῶν εἰρημένων χωρὶς οὐδέν, ὁπὶ μὴ βραδυτῆτα μόνον καὶ τάχος. οὐ δὲ ταῦτ' ὠδὶ πάντων, ἀλλ' ἐν ἐκείνοις τοῖς σφυγμοῖς, ἐν οἷς ἀιδηλὴ διάγνωσις ὅτι τῆς συστολῆς. ὡς ἐν τοῖς πρώτῳ περὶ διαγνώσεως σφυγμῶν ὠδὶ δεδείκται. καὶ μὲν δὴ καὶ τοῦ περὶ χρείας σφυγμῶν ἐδεδείκτο τῆς ἀρτηρίας ἐνέργειά τις ἐοῦσα καὶ ἡ συστολὴ τῆς διαστολῆς οὐδὲν ἧττον. ἀμφότεραι γὰρ διαφυλάττουσι τὴν συμμετρίαν τῆς κατὰ φύσιν κινήσεως. ἡ μὲν γὰρ διαστολὴ καθάπερ εἰς πνοήν τινα ἐμψύχουσά τε τὸ ἐνδεβλημον τῆς φλογώσεως, καὶ τοῦ ῥιπίζειν ἀνάπτουσα τὸ σβεννύμενον. ἡ δὲ συστολὴ, τὸ λιγυρῶδες ἀφεῖσα δήλη ἐκπνοῆς. σημαίνει γοῦν οὕτω τὸ μὲν τάχος τῆς συστολῆς ἀξιολόγου τινὸς πλήθους ἀιδαλωδῶν περιττωμάτων ἀθροίζεσθαί τε ἅμα καὶ ἐκλείνεσθαι, κατ' ἐκεῖνον τὸν χρόνον, ἐν ᾧ πρὸς αὐτὴν εὐείσληται. ἡ δὲ βραδύτης τοὐναντίον, οὔτε ἀθροίζεται πολὺ τὸ τοιοῦτο περίττωμα, καὶ διὰ ὅσον μὴ δὲ κενοῦσθαι. πάμπολυ μὲν γὰρ ἀθροίζεται ἐπὶ τὰς σήψεις τῶν χυμῶν, ἐφ' ἃς ἀνάγκη πυρετοὺς ἀνάπτεσθαι. παντάπασι δ' ὀλίγον ὅταν δύχυμον ἢ τὸ σῶμα. ἐπὶ δὲ τὰς ἄλλας διαθέσεις ὁπόσαι μεταξὺ τούτων εἰσὶν, ἀνάλογον ἑκάστης τῶν διαθέσεων, ὠδὶ μὲν ταῖς ἐδωδαῖς τε καὶ τοῖς ὕπνοις πλέον, ἐγκυρουμένων δὲ καὶ ἀσιτουμένων, ἔλαττον. ὅτως δὲ καὶ κατ' αὐτὴν τῶν ἐδεσμάτων τ' φύσιν, ὧδὶ μὲν τοῖς καυχύμοις πλέον, ὠδὶ ἢ τοῖς δύχυμοις ἔλαττον. ἀνάλογον δὲ καὶ ἐπὶ τοῦ πυρετοῦ, ἐν μὲν ταῖς ὠδισημασίαις, πλέον, ἐν δὲ τοῖς ἄλλοις καιροῖς ἧττον. καὶ πλέον μὲν ὠδὶ τοῖς παχέσι καὶ γλισχροῖς χυμοῖς, οἷοιπερ οἱ φλεγματώδεις εἰσί, καὶ ὃς ὀνομάζεσθαι ὠμὸς, ἧττον δὲ ὠδὶ τοῖς πικροχόλοις τε καὶ μελαγχολικοῖς. ἐν δὲ τοῖς μεταξὺ τούτων ἐφ' ἅμα τι. καὶ γὰρ καὶ δοκεῖ σήπεσθαι ἐπὶ τὰς φλεγμονὰς ἐφ' ἃς πυρέτησι, τάς τε ἄλλας, καὶ ὧν ἡ φλόγωσις εἰς τοσοῦτον ἄμετρος, ὡς καταλείπειν τι τὸ διέρμα καὶ παθὸς ἐργάζεσθαι τὸ προσαγορευόμενον ἄνθρακα. ἐπὶ αὐτῆς δὲ πῶς εἰσὶ φύσεως καὶ οἱ μετὰ ἀναβρώσεως ἕρπητες, ὃς ἐδιομελὴς ἱπποκράτης ὠνόμαζεν. ἐν ἅπασι γὰρ τοῖς τοιούτοις οἱ χυμοὶ σήπονται. καθ' ἕτερον δ' ἂν τρόπον οἱ ἐν ταῖς προκείμεναις ἀρτηρίαις χυμοὶ σηπόμενοι, μεταδιδόασι γε τῇ σφετέρᾳ κακοῦ τοῦ πονηρίαν, καὶ σήπει καὶ τοῦτο τὸ ἀσλάγχνον ἐν τοῦ χρόνῳ. ἀθροίζονται μὲν οὖν ἐν ταῖς προκείμεναις ἀρτηρίαις, ἢ τοι διὰ τὸν ἐκ τῆς λιποψυχίας καθάπαξ, ἢ ἐκ πλησμονῆς, ἢ πόθεν πονηρᾶς ἀνομοιότητος, ἢ τοῦ πονηροῦ πάθους, ἢ στραγγοῦρίας, ἢ ἐξ ἐμπυήματος μεταληφθέντος. τὴν δ' ἀρχὴν τοῦ σήπεσθαι λαμβάνουσι διὰ τὸ μὴ καλῶς ἀναπνεῖσθαι. δύνονται γὰρ ἐν τάχει κρύεσθαι, διά τε τὴν σφετέραν μοχθηρίαν, καὶ τὴν ἐν τοῦ χωρίου εὐρυμότητα, πολλάκις δὲ καὶ ῥᾳδίως ἀγγείου τὸν πονηρὸν χυμὸν, πρόχειρον τοῦ ἅματος εἰς τὰς προκειμένας ἀρτηρίας. ὃ δὴ σκπόμενον ἐν τοῦ χρόνῳ φθορὴν ἐργάζεται. ῥᾴστην δ' εἰς τοῦτ' ὄρχεται, τὸ πρὸς διάβρωσιν τ' ἀγγείων ἐκχυθὲν. ἐν ἁπάσαις δὴ ταύταις, αἷς κατέλεξα διαθέσεσιν, ὅσαι τ' ἄλλαι σηπεδόνα τινὰ χυμῶν ἔχουσιν, ἢ ἔσω κίνησις αὐξάνεται τῆς ἀρτηρίας, καὶ ἐπὶ τὸ ποσὸν μὲν, ὡς ὠδὶ πλέον αὐτὰς συνέλεσθαι, ἀλλὰ ῥᾷστ γε δὴ ἂν ἀιδήσει διαγνοίης ἀκριβῶς· ἡ γοῦν εἰς τάχος ἐπίδοσις, ἐναργὴς τ' ἔστι καὶ διαγνῶναι ῥᾴδια τοῦ τετριμμένου πρὸς τ' οὖρον. ὃν οὖ δ' αὖ ἔξεσθαι τριβῆς οἷόν τε περὶ τὰ πρὸς διαγνώσεως ὑφ' ἡμῶν γεγραμμένα μαθεῖν, ὧν

ὧν ἀλήλοις ἀλλοιωμένων. ὡς ἔγε καὶ ἡμῖν τοῦθ' ὑπαλλαχθέν. ἡ μὲν οὖν τὸ μαλακὸν αὐτῶν ἐκτροπὴ τὸ μέγεθος μὲν πάντως αὐξήσει καὶ τὴν ἀραιότητα. πεδήσει δ' ἴσως καὶ βραδυτῆτα. εἰ δ' ὧν τὸ σκληρὸν, τἀναντία μικρότητα τε καὶ πυκνότητα, καί τοι καὶ τάχος ἴσως πεδήσει. ἐγω μὲν δή μοι πάσης ἤδη δυνῶ τῶν πυρετῶν ἐργάζεσθαι τὰς ἐκ σφυγμῶν διαφοράς. εἰ γε δὴ καὶ τὴν οὐσίαν αὐτῶν οὖν πλεονεξίαν ἢ ἐν τῇ καρδίᾳ θερμασίας ὀρθῶς ἐθέμεθα. καὶ σὺν τοῖς πυρετοῖς τε ἅμα ὅλου δὴ ὀλίγων ἐμνημόνευσα διαθέσεων ἐναντίων τοῖς πυρετοῖς ἐφ' ὧν ἡ καρδίας διάθεσις ψύξις ἐστιν. ἀλλὰ καὶ περὶ τῶν μικτῶν διαθέσεων εἶπον, ὧν ἡ μίξις οὐ ἐναντίων ὧν πλεονασμένων ἀλλήλοις γίγνεται. νῦν δὲ οὐδή μοι καιρὸς ἐφ' ἕτερον πνὰ περιέναι λόγον. ἐπεὶ δὲ δὴ οἶσθ' ὅπως εἰς παμπόλλην διαφωνίαν ἐμπεπλώκασιν οἱ περὶ πυρετῶν πραγματευσάμενοι. δι' ἐλάσσονος ἀναλαβεῖν ὧδε δυνατὸν ἀφαλαίῳ ἔγνωκα τὰ προειρημένα κατὰ τόδε τὸ γράμμα, ἐν ᾧ περὶ τῶν πυρετῶν ἐν σφυγμῶν διαγνώσεως. καὶ εἴ γε χρὴ τἀληθὲς εἰπεῖν δι' ἀρχὴν μάλιστα τοῦτο ποιεῖν δέγνωκα. πάντων γὰρ ὧδε μελέστατος ἐν τῇ περὶ τῶν πυρετῶν πραγματείᾳ δόξας γεγονέναι, κινδυνεύει μηδὲν ἡμᾶς διδάσκειν ὁμοίως ἐρασιστράτῳ. δῆλος γὰρ ὅτι τῶν μηδὲν διδασκόντων ὁ τρόπος, ἐνίων μὲν εἰς ἰδιότητα καταφυγόντων ἀῤῥήτου, ἐνίων δὲ λεγόντων μὲν ὀνόματα, μήτε δ' ἃ σημαίνει φυλαττόντων, μήθ' ἃ βέλονται σημαίνειν ἑρμηνεύοντων. ὁ γάρ τοι σκληρὸς σφυγμὸς ὃν ἀχώριστον εἶναι βούλεται τῶν πυρεττόντων ὁ ἀρχιγένης, ὄνομα μόνον ἔσιν, οὐδὲν πρᾶγμα σημαίνων ὠδιπμονικῶς τε καὶ βεβαίως νοηθῆναι δυνάμενον. ἔρρηται δ' ὧν πλέον ἢ τὸν τοιοῦτος σφυγμὸς κατά τε τὴν περὶ διαφορᾶς σφυγμῶν πραγματείαν. ἔτι τε καὶ τὴν διαγνωστικὴν, ὀχ ἥκιστα ἢ καὶ δι' ὧν ὀλίγα μέντα τε ἅμα καὶ κεῖνομεν, ὅσα κατά γε τὸ περὶ τῶν σφυγμῶν βιβλίον ὁ ἀρχιγένης ἐγράψεν. ἀναγκαῖον δ' ἐν σιν ὡς ἔοικεν εἰπεῖν τι καὶ νῦν ὠδὶ κεφαλαίῳ ἅπαντα αὐτῶν. ὥσπερ τῶν ἄλλων ὀνομάτων ἕκαστον ἴδιον δικαὶ πρᾶγμα παρὰ τοῖς ἕλλησι πᾶσιν. ὅτω καὶ ἡμῖν τῶν ὑποπιπτόντων ταῖς αἰσθήσεσιν, ἔθνητο προσηγορίας πνὰς, ἰδίας μὲν ὅσας δηλοῦσι τὰς ἀκοὰς διαφορὰς, ἰδίας δ' ὅσας τὰς ὁρατὰς, ἢ ὀσφρητὰς, ἢ γευστὰς, ἢ ἁπτὰς. ὅτ' ὂν ἐπ' ἄλλῳ φορήσιν αἰσθησιν τό τε λευκὸν καὶ μέλαν καὶ ξανθὸν καὶ πυῤῥὸν ὠχρόν τε καὶ φαιόν, καὶ κυανοῦν, ὅλως τ' ἄλλα χρωμάτων ὅσων ὀνόματα πλὴν τῶν ὁρατῶν. ὅτ' αὖ πάλιν ἐπ' ἄλλα τὸ αὐστηρὸν καὶ γλυκὺ καὶ ὠμὸν καὶ πρυόνον καὶ σύφορ, ἁλυκόν τε καὶ ἁλμυρὸν, ὅπ μὴ τῶν γευστῶν. τὸ μὲν δ' ἐπ' ἄλλων πνῶν θερμὸν καὶ ψυχρὸν, ξηρὸν καὶ ὑγρὸν, καὶ μαλακὸν καὶ σκληρόν, ἀλλ' ὧδὶ τῶν ἁπτῶν ἅπαντες. εἰ ἦ τις ἐπ' ἄλλο μεταφορὰν τῶν ἐρημένων ὁπόταν, ὁ μὲν τρόπος ἢ τοιαύτης χρήσεως ὀνομάζειν μεταφορά. γίνεται δὲ δή πῃ ταῖς ἄλλαις ὡσαύτως μεταφοραῖς καθ' ὁμοιότητα ἴσως καὶ ἀναλογίαν, καθ' οἵαν ὁμοιότητα. καὶ πόδες (ἵνα) εἴρωτ καὶ κόρυφαι καὶ λαγόνες ὄρεσ, ὡς γὰρ ὧδὶ τῶν ζώων τὰ κατωτάτω μέν οἱ πόδες, ἡ κορυφὴ ἢ τὰ ἀνωτάτω πάντων ἔσιν. ὅτως ὧν τῶν ὀρέων συγχωρᾶμεν τοῖς ποιηταῖς τὰ μὲν ἀνωτάτω, κορυφὰς ὀνομάζειν, τὰ κατωτάτω δὲ πόδας. ἐὰν οὖν τις ὧδὶ ζώου ποιήμενος τὸν λόγον, εἶτα πόδας εἰπὼν, ἢ λαγόνας ἀξιώσει μήτε τῶν ποδῶν ἀκούειν ὡς ἅπαντες ἀκούουσιν, μήτε τῶν λαγόνων ὡς συνήθους, ἀλλ' ὅτως δεῖν φάσκει λαγόνων ἀκούειν, ὡς ὧδὶ τοῦ ὄρους τοῦ βριλλησσοῦ καλλίμαχος εἴρηκε, βριλλησσοῦ λαγόνι εἰσί νόμοι, ὃν ἐκτήσαντο. γλαυκότατος αὖ εἶη, δῆλόν τε καὶ παλινδρομέσει χρώμενον ἀπὸ τῶν κυείων ὧν τὰ κύεια τῇ μεταφορᾷ. ἡμῖν δὲ τὸν αὐτὸν τρόπον καὶ ὅσπις ὧδὶ, ἤθους, ἢ οἴνου λεγομένου τοῦ σκληροῦ ἡμῖν μεταφορᾷ, ἀπὸ τῶν ἁπλῶν σωμάτων ποιούμενον τὸν λόγον, οὐχ ὡς συνήθους ἅπασιν οὕτως ἄξιον ἢ προσηγορίας ἀκούειν, ἀλλ' ὡς οἴνου λέγεται σκληροὺς, ἢ ἄνθρωπος, ὁ ἦθος σκληρόν. ὁμοίως γὰρ ἐκείνῳ ὅπερ τὸ περὶ πραγμάτων ὁρᾶν τῶν διαλεγόμενον, εἶτα λευκὸν μὲν εἰπόντων μὴ συγχωρεῖν ἀκούειν οὕτως. ὡς εἴθισται πᾶσιν, ἀλλ' ἐπειδὴ πυρετοῦ τινὰς λευκὰς αὐτὸς ὁ ἀρχιγένης εἴρηκεν, ὅτως ἀκούειν χρῶμα καὶ τὸ χρῶμα τὸ λευκόν. ὥσπερ οὖν ὁ τοιοῦτος οὐκ ἂν δόξειε σωφρονεῖν, εἰ τὸ κυείως ὧδὶ χρώματος λεγόμενον ὄνομα μετάγειν ἐπ' αὐτὸ, κατὰ δηλῶν μεταφοράν, ἀπὸ τῶν οὐ κυείως ἀξιώσειεν, οὕτως οἶμαι καὶ ὅς τις ὧδὶ σώματος ἁπλοῦ τὸν λόγον ποιούμενον, ἐκ μεταφορᾶς κελεύσει τὸ σκληρὸν ὄνομα ἀκούειν, συμβαίνει γὰρ ἐν τοῖς τοιούτοις ἅπασιν λόγοις, μηδὲν μανθάνειν αὖ ἀκούοντας ὅταν ἐρέωνται τὸ κυείως λεγομένου, μηδὲν τ' ἄλλο νοῆσαι δυνάμενον. τί γὰρ ἄλλο τις νοήσει χρῶμα τὸ λευκὸν ἀλιούσας ὄνομα, τό τε συνήθως ἐργόμενον, ἁλιούειν τε κελεύομενον ἐκ τῶν λευκῶν πυρετῶν μεταφορᾶς. οὕτως οὖν καὶ ὁ σκληρὸς σφυγμὸς ὑπὸ τοῦ ἀρχιγένους εἰσαγόμενον ἐφ' ἅπτὸ πρᾶγμα, εἰ μὴ τὸ κύειον σημαίνει ὅπερ δὴ τὸ συνήθως ἅπασι λεγόμενον, ἀλλ' ὡς ἐκεῖνον ἐκ μεταφορᾶς ἢ τῶν οἴνων βούλεται, παντάπασιν ἀσαφὴς τε καὶ ἄγνωστος γίγνεται, καὶ τοιοῦτον, οἷόν εἰ καὶ σκινδαλψὸς ἐλέγετο. πῶς δὲ καὶ δυνάσθαι παῦ ὅπερ ἄλλο ἢ τοῦ τῶν πυρετῶν ἰδίᾳ σφυγμοῦ φορεῖν ὄνομα, καὶ δυνεῖν τι λεγθῆναι ὡς πρὸς ἀνθρώπους μὲν ἀγυμνάστους ἐν διαιρέσεσι σημαινομένων, συνώμονας ἢ καὶ πεπιστευκότας, ὅτι γόρων ἄνθρωπος ἐν τοσαύτῃ γεγονὼς δόξῃ καὶ πολλὰ τῆς τέχνης ὠφεληκὼς, οὐκ ἂν ἕκων (ἑκὼν) ποτὲ τοιαύτην ἀσάφειαν ἐμηχανήσατο ἢ τὸν λόγον, ὡς ὀνόματα προσφέρεσθαι μηδὲν σημαίνοντα. φορεῖ γὰρ εἴ τις εἴπῃ τὸν τοῦ πυρέττοντος σφυγμὸν ἑκὼν πικρὸν, ἀξιώσει ὅτως ἀκούειν τοῦ πικροῦ ὀνόματος ὡς ὧδὶ γλυκεῖν ἐνίοτε λέγομεν, ἀρ' ἔξομεν τι νοῆσαι σαφὲς; ἢ μᾶλλον, ἢ πρυφνὸν, ἢ αὐστηρὸν, ἢ ὀξὺ ἀκούσαιμεν ἑκὼν τὸν σφυγμόν. ἐν ἅπασι μὲν γὰρ αὐτοῖς, ἀνθρώπεια τι καὶ παρὰ φύσιν ἐμφαίνεται, τί δὲ τοῦτ' ὄντ οὐ δηλοῦται, καί τοι κατὰ μὲν τὰς τοιαύτας μεταφορὰς ἀρ' τῶν κυείων, ἐφ' ἕτερον ὁ κύειος ἡ μετάθεσις γίνεται, συγκεχωρημένον ἅπασι καὶ ἐθισμένον πρᾶγμα. ἡμῖν δὲ τὸ τοῦ σκληροῦ σφυγμοῦ σημαινόμενον, ὅπερ ὁ ἀρχιγένης ἐνομοθέτησεν, οὔτε συγκεχωρημένον, ὅτε ἐθισμένον, οὔτε ὅλως γεγονὸς, ἢ γνώσεσθαι δυνάμενον, ἀκούσαι χρὴ σημαινόμενον, ἀρ' τῶν μεταφορικῶν ὧδὶ τὸ κύειον ἐπανορθουμένους. διόπερ ὀνόματος μὲν ὄφιν ἀκοῦσαι, πρᾶγμα ἢ ὃ δ' ἐννοῆσαι. ἀλλ' ὀκ ἔστ δεῖ πρί γε τούτου μηκύνειν, ἐν ἄλλοις ὧδὶ πλέον ἢ αὐτὸ διειλεγμένους. ἀναλαβόντας δὲ τὰ προειρημένα δι' κεφαλαίων ἅπαξ τῶν πυρετῶν ἐπιτελεῖν. ὅτι μὴ δι' τρία ὅτι τὰ πάντα αὐτῶν γνῶναι, δι' ἐπείρων. ὁπόσα δεῖ ἐς ἑκάστ διάγνωσιν ἐκ σφυγμῶν ἐν τῷδε ῥητέον. οἱ μὲν ἐφήμεροι πάντων εἰς μέγεθος, καὶ τάχος, καὶ πυκνότητα βέπτουσι τῶν σφυγμῶν, ὅλων ἐφ' ἑαυτοῖς

ἐφ' ἑαυτοῖς. εἰ γὰρ ὦν μιγνύοι τό τις ἄλλη διάθεσις, ἀνάγκη μικτὴν γενέσθαι τὴν τροπὴν, ἐξ ἐκείνης τε καὶ τῆς κατὰ τὸν λόγον τοῦ πυρετοῦ συνισταμένης. ὡσαύτως δὲ καὶ οἱ ἑκτικοὶ τῶν πυρετῶν, εἰς τὰς αὐτὰς διαφορὰς ἀλλοιοῦσι τοὺς σφυγμοὺς, ὅσον γ' ἐφ' ἑαυτοῖς, καὶ πλέον γ' ὑπὸ τούτοις ἐξαλλάττεται τὸ τάχος. οἱ δὲ ὑπὸ σήψει χυμῶν, ἐν μὲν ταῖς ἀκμαῖς ἀμφοτέρας ἔχουσι τὰς κινήσεις ταχείας, τήν τε τῆς διαστολῆς καὶ τὴν τῆς συστολῆς. ὡσαύτως δὲ καὶ τὰς πυκνότητας ἀμφοτέρας ὁμοίως ἀλλοιοῦσι τήν τε κατὰ τὴν ἐκτὸς ἡσυχίαν γινομένην, καὶ τὴν κατὰ τὴν ἐντὸς, ἐν δὲ ταῖς εἰσβολαῖς οὐχ ὁμοίως, ἀλλὰ μᾶλλον ὑπτείνουσι τῆς συστολῆς τὸ τάχος. ἐν δὲ ταῖς ἀναβάσεσι, καὶ τοῦτον μὲν, καὶ τὴν ἐκτὸς ἡσυχίαν δ' ὑπὸ πλεῖστον συνεργοῦσιν. ὡς πυκνότατον φαίνεσθαι κατ' αὐτῆς τὸν σφυγμόν. οὗτοι μόνοι πυρετῶν εἰσὶν ἰδίοι σφυγμοὶ κατὰ τὸν ἑαυτῶν λόγον. οἱ δ' ἄλλοι πάντες οἱ τοῖς πυρέσσουσι συμπίπτοντες ἄλλῃ τινὶ διαθέσει μᾶλλον, ἢ τῇ τῶν πυρετῶν ἕπονται. δύο δ' ἔστι γένη κἀκείνων τῶν διαθέσεων, ἤτοι τῆς δυνάμεως, ἢ τῶν ὀργάνων ἡ κάκωσις. ἐδείχθη γὰρ ὡς εἰς τρία χρὴ βλέποντας ταῦτα, ἐξευρίσκειν τὰς ἐλαττούσας αἰτίας τὸν σφυγμὸν, ὄργανον τε καὶ χρείαν καὶ δύναμιν. ὧν δ' ἐδείκνυτο γε καὶ ὅσα καθ' ἕκαστον αὐτῶν γένος ἐξισταμένον τοῦ κατὰ φύσιν ἀναγκαῖον ἐστὶ συμπίπτειν τοῖς σφυγμοῖς. οὐκοῦν ἔτι θαυμαστὸν εἰ διαφέρονταί τε πρὸς ἀλλήλους οἱ σοφοὶ ἰατροὶ περὶ τῶν ἰδίων τῶν πυρετοῦ σφυγμῶν, ἁμαρτάνουσί τε πάντες, ἅτε μή τε τὰ γένη τῶν πυρετῶν διελόμενοι, τάς τε διὰ τὴν δύναμιν, ἢ τὴν τῶν ὀργάνων κάκωσιν ἀλλοιώσεις τῶν σφυγμῶν, αὐτῶν τῶν πυρετῶν ἰδίας εἶναι νομίζοντες. οἷον αὐτίκα παροξυσμῶν εἰσβαλόντων, οἱ μὲν τοὺς πυκνοὺς τε καὶ μικροὺς, οἱ δὲ πρὸς τούτοις καὶ τοὺς ἀμυδροὺς, ἔνιοι δὲ καὶ τοὺς ἀνωμάλους, εἰσί δ' οἱ καὶ τοὺς βραδεῖς, ὥσπερ ἄλλοι τοὺς ταχεῖς ἔθεντο γνωρίσματα. καί τοι γ' ἔνιοι τῶν πυρετῶν ἀθλίπτους, ὡς αὐτοὶ καλοῦσι, ποιοῦνται τὰς εἰσβολὰς, ἐφ' ὧν εἰς μέγεθος τε καὶ τάχος ἡ πρώτη τροπὴ γίνεται τῶν σφυγμῶν, εἶτ' ὀλίγον ὕστερον αὐξανομένοις, τοῖς δὲ καὶ ἡ πυκνότης ὦν γίνεται, τῶν δ' ἄλλων σφυγμῶν τῶν εἰρημένων οὐδεὶς αὐτοῖς, οὔτ' ἀρχομένων τῶν παροξυσμῶν, οὔτε αὐξανομένων, οὔτε ἀκμαζόντων ὑπὸ φαίνεται. ἀλλὰ τούτοις μὲν, οὔτε ῥίγος, οὔτε φρίκη, τίς οὔτ' ἀνωμαλία σαφὴς. ἀλλ' οὐδὲ ψύξις ἄκρων, ἢ τῆς ἐκτὸς ὑπὸ φανείας, οὐδὲ δῆξις, ἢ βάρος, ἢ θλίψις στομάχου συνεισβάλλει. τοῖς πλείστοις δ' ἤτοι ἔντι τῶν εἰρημένων, ἢ καὶ πλείω συνεδρεύει. καί τισιν αὐτῶν ὀλίγον ὕστερον ἔμετος, ἐναργῶς ἐνδεικνύμενος ὡς ἐκ τῶν συῤῥεῖν εἰς τῆς γαστέρα μοχθηροὺς χυμοὺς, οἱ μὲν ἐδήχθησαν αὐτῶν, οἱ δὲ θλίφθησαν, οἱ δ' ἀσώδεις ἐγένοντο. προφανέστατα γε ὦν τῶν πλείστων ἀρχῶν ἀρχωρεῖν μὲν ἁπάσης τῆς ἐκτὸς ὑπὸ φανείας τὸ αἷμα, συῤῥεῖ δ' εἰς τὰ σπλάγχνα, κἀκ τούτου, θλίψεις τε καὶ σφηνώσεις, ἐμφράξεις τε καὶ διατάσεις ἀρτηριῶν γίνονται κυρίων, ἐφ' αἷς οἱ ἀνώμαλοι σφυγμοὶ ταῖς εἰσβολαῖς τῶν τοιούτων παροξυσμῶν συνεδρεύουσιν, ὥσπερ αὖ πάλιν οἱ ἀμυδροὶ διὰ τὴν τοῦ στομάχου τε καὶ τῆς δυνάμεως κάκωσιν. οὕτως δὲ καὶ οἱ μικροὶ διά τε τὴν ἀῤῥωστίαν γίνονται τῆς δυνάμεως, καὶ διὰ τῆς ψύξιν. ὥσπερ γε καὶ οἱ βραδεῖς ὑπὸ ταῖς ἰσχυραῖς ψύξεσιν. ἀλλὰ τούτων γε οὐδεὶς ὁμοίως τῇ διαστολῇ τὴν συστολὴν ἐποιήσατο βραδεῖαν. ἀλλ' ἔστιν ἀχώριστον τε καὶ ἰδιώτατον εἰσβολαῖς πυρετοῦ ὑπὸ σήψει χυμῶν, ἡ συστολὴ τῆς ἀρτηρίας ὠκυτέρα γινομένη. καὶ ὅστις ἤσκηται γινώσκειν συστολὴν, ἀχώριστον ἀρχῆς παροξυσμοῦ τοῦ θ' ἕξει τὸ σημεῖον, ὅταν ὡς εἴρηται πολλάκις ὁ σφυγμὸς ἔχῃ τινὰ τόνον. ἐδείχθη γὰρ ὑπὸ τῶν ἀμυδρῶν ἀδιάγνωστος ἡ συστολή. τοῦτ' οὖν ἀσκητέον ἐν τοῖς μάλιστα τὸν ἀκριβῶς βουλόμενον ἀρχὴν γνωρίζειν παροξυσμοῦ. ὅπως δ' ἄν τις ὑπάρξοιτο τῆς ἀσκήσεως, ἐν τῷ πρώτῳ περὶ διαγνώσεως σφυγμῶν ὑπὸ πλεῖστον εἴρηται· τοῦτο τὸ σημεῖον ἀψευδέστατόν ἐστι, καὶ χρὴ θαῤῥεῖν αὐτῷ μάλιστα, κατὰ τὰς διαγνώσεις ἐναργῶς φανέντι. ἔγω γ' οὖν ὑπὸ πολλῶν πολλάκις ὧν οὐδεπώποτε πρόσθεν ἡψάμην τῶν σφυγμῶν, οὔθ' ὑγιαινόντων οὔτε νοσούντων τούτῳ τῷ σημείῳ μόνῳ πιστεύσας, ἥμαρτον οὐδέποτε. ταῖς μὲν γὰρ ἄλλαις ἁπάσαις, εἴτ' οὖν ψύξις εἴη ὅλου τῶν σώματος, εἴτε καὶ τοῦ στόματος τῆς γαστρὸς, ὃ καταχρώμενοι στόμαχον ὀνομάζομεν, εἴτ' εἰς τὸ βάθος ῥοπαὶ τοῦ αἵματος, ἤτοι διὰ λύπην, ἢ φόβον, ἢ διὰ ἄλλην τινὰ αἰτίαν γιγνόμεναι, παραπλήσιος ἔστιν ἡ βραδύτης τοῦ σφυγμοῦ, διαστελλομένης τε καὶ συστελλομένης τῆς ἀρτηρίας, εὐθὺς δ' αὐτῇ συνέστι καὶ ἡ ἀραιότης κατ' ἄμφω τὰς ἡσυχίας. μόναις δὲ ταῖς πυρεκτικαῖς εἰσβολαῖς, κἂν ἡ διαστολὴ ποτὲ γένηται βραδυτέρα τῆς ἔμπροσθεν, ἀλλ' ἡ γε συστολὴ τάχος προσκτᾶται. συναιρεῖται δέ τι καὶ τῆς ἐκτὸς ἡσυχίας, ὡς πυκνότερον ἐνταῦθα γίνεσθαι τὸν σφυγμὸν οὐ μὴν κατά γε τὴν ἐντὸς, ἀλλ' ἤτοι τῷ πρόσθεν ὡσαύτως, ἢ βραχεῖ τινι κατὰ τὸν καιρὸν τοῦτον ἀραιότερος φαίνεται. παραβάλλειν δὲ δηλονότι χρὴ τὴν ἔμπροσθεν ἡσυχίαν ὡς πρὸς τὴν ἀφὴν τῇ νῦν φαινομένῃ, μεμνημένον μὲν ὅτι σύνθετός ἐστιν ἔκ τε τοῦ πέρατος τῆς συστολῆς καὶ τῆς ἀρχῆς τῆς διαστολῆς, καὶ τῆς μεταξὺ τούτων ἠρεμίας, ἐκλογιζόμενον δ' ὅσον ἑκατέρωθεν αὐτῇ προσῆλθεν ἐκ τοῦ μὴ φαινομένου μορίου τῶν κινήσεων, αὐτὸ δὲ δὴ τοῦτο πάλιν ἐκλογίζεσθαι τῷ τόνῳ παραμετροῦντα. εἰ μὲν γὰρ ὡσαύτως ἔχει τόνου νῦν τε καὶ πρόσθεν ὁ σφυγμὸς εἰς ὅσον ἂν ὁ χρόνος τῆς αἰσθητῆς ἡσυχίας γένηται μακρότερος, εἰς τοσοῦτο καὶ τὴν ὄντως ἡσυχίαν ἡγεῖσθαι μεμηκύνθαι. εἰ δ' ἀμυδρότερος ἢ πρόσθεν γένοιτο, λογίζεσθαί τι καὶ διὰ τοῦτ' ἀποκεκρύφθαι τῶν κινήσεων, ὅπερ ὑφαιρεῖν χρὴ τῆς αἰσθήτης ἡσυχίας. εἰς τὴν τῆς ὄντως εὕρεσιν. εἰ γὰρ ὀλίγῳ μέν τινι τοῦ πρόσθεν ὁ σφυγμὸς ἀτονώτερος γένηται, πολλῷ δὲ ἀραιότερος, ἡγητέον ἐκτετάσθαι τὴν ὄντως ἡσυχίαν. εἰ δ' ἀτονώτερος μὲν πολλῷ, βραχεῖ δ' ἀραιότερος, ὡς πρὸς τὴν αἰσθητὴν διάγνωσιν, οὐκέτι καὶ τὴν ὄντως ἡσυχίαν τὴν ἔνδον ἡγητέον ἐκτετάσθαι. κατὰ δὲ τὸν αὐτὸν τρόπον εἰ τοῦ σφυγμοῦ βραχείαν ἀτονίαν προσλαβόντος ἀξιολόγως τινὶ φαίνοιτο τὰ τῆς πυκνότητος ὑπὸ τετάσθαι, συναιρεῖσθαι λογιστέον τὴν ὄντως ἡσυχίαν. ἐφ' ὧν μὲν οὖν ἀμυδρότερος ὁ σφυγμὸς ἐγένετο κατὰ τὸν τῆς διαγνώσεως καιρὸν, ὡς εἴρηται, λογιστέον. ἐφ' ὧν δ' ὡσαύτως ἔχει τόνου, σαφεστάτη διάγνωσις ὑπὸ τούτων ἐστὶ καὶ τῆς ἐντὸς ἡσυχίας, ὡς λέλεκται σκοπουμένοις. ὅταν οὖν ποθ' ὁ σφυγμὸς ἄτρεπτος μὲν ὤν τ' ἄλλα, θάττων γένηται κατὰ τὴν συστολὴν, ἀρχῆς παροξυσμοῦ σημεῖον ἀχώριστον τέθεισο. γίγνεται δ' εὐθὺς τοιοῦτος σφυγμὸς καὶ πυκνότερος κατὰ τὴν ἐκτὸς ἡσυχίαν, ὑπὸ γουμένης τῆς φύσεως ἀπτρίψασθαι τὸ καπνώδες περίττωμα, διὸ θάττον συνεστέλλετο. κατὰ μὲν

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 152 sur 494

οὖν τὴν πρώτην ἀρχὴν τῆς γενέσεως αὐτοῦ τοῦ τάχει τῆς συστολῆς μόνον ὁ σφυγμὸς παραλλάττων φαίνεται τοῦ πρόσθεν. ὀλίγῳ δ' ὕστερον καὶ πικνοῦσθαι κατὰ τὴν ἐκτὸς ἠρεμίαν, προϊαίτερον ἀρχομένης συστέλλεσθαι τῆς ἀρτηρίας. τοῖς δ' ἐφημέροις πυρετοῖς, οὐχ ὑπάρχει οὖσα, διὰ τὸ χωρὶς σήψεως γίγνεσθαι χυμῶν. οὐ μὴν οὐδὲ τοῖς ἐκτικοῖς, ὅτι μὴ δὲ ἄρχονται ποτὲ, πλὴν εἰ συνέλθοι κατὰ τύχην ἑτέρα τις διάθεσις αὐτοῖς, ὥστ' ἐφ' ὧν ζητεῖται μάλιστα πυρετῶν ἡ ἀρχὴ τῶν παροξυσμῶν, ἔχειν ἡμᾶς δεῖ διαρκὲς τὸ σημεῖον. εἰ δὲ κατὰ τὴν πρώτην ἡμέραν, ἄρτι μεταπίπτοντος ἐξ ὑγείας εἰς νόσον ἀνθρώπου τινὸς ἁπτοίμεθα τῶν σφυγμῶν, εὐθὺς καὶ τὸ γένος ἡμῖν ἐνδείξεται τοῦ πυρετοῦ τὸ σημεῖον οὖσα, συνεισβάλλον γὰρ τῷ προξυσμῷ τῶν ὑδῶν σήψει τινὶ χυμοῦ τὸν πυρετὸν εἶναι φασίν. ἐδείχθησαν δ' ἐν ταῖς τῶν πυρετῶν διαφοραῖς ἔκτ' αὐτοῦ γένους ὄντες τῷ δὲ, καὶ οἱ ὑδῶν ταῖς φλεγμοναῖς. ἀλλὰ διορίστεον αὐτοῦ τῶν ὑδῶν σήψει χυμῶν μόνῃ τῇ σκληρότητι. σκλήρα γὰρ ἡ προσβολὴ τῶν ὑπὸ φλεγμοναῖς. εἰ μὲν οὖν διαγινώσκειν δύναιο τὴν ἐπὶ τάσει τῆς ἀρτηρίας σκληρὰν προσβολὴν τῆς ἐπὶ ψύξει τε καὶ σκληρότητι, τρεῖς ἕξεις ἐκ τούτου προγνώσεις αἰτίων προγεγονότων, ποτὸν ψυχρὸν, οἶνον ἀκρατέστερον, φλεγμονὴν, ἣν οὐ μόνον ἔμπροσθεν τοῦ παροξυσμοῦ γεγονὸς αἴτιον, ἀλλὰ καὶ πραμένον ἐροῦμεν. τὴν δὲ τοῦ ψυχροῦ τε καὶ τοῦ πλέονος ἀκράτου πόσιν, αὐτὴν μὴ προγεγονέναι, τῆς δ' ἀπ' αὐτῆς διάθεσιν ἔτι φυλάττεσθαι. σκληρύνονται μὲν οὖν ἐπὶ ταῖς βλαψάσαις ψυχροποσίαις οἱ χιτῶνες τῶν ἀρτηριῶν, ἐξήρανται δὲ ἐπὶ ταῖς τοῦ πλείονος οἴνου πόσεσιν. εἰ δὲ καὶ τῆς τῶν νεύρων ἀρχῆς ὁ οἶνος ἅψαιτο, καὶ τείνονται παραπλήσιον τοῖς προδηλοῦσι τὸν σπασμόν. ἐπὶ δὲ ταῖς φλεγμοναῖς ἄνευ τῆς τοῦ χιτῶνος οἰκείας σκληρότητος τείνονται, καὶ καλεῖται μὲν καὶ τό τε σκληρὸς ὁ σφυγμὸς διὰ τὸ τῆς πληγῆς βίαιον, οὐ μὴν ἐκληρηταί γε κατὰ τὸν ἑαυτῆς λόγον ἡ ἀρτηρία, καθάπερ ὅταν ἤτοι ξηρανθῇ πῶς, ἢ ψυχθῇ βίαιον, ἢ οἷον σκιῤῥώδη τινὰ δέξηται διάθεσιν. ταυτὶ μὲν οὕτω διωρίσθω. οὖν δ' ἐν τῇ πρώτῃ τῶν ἡμερῶν μηδόλως ἔχοντος τὸ λελεγμένον γνώρισμα, τῶν μὲν ἐπὶ σήψει χυμῶν ἀφοριστέον ἐστὶν, ἤτοι δ' ἐφημέρους νομιστέον, ἢ ἐκτικούς. σπανιώτατα μὲν οὖν εὐθὺς ἐξ ἀρχῆς συνίσταται πυρετὸς ἐκτικός. οὐ μὴν ἀδύνατός γε οὐδ' ἡ τοιαύτη γένεσις αὐτοῦ, ἀλλ' ὤφθησαν ποῦ ἡμῖν καὶ οἱ τοιοῦτοι. τὰ μὴ οὖν ἄλλα πάντ' αὐτῶν γνωρίσματα δι' ἑτέρας εἴρηται πραγματείας, ἐν ᾗ περὶ τῆς τῶν πυρετῶν διαφορᾶς ἐσκοπούμεθα. τὰ δ' ἀπὸ τῶν σφυγμῶν εἰρήσεται νῦν. οὔθ' ὁ μέγας, οὔθ' ὁ σφοδρὸς σφυγμὸς ἅμα τοῖς ἐκτικοῖς ποτε συνεισβάλλουσι πυρετοῖς, ἀλλ' ὅτιπερ ἂν ὑπάρχῃ τούτων αὐτοῖς, οὐκ εἰσὶν ἐκτικοί. εἰ δὲ καὶ πάνθ' ἅμα παρείη, προφανῶς εἰσὶν ἐφήμεροι, τῆς γε συστολῆς αὐτῶν ὡς εἴρηται μὴ ταχυνούσης, ἴδιον γὰρ ἐκείνης τὸ τάχος ἐπὶ σήψει χυμῶν, ὧν τὰς κατὰ μέρος ἁπάσας διαφορὰς, ἐν τῇ προειρημένῃ πραγματείᾳ διῆλθον. εἰσὶ δ' ὡς ἐπὶ κεφαλαίων φάναι, πάντες μὲν οἱ κατὰ περιόδους παραξυνόμενοι, πάντες δ' οἱ συνεχεῖς ὅταν ὑπὲρ τὴν τρίτην ἡμέραν ἐκταθῶσιν. ἔκτ' αὐτοῦ δὲ αὐτοῖς εἰσὶ γένους, καὶ οἱ ταῖς φλεγμοναῖς ἐπιγινόμενοι. κατὰ μὲν οὖν τὰς παρακμὰς, ἐκλύεται τὸ τάχος τῆς συστολῆς, καὶ μάλιστ' ὅταν εἰς ἀπυρεξίαν ἢ ἐγγὺς αὐτῆς ἀφίκονται, κατὰ δὲ τὰς ἀρχὰς τῶν παροξυσμῶν γεννᾶται τυφομένων τρόπον τινὰ τῶν χυμῶν, ὑπὸ τείνεται δὲ κατὰ τὰς ἀναβάσεις. ἐγγὺς δ' ἤδη τῆς ἀκμῆς, ἐξημμένων τε τῶν χυμῶν καὶ ζεόντων ἀθρόαν μὲν αὐξὴν τὸ τάχος τῆς συστολῆς λαμβάνει, διαμένει δὲ ἴσον ἑαυτῷ τὸ τάχος τῆς συστολῆς. ὅταν δ' ἀκμάσῃ τελέως ὁ πυρετὸς, εἰς ἄκρον μὲν ἥκει τοῦ κατ' ἐκεῖνον τὸν παροξυσμὸν τάχους ἡ διαστολὴ, μειοῦται δὲ τὸ τάχος τῆς συστολῆς. οἱ μὲν οὖν πλείστοι τῶν ἰατρῶν καὶ μάλιστ' ὅσοι τὴν συστολὴν ἀδιάγνωστον αἰσθήσει φασὶν ὑπάρχειν, οὐδεὶς οὐδ' ἐγγὺς ἥκουσι τοῦ λελεγμένου σημείου, τῶν τε ἐπὶ σήψει χυμῶν ἁπάντων πυρετῶν τῆς τε καθ' ἕκαστον αὐτῶν παροξυσμὸν ἀρχῆς. ὀλιγίστοι δέ τινες ἀμυδρὰν εἰκόνα τοῦ πράγματος ἐοίκασιν ἑωρακέναι. γράφουσι γοῦν ἀδιορίστως τε καὶ ἀσαφῶς εἰς τοσοῦτον, ὡς μὴ δ' εἰκάσαι μηδένα τί ποτε βούλοντο δηλοῦν. ἐξ αὐτῶν ἐστὶ καὶ ὁ Ἀρχιγένης, ὡς ἔνεστι γνῶναι τοῦ βουληθέντι τό τε περὶ σφυγμῶν αὐτοῦ βιβλίον ἀναγνῶναι καὶ τὰ περὶ τῆς τῶν πυρετῶν σημειώσεως, ἢ τὴν γ' ὑπὸ τομὴν αὐτῶν. ἐπεσκέμμεθα δὲ καὶ ἡμεῖς ἅμα ταῖς τῶν ἀσαφῶν ἐξηγήσεσιν ἐν ὑπομνήμασιν ὀκτὼ τὴν περὶ τῶν σφυγμῶν αὐτοῦ πραγματείαν. ἄρισα δέ μοι δοκοῦσιν ἀπεφήνασθαι τινὲς, εἰ προσθείημεν αὐτῷ τοῦ λόγῳ διορισμὸν τινὰ, τὴν ἐφ' ἑκάτερα μεταβολὴν τῶν σφυγμῶν ἀρχῆς παροξυσμοῦ σημεῖον ὑπάρχειν. ὃν δὲ φημὶ χρῆναι προσθεῖναι διορισμόν ἐστιν, εἰ χωρὶς ἑτέρας προφάσεως ἡ ἀλλοίωσις γένοιτο. προφάσεις δ' ἔνιαι μὲν ἔξωθεν εἰσὶν, οὐ μόνοις τοῖς ἰατροῖς, ἀλλὰ καὶ τοῖς ἰδιώταις γνώριμοι, τροφῶν καὶ ποτῶν προσφορὰ, καὶ κίνησις ἡτισοῦν, καὶ πάθος ψυχικὸν ὀργισθέντων, ἢ φοβηθέντων, ἢ ἀγωνισάντων, ἢ ὁπωσοῦν ἑτέρως ταραχθέντων. ἔνιαι δ' ἐξ αὐτοῦ τοῦ σώματος ὡρμώμεναι περὶ ὧν ὀλίγον ἔμπροσθεν εἶπον, ἡνίκα φρίκης τε καὶ ῥίγους καὶ καταψύξεως, ἔτι τε τῶν εἰς τὴν γαστέρα συῤῥεόντων ἐμνημόνευσα. μηδενὸς γὰρ τοιούτου περὶ τὸν κάμνοντα συμβαίνοντος ἡ ἐξαιφνίδιος ἐφ' ὁτιοῦν μεταβολὴ παροξυσμὸν ἀγγέλλει, θάττονος μὲν καὶ μείζονος γινομένου τοῦ σφυγμοῦ, θερμασίας ὑποτρεφομένης τῇ τῶν ἀρτηριῶν ἀρχὴ, βραδυτέρου δ' ἢ μικροτέρου, ψύξεως, οὕτω δὲ καὶ ἡ μὲν πυκνότης ὁμολογήσει τῇ πλεονεξίᾳ τῆς θερμασίας, ἡ δ' ἀραιότης τῇ ψύξει. καὶ ἡ ἀμυδρότης δὲ, καί τοι δι' ἄλλό τι σύμπτωμα γινομένη ταῖς τῶν παροξυσμῶν εἰσβολαῖς ἔστιν οἰκεῖα, συῤῥεόντων ὑγρῶν μοχθηρῶν εἰς τὴν γαστέρα τηνικαῦτα, καὶ τῇ τοῦ στόματος αὐτῶν βλάβῃ κακούντων τὴν δύναμιν. ἡ δὲ ἀνωμαλία τῶν σφυγμῶν ἡ πολλοῖς τῶν παροξυσμῶν συνεισβάλλουσα θλιβομένων, ἢ ἐμφραττομένων ὑπόγυον ἀρτηριῶν, ἢ πλήθους τοῦ πρὸς τὴν δύναμιν ἐστὶ γνώρισμα. λόγῳ καὶ τούτων τοῦ παροξυσμοῦ γίγνεσθαι δυναμένων. ὅσαι μὲν οὖν μεταβολαὶ σφυγμῶν, ἤτοι τῆς ἐν τῇ καρδίᾳ θερμασίας αὐξανομένης, ἢ συῤῥεόντων ἔσω τῶν χυμῶν ἀποτελοῦνται, φανερῶς ἂν αὗται δόξαιεν ἐνδείκνυσθαι παροξυσμὸν ἀρχόμενον. ὅταν γ' ὡς εἴρηται τῶν ἄλλων ἀφορισθῶσι προφάσεων. ὅσαι δὲ ψύξεως, οὐκ ἔτ' ἐξ ἀνάγκης αὗται δείξουσι πυρετὸν εἰσβάλλοντα σημαίνειν, ἀλλ' ἐὰν κἀνταῦθα τὰς ἄλλας προφάσεις ἀφορισώμεθα ἁπάσας, ἔξομεν καὶ τὴν ψύξιν ἀγγέλλουσαν, ὅσον οὐδέπω πυρετὸν ἀναφθήσεσθαι. πνίγεται γὰρ κατ' αὐτῆς τῆς συῤῥεούσης ὕλης εἰς τὸ βάθος ἱκανῶς ψυχρᾶς ὑπαρχούσης, ὡς κινδυνεύειν σβεσθῆναι τὴν ἀρχὴν, οἷόν τι

κάκτος

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 153 sur 494

κακτὸς συμβαίνει πολλάκις, ὅταν ὕλην ἅμα τε πολλὴν καὶ δύσκαυστον ὑπεβάλλωμεν ἀθρόως ὀλίγῳ πυρί, κινδυνεύει μὴ γὰρ αὐτίκα σβεσθῆναι, μὴ σβεσθὲν δ' ἀλλ' ἀντιχόν, ὑποτύφειν τε τὴν ὕλην ὀλίγον ὕστερον ἄρξεται καί τινα θερμασίαν γεννᾶ, τὰ μὲν πρῶτα καπνώδη, περιόντος δὲ τοῦ χρόνου καὶ φλογώδη. μέχρι περ ἀκριβῶς κρατῆσαν τῆς ὕλης καθαρὰν ἐργάζεται τὴν φλόγα. ἡ γὰρ τοιαύτης φλογὸς, οὐ καπνὸς ἐστὶ τὸ ἀποῤῥέον, ἀλλ' ἐθαλός τε καὶ λιγνὺς ἐστιν, ἄμφω γὰρ ὀνομάζεται τὸ καθοπτηθὲν τῆς ὕλης ἀνωφερὲς περίττωμα, καθάπερ γε τὸ κατωφερὲς, τέφρα τε καὶ σποδιὰ καλεῖται. ἀνάλογον δή μοι νόει κἀπὶ τῶν πυρετῶν. ὅταν ἐν ἀρχῇ παροξυσμοῦ πλῆθος ὕλης ψυχρᾶς ὑπὸ τὴν καρδίαν ἀφίκηται, τὰ μὲν πρῶτα κινδυνον γίνεσθαι θανάτου, καὶ περιδηλώσει τὸν κίνδυνον ἔστιν ἡ ὑπὸ πλεῖστον εἰς ἀραιότητα τε, καὶ βραδυτῆτα, καὶ μικρότητα τροπὴ τῶν σφυγμῶν. ἂν γὰρ ὑπεγένηται τούτοις ἀμυδρότης ἀξιόλογος, αὐτίκα τεθνήξονται. μὴ γενομένης μέντοι τῆς ἀμυδρότητος, ἀναμαχεται τὴν ἧτταν ταύτης ἡ φύσις, ἐπεγείρετε τὴν κίνησιν τῶν ἀρτηριῶν ὑπὸ τὸ μεῖζόν τε καὶ θάττων καὶ πυκνότερον, ὥς τε τὰς κινήσεις ἀμφοτέρας μὲν γενέσθαι θάττονας, ἀλλ' ὑπεφανέστερον τὴν τῆς συστολῆς, καὶ παραυξάνεσθαί γε διὰ ταχέων αὐτὴν αἰσθητῶς, ἄχρις ἂν ὁ παροξυσμὸς αὐξάνηται, τοῦ χρόνου δ' ὅταν ἐγκρατὲς τῆς ὕλης γένηται τὸ θερμὸν, ἡ οἷον φλὸξ ἀναπτεται. καὶ τοῦτ' ἐστὶν ἡ ἀκμὴ τῶν παροξυσμῶν, τὸ μὲν αἰθαλῶδες περίττωμα διὰ τε τῆς ἐκπνοῆς, καὶ τῆς τῶν ἀρτηριῶν συστολῆς ἀποχεούσης τῆς φύσεως, τὸ δὲ οἷον τεφρῶδες διὰ πάχους μὲν οὐ δυναμένης ἐκκρίνειν ὁμοίως, αἰσθητοῖς δέ τισιν ἐξοχετευούσης πόροις. ἔστι δὲ ὅτε κατὰ μὲν τὰ φλεγμαίνοντα μόρια τὸ πύον. ἐν δὲ τοῖς ἀγγείοις αὐτοῖς, ὅπερ ἐν τοῖς οὔροις ὑφίσταται. περὶ μὲν δὴ τούτων ἐν ταῖς περὶ τῶν πυρετῶν πραγματείαις, ὑπὸ πλεῖστον εἴρηται, ὅτε σφυγμοὺς δ' ὡς ἔφαμεν ἀναγκαῖον ἐστὶ τὰς εἰρημένας τροπὰς ἐν ἑκάστῳ τε καιρῷ τοῦ σύμπαντος ἔχειν παροξυσμοῦ. καὶ δὴ καὶ κατὰ τὴν ἀρχὴν ὡς ἐλέγομεν, οὐ κακῶς ἀπεφήνασθαι τινὰς ἅπασαν μεταβολὴν αὐτῶν ἐφ' ἑκάτερα. πρὸς δὲ τὸ φυλάττειν ἀκριβῶς τὰς εἰρημένας διαγνώσεις ἀσκητέον ἐστὶ διακρίνειν ἁπάσας τὰς ἀπὸ τῶν ἄλλων προφάσεων ἀλλοιώσεις τῶν σφυγμῶν, εἰς ἃς καί τοι φυλαττόμενος ὁ ἀρχιγένης ἐμπίπτει πολλάκις, ὥστε μακρολογεῖν τε ἅμα καὶ παραττειν τὴν διδασκαλίαν τοῖς ἰδίοις, καὶ ἀχωρίστοις ἑκάστου τῶν καιρῶν γνωρίσμασι, συνακολουθοῦντα πολλάκις ὁ μοτίμως γράφων, καί τοι γ' ἐν ἐλαχίστῳ κεῖται μεθόδῳ ληφθέντα. τὴν μὲν γὰρ καθαρὰν θερμότητα τῆς διαστολῆς ἡ κίνησις ἐνδείνυται. τὴν δὲ οἷον καπνώδη τῆς συστολῆς. αἱ δ' ἄλλαι τῶν σφυγμῶν ἀλλοιώσεις, ἤτοι διὰ τὴν τῆς δυνάμεως, ἢ τὴν τῶν ὀργάνων γίνονται μεταβολήν. ἑκάτερον δὲ τούτων ἐπίτισιν ἑτέροις αἰτίοις προηγουμένοις, ὧν τὰ πλεῖστα πάλιν ἐφ' ἑτέροις προκατάρξασιν. ὀνομάζεσθω γὰρ ἕνεκα σαφοῦς διδασκαλίας, ὅσα μὲν ἐκ τοῦ σώματος ὁρμᾶται τῶν ἀλλοιούντων αἰτίων, ἤτοι τὴν δύναμιν, ἢ τὰ ὄργανα προηγούμενα. τούτων δ' αὐτῶν ἐστιν ἃ πάλιν ἔξωθεν ὄντα τοῦ σώματος αἴτια τῆς ἀλλοιώσεως ἐγένετο προκατάρχοντα. λέλεκται δ' ἡμῖν ἡ περὶ ταῦτα μέθοδος ἅπασα δι' ἑτέρας πραγματείας, ἣν περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων ὑπεγραφόμεν. οὐδὲν οὖν θαυμαστὸν ἐστιν, εἰ ταῦτά τις ἅπαντα μνήμῃ πρόχειρα ποιησάμενος ἀσκήσας τε διαγινώσκειν ἑτοίμως ἅπαντας τοὺς σφυγμοὺς ὑπεσημονικῶς, ἐνίοτε τὰ προγεγονότα τῶν αἰτίων ὑπὸ τῶν καμνόντων ἐξευρήσει. οὗτος μὲν οὖν ὁ λόγος ἐνταυθοῖ τελευτάτω. περὶ δὲ τῆς κάθ' ὑγρότητά τε καὶ ξηρότητα δυσκρασίας, αὐτῆς τε τῆς καρδίας καὶ προσέτι τῶν ἀρτηριῶν, ἑκάστης τε καταμόνας, ἁπασῶν τε κοινῶς, ἐφεξῆς δίειμι. εἴρηται μὲν οὖν τινὰ καὶ περὶ τούτων ἔμπροσθεν, ἀλλ' ἡ τοῦ λόγου τάξις ἰδίαν αὐτῶν ἀπαιτοῦσα διδασκαλίαν, ὡς οὐδενὸς εἰρημένου περανθήσεται. ποτὲ μὲν οὖν ἡ καρδία ξηροτέρα γενομένη τοῦ κατὰ φύσιν, ἁπάσας ἑαυτῇ συναλλοιώσει τὰς ἀρτηρίας, ἐνίοτε δὲ καθ' ἕν τι τοιζώου μόριον, ἢ καὶ πλείω συμβήσεται ὅτε ταῖς ἀρτηρίαις. ἔστι δὲ ὅ τε τὴν ἐναντίαν μὲν ἕξουσι διάθεσιν ὅσον ἐφ' ἑαυταῖς αἱ ἀρτηρίαι τῇ καρδίᾳ, δέξονται δὲ καὶ τὴν παρ' ἐκείνης, ὥς τε συστῆναι μέσην τινὰ διάθεσιν αὐτοῖς ἐν ὑγρότητι τε καὶ ξηρότητι, ὥσπερ ἔμπροσθεν ὑπὸ τῆς κατὰ θερμότητα καὶ ψυχρότητα δυσκρασίας ἐλέγομεν, αἰτία δὲ προηγούμενα τὰ μὴ τὰς ἀρτηρίας ἀπεφαίνοντα ξηροτέρας, ὕδατα θειώδη καὶ στηπτηριώδη, καὶ ἁπλῶς εἰπεῖν ὅσα ξηραίνειν πέφυκε, οὐχ ὕδατα μόνον, ἀλλὰ καὶ φάρμακα πολυχρονίως ὁμιλήσαντα μορίῳ τινὶ τοῦ σώματος, ἐν ὧπερ ἂν ἡ τοιαύτη δυσκρασία κατὰ τὰς ἀρτηρίας γενομένη, τὸν σφυγμὸν αὐτὸν ἐργάσεται σκληρότερον. οὐκ ἥκιστα δὲ κἂν ταῖς πλείσταις τῶν ἀτροφιῶν, αἱ τ' ἀρτηρίαι τῶν ἀτροφούντων μορίων γίνονται ξηρότεραι, καὶ τὸν σφυγμὸν ἀποφαίνουσι σκληρότερον. ἐν αὐτῇ δὲ τῇ καρδίᾳ τὴν κατὰ ξηρότητα δυσκρασίαν ἀποτελεῖ. καὶ ἡ δίαιτα μὲν εἰ πολυχρονίως ὑπὸ τὸ ξηρότερον ἀχθέη. καὶ μέντοι καὶ τῶν φαρμάκων τῶν ξηραινόντων ἐδωδαί τε καὶ πόσεις, ἐν οἷς ἐστὶ καὶ ὁ ἄκροτος οἶνος, ἐνδειά τε τροφῆς, ἢ κατὰ ἄλλην τινὰ αἰτίαν, ἢ διὰ πάνδημον λιμόν, ἐνίοτε δὲ καὶ ποτὸν ὡς ἐν ἁπλοίαις μακραῖς. ἔτι δὲ πόνων ἀμετρία καὶ γῆρας καὶ φροντὶς καὶ λύπη καὶ ἀγρυπνία πολυχρόνιος, οἵθ' ἑκτικοὶ πυρετοὶ καὶ μάλιστ' ὁ μαρασμώδης. ταῦτα οὖν πάντα τὰ εἰρημένα καὶ κατὰ μόνας γενόμενα καὶ σὺν δύο καὶ τρία καὶ πλείονα συνιόντα, ξηροτέραν μὲν ἐργάζεται τὴν καρδίαν, σκληρότερον δὲ τοῦ κατὰ φύσιν εἰς τοσοῦτον τὸν σφυγμὸν εἰς ὅσον ἂν ἡ ξηρότης αὐξηθῇ. ὑγρᾶς δὲ δυσκρασίας αἴτια, τά τε τοῖς μορίοις ἐγγινόμενα πολυχρόνια τῶν οἰδημάτων, καὶ οἱ λευκοφλεγματείαι τῶν ὑδέρων, οἱ καὶ τὴν καρδίαν ἀλλοιοῦσι, καὶ μέντοι καὶ τὰ τῶν κυρίων σπλάγχνων οἰδήματα πάντα ταῦτα τὰς μὲν ἀρτηρίας ὑγρὰς ὥσπερ καὶ τὴν καρδίαν. ὅτε σφυγμοὺς δὲ ἐργάζεται μαλακούς. αἴτια δὲ μαλακότητος σφυγμῶν ἐστι μετρίας τε καὶ οὐχ ἱκανῶς ἐκδήλου καὶ τὰ τοιαῦτα, ἐδωδαὶ πλείους ὑγραινόντων ἐδεσμάτων, ἀργία τε πολλὴ, καὶ ὕπνοι μακροὶ, καὶ τὰ μετὰ τροφὴν λουτρά. τοῖς μὲν οὖν σκληροῖς σφυγμοῖς ἐδείκνυτο πρόσθεν ἑπομένη ἡ μικρότης, ὥσπερ τοῖς μαλακοῖς τὸ μέγεθος. αὐτοῖς δὲ τούτοις πάλιν ἑπόμενα, τάχος τε καὶ βραδύτης, ἔτι τε πυκνότης καὶ ἀραιότης. ἐδείχθησαν δὲ καὶ τῶν ἄλλων αἰτίων αἱ συζυγίαι. λέγω δ' αἴτια νῦν, τὰ πρῶτα τε καὶ οἷον συνεκτικὰ τῆς τῶν σφυγμῶν γενέσεως τὴν χρείαν τε

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 154 sur 494

καὶ τὴν δύναμιν. ὥστε οὐδὲν ἔτι λείπει τῶν τῇ καρδίᾳ συμβαινόντων ὑπὸ δυσκρασίας. οὐ μὴν οὐδ' ὄγκοι τινὲς ἐν αὐτοῖς γίνονται τοὺς σφυγμοὺς ἀλλοιοῦντες εἰς σκληρότητα, καθάπερ ἐφ' ἑτέρων σπλάγχνων αἱ φλεγμοναί τε καὶ οἱ σκιῤῥοι. φθάνει γὰρ ἀπολέσθαι τὸ ζῷον συγκοπὲν ὑπὸ τῇ τῶν τοιούτων ὄγκων γενέσει. πάντ' οὖν εἴρηται τὰ κατὰ τὴν καρδίαν ὅσα τοὺς σφυγμοὺς ἀλλοιοῖ. ὥστε κἀμοὶ καιρὸς ἥκει κατάπαυειν μὲν ἤδη τῶν ἐνεστῶτα λόγον, ἐν τῷ δὲ. μεταβάντι δ' ὑπὸ τὸν τέταρτον, ἁπάντων τῶν ἄλλων μορίων τῶν τοῦ σώματος ἐξηγήσασθαι τὰς διαθέσεις, ὅσαι τε κατὰ δυσκρασίαν τινὰ γίνονται, καὶ ὅσαι δι' ὄγκους παρὰ φύσιν, ὁποῖός τέ τις ἑκάστῃ σφυγμὸς ἕπεται.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΠΡΟΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ. ΒΙΒΛΙΟΝ δ'.

Τέταρτος ἡμῖν οὗτος ὁ λόγος ἔστι τῆς διὰ σφυγμῶν προγνώσεως. ἐν μὲν τοῖς πρώτοις δύο καθ' ἕκαστον σφυγμὸν προβληθέντα τὰς γεννώσας αὐτὸν ἐπισκεψαμένοις διαθέσεις, ἐν δὲ τοῦ τρίτῳ καθ' ἑκάστην διάθεσιν τοὺς οἰκείους σφυγμοὺς, ἐξευρῆσιν. ἠρξάμεθα δ' ἀπὸ τῆς τῇ καρδίᾳ συμβαινόντων, ἐν οἷς εἰσὶ καὶ πυρετοὶ πάντες, ὡς ἐν τοῖς ὑπὲρ αὐτῶν ἐπιδέδεικται λόγοις. ὅπερ οὖν ὑπόλοιπον ἔτι τὰς ἐν τοῖς ἄλλοις ἅπασι μορίοις τοῦ ζώου διαθέσεις, αἷς ἡ καρδία συμπάσχουσα τοὺς σφυγμοὺς ἀλλοιοῖ, διέλθωμεν ἁπάσας, ἑξῆς ὥσπερ καὶ τ' ἄλλα πρόσθεν εἰς μέθοδον ἀγόντου. ἐν μὲν δὴ τοῦτο μόνον ἁπασῶν αὐτῶν κοινὸν ἐπίστασθαι χρὴ, τὸ μηδέ ποτε δύνασθαι τοὺς ἐν ὅλῳ τοῦ ζώου σφυγμοὺς εἰς κοινὴν ἀλλοίωσιν ἀχθῆναι, πρὶν τὴν καρδίαν συμπαθεῖν τοῦ πρωτέρου πεπονθότι μορίῳ, κατὰ μέρη δὲ τινὰ τοῦ σώματος, ἀλλοιωθῆναι τινὰς ἀρτηριῶν κινήσεις δύνασθαι, καὶ χωρὶς τοῦ πρὸς τὴν καρδίαν ἐξικέσθαι τὴν βλάβην. ὑπὸ δὲ τούτῳ μνημονευομένῳ πρώτας μὲν ἐπέλθομεν ὅσαι τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἐγγίνονται διαθέσεις, εἶθ' ἑξῆς, ὅσαι τοῖς προφικοῖς ὀνομαζομένοις, εἶτ' αὖθις, ὅσαι τοῖς κατὰ κεφαλὴν. καὶ τελευταίας, ὅσαι τοῖς κατὰ κῶλα, καὶ τὰ προφανῆ τοῦ ζώου μέρη. κἄπειθ' ὅσαι τοῖς γεννητικοῖς. τὰ μὲν οὖν ἀναπνευστικὰ μόρια τοῦ ζώου δύο ἐστὶ μόνα, πνεύμων, καὶ θώραξ. τὰ δὲ τῆς τροφῆς ὄργανα πολὺ πλείω δυοῖν, ἥπερ, καὶ γαστὴρ, ἥντερά τε καὶ σπλὴν, οἱ νεφροὶ, καὶ αἱ κύστεις ἀμφότεραι. ταχίστην θ' ἅμα καὶ μεγίστην ἁπάντων ὑπὸ φέρει τῇ καρδίᾳ τὴν βλάβην ὁ πνεύμων. καὶ γὰρ τῇ θέσει πάντων ἔγγιστα καὶ τοῖς ἀγγείοις αὐτῇ συγγενέστατος ὑπάρχει, καὶ σύῤῥους μεγίστοις στόμασι εἰς ἀμφοτέρας τὰς κοιλίας ἐστίν. εἰ γοῦν ἑαυτοῦ γένοιτο ποτὲ θερμότερος αὐτίκα καὶ τὴν καρδίαν θερμαίνει. καὶ ἢ ψυχρότερος, οὐδὲ τοῦτ' ἀναβάλλεται. τάς τε καθ' ὑγρότητά τε καὶ ξηρότητα δυσκρασίας, οὐχ ὁμοίως μὲν ταῖς εἰρημέναις, θᾶττον δ' οὖν καὶ ταύτας ἁπάντων τῶν ἄλλων ὀργάνων ὑπὸ πέμπει τῇ καρδίᾳ. καὶ τὰ πληθωρικὰ δ' ἐν αὐτῷ νοσήματα, καὶ μάλιστα ὅταν ἐρυσίπελας, ἢ φλεγμονὴ καταλάβῃ τὸ σπλάγχνον, αὐτίκα τῆς καρδίας ἀλλοιοῖ τὰς ἐνεργείας. ὡσαύτως δὲ καὶ ὅσα διὰ φλεγματικὸν ῥεῦμα συνίσταται παθήματα, κατ' αὐτὸν εἰς συμπάθειαν ὑπὸ σπᾶται τὴν καρδίαν. ἀλλ' ἀπὸ τῶν δυσκρασιῶν ἀρκτέον ὅσαι ἄνευ ῥεύματος γίνωνται. καὶ πρώτην γ' ἐξ αὐτῶν προχειριστέον ἐστὶ τὴν κατὰ θερμότητα. τοῦ τοίνυν πνεύμονι θερμανθέντι, νοσωδεῖς ἡ καρδία συνθερμανθεῖσα, τοῦ ὑπὸ τῇ χρείᾳ τῶν σφυγμῶν αὐξηθείσῃ γιγνομένους ἐργάζεται σφυγμούς. εἶδ' ἐν πλέονι χρόνῳ τοῦτο συμβαίνει κίνδυνος αὐτῇ τὸν ἑκτικὸν ἀναδέξασθαι πυρετὸν. οὗ τὰ γνωρίσματα πρόσθεν εἴρηται. ἡ μὲν δὴ τῶν σφυγμῶν ἀλλοίωσις ἡ αὐτὴ γενήσεται τῆς καρδίας μόνης αὐτῆς καθ' ἑαυτὴν δυσκρατῶς ἐχούσης, ἐπί τε τῇ πρὸς τὸν πνεύμονα συμπαθείᾳ. καὶ μέν τοι καὶ ἡ τῆς ἀναπνοῆς ἰδέα τὴν αὐτὴν ἕξει κατάστασιν, εἶθ' ἡ καρδία μόνη τὴν πυρετώδη πάθοι δυσκρασίαν, εἴτε τοῦ πνεύμονι συμπάσχοι. πλέονος δ' αἰσθήσεται κάυματος ἐν ἅπαντι τῷ κύτει τοῦ θώρακος, ὁ διὰ τὸν πνεύμονα πάσχων, ἐκπνεύσει τε θερμὸν ἱκανῶς ὡς καὶ διψήσει θατέρου μᾶλλον, καὶ θερμοτέραν ἕξει τήν τε φάρυγγα καὶ τὴν γλῶτταν, ὡς τὰ πολλὰ δὲ καὶ ξηροτέραν. εἰ δ' ὑπὸ πλέον ἥκει τὸ κακὸν, χρωσθήσεται χρώματι μέλανι τὴν γλῶτταν, καὶ τραχεῖαν ἐσχάτως ἕξει. ψυχθέντος δὲ τοῦ πνεύμονος ἡ καρδία συμπάσχουσα κατ' ἀρχὰς μὲν εἰς ἐκείνην ἄξει τοὺς σφυγμοὺς τὴν ἀλλοίωσιν, ἣν ἔμπροσθεν ἐδείξαμεν ἐκλυομένης τῆς χρείας συνίστασθαι, πρωΐοντος δὲ τοῦ χρόνου ψύξιν ἑκτικὴν ἀναδεξαμένη τοὺς ὑπὸ ταύτῃ κρατούσῃ λελεγμένους γίγνεσθαι σφυγμοὺς ἀπεργάσεται. τὰ μὲν οὖν ἄλλα κοινὰ τοῖς τε τὴν καρδίαν μόνην ἐψυγμένοις ἐστὶ, καὶ τοῖς τὸν πνεύμονα, συμπάσχει γὰρ ἐξ ἀναγκης τὸ ἕτερον τοῦ ἑτέρου. πρόσεστι δ' ἐξαίρετον οἷς ὁ πνεύμων ἔψυκται πρῶτος αἴσθησις ψυχρᾶς τῆς ἀναπνοῆς. εἰ δὲ καὶ κατὰ ξηρότητα δύσκρατος ὁ πνεύμων γένοιτο, κατ' ἀρχὰς μὲν οὐδέν τι σαφὲς ἀλλοιώσει τοὺς σφυγμοὺς, ἐν τοῦ χρόνῳ δ' ἄν ποτε σκληροτέρους ἐργάσεται, τῆς καρδίας συμπαθούσης αὐτῷ. τούτοις ἡ φάρυγξ ἑτοίμως ξηραίνεται, καί τοι γ' οὐ διψῶσιν, ἡ δὲ καθ' ὑγρότητα δυσκρασία πλαδαρὰν μὲν καὶ ἄδιψον ἐργάζεται τῆς φάρυγγα, τῷ χρόνῳ δ' ἀλλοιοῖ τοὺς σφυγμοὺς εἰς μαλακότητα. τοιαῦται μὲν αἱ ἁπλαῖ δυσκρασίαι τοῦ πνεύμονος. αἱ συνθέτοι δ' ἐκ τούτων γνωριζέσθωσαν. ἔμοι γὰρ ἤδη καιρὸς ὑπὸ θάτερον ἰέναι γένος, ὃ ῥευμάτων ἔγγονον ἔφην ὑπάρχειν. ἔστι δ' ἐν αὐτῷ κοινὸν μὲν ἁπάντων ἀνωμαλία τῶν σφυγμῶν, ἔμφραξίς τε γὰρ ἑτοίμως, καὶ σφήνωσις, καὶ θλίψις τῶν κυριωτάτων ἀρτηριῶν, ὑπὸ τοῖς τοιούτοις γίνεται ῥεύμασιν. οὐχ ἧττον δὲ τούτων καὶ τὸ πρὸς τὴν δύναμιν πλῆθος, ὡς ἂν ἐγγὺς οὕτω κειμένης τῆς καρδίας τοῦ πνεύμονι, καὶ διὰ μεγάλων στομάτων ἐχούσης τὴν σύῤῥοιαν. ἡ μὲν οὖν ἀνωμαλία κοινὴ πάντων ῥευμάτων, ὅσα κατασκήπτει τῷ πνεύμονι, τοῦ μᾶλλον τε καὶ ἧττον ἐν αὐτῇ, πρᾶ τε τῆς σύστασιν καὶ τὸ πόσον τοῦ χυμοῦ, γιγνομένου. ἐλάττων μὲν γὰρ ἐπί τε τοῖς λεπτοῖς καὶ ὀλίγοις, ἀξιολογωτέρα δὲ ἐπί τε τοῖς παχέσι καὶ γλίχροις, καὶ πολλοῖς ἀποτελεῖται ῥεύμασι, καὶ γὰρ ἐμφράττει ταῦτα καὶ θλίβει καὶ βαρύνει μᾶλλον. αἱ δ'

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 155 sur 494

λον. αἱ δ' εἰς τὰς ἄλλας διαφορὰς τῶν σφυγμῶν ἀλλοιώσεις, ὠθῇ μὲν τοῖς θερμοτέροις ῥεύμασιν, οἵας ὠθῇ πλήθει θερμασίας. ὠθῇ δὲ τοῖς ψυχροτέροις, οἵας ἐπ' ἐνδείᾳ πρόσθεν ἔφαμεν συνίστασθαι. σκληρότεροι δὲ γίνονται τῶν κατὰ φύσιν ὠθῇ τε ταῖς ξηραῖς δυσκρασίαις, καὶ τοῖς φλεγμονώδεσιν ὄγκοις ἡ σκιῤῥώδεσιν τοῦ πνεύμονος. ὥσπερ γε καὶ μαλακώτεροι διὰ τὰς οἰδηματώδεις διαθέσεις. οὐ μὴν οὐδὲ τὸ τῆς ἀναπνοῆς εἶδος ὅμοιον, ἐπί τε ταῖς δυσκρασίαις ἔστι, καὶ τοῖς ῥεύμασιν, αἱ μὲν γὰρ ψυχραὶ δυσκρασίαι, μικρὰν, καὶ βραδεῖαν, καὶ ἀραιὰν ἐργάζονται τὴν ἀναπνοὴν, ὥσπερ καὶ τοὺς σφυγμούς. τὰ μὲν δὴ ῥεύματα τὰ ψυχρὰ τοὺς μὲν σφυγμοὺς ὁμοίως ἀλλοιοῖ, τὴν δ' ἀναπνοὴν, οὔτε μικρὰν, οὔτε βραδείαν, οὔτε ἀραιὰν ἐργάζεται. διὰ γὰρ τὴν στενοχωρίαν ὀλίγου πνεύματος ἐμπίπτοντος τοῦ πνεύμονι, καὶ διὰ τοῦτο τῆς φύσεως ἐκλιπῶς ἀπολαβούσης αὐτοῦ, συμβαίνει τὴν δευτέραν ἐνέργειαν αὐτίκα τε καὶ ταχείαν ἅμα καὶ μεγάλην ἀποτελεῖσθαι, καὶ μόναις τάνταις τῶν δυσπνοιῶν ὡς καὶ τῇ περὶ αὐτῶν ἐδείχθη πραγματείᾳ, συμβέβηκεν ὑπεναντίως ἔχειν τῇ διαστολῇ τοῦ θώρακος τὸ ποσὸν τῆς εἰσπνοῆς. μέγιστον μὲν γὰρ ὁ θώραξ διαστέλλεται, πλεῖστον δ' οὐκ εἰσπνεῖται, καθάπερ ὅτ' ἄφρακτος ὁ πνεύμων ὑπῆρχεν. ἡ μὲν οὖν ἰδέα τῆς ἀναπνοῆς ὁμοία τοῖς ῥεύμασιν ἅπασιν ὑπάρχει. τὸ πνίγεσθαι δ' οὐχ ὁμοίως ἅπασιν, ἀλλὰ τοῖς θερμοῖς ἅπασι μᾶλλον ἕπεται, ἐπειδὴ πλείονος τῆς εἰσπνοῆς ἡ φύσις δεῖται τηνικαῦτα. διὰ δὲ τὰς δυσκρασίας μόνας οὐδεὶς ἕπεται κίνδυνος πνίξεως. καὶ τοῖς σφυγμοῖς δ' αὐτοῖς ἐγγίνεταί τις ἑτέρα διαφορὰ παρὰ τὰς ἔμπροσθεν εἰρημένας, ἐν τοῦ τὸ ῥεῦμα ποτὲ μὲν εἰς αὐτὰς μόνας ἐμπίπτειν τὰς τραχείας ἀρτηρίας, ποτὲ δ' εἰς τὰς λείας τε, καὶ τὰς φλέβας, ἢ καὶ τὰς μεταξὺ χώρας αὐτῶν ἁπάσας μεταλαμβάνειν. ὠθῇ μὲν γὰρ ταῖς τραχείαις ἀρτηρίαις μόναις πληρωθείσαις, οὐδὲ μία κατὰ σκληρότητα γίνεται μεταβολὴ τοῖς σφυγμοῖς. ὠθῇ δὲ ταῖς λείαις, αἱ καθ' ὅλον τὸ ζῶον ἀρτηρίαι τεινόμεναι σκληρότερον ἐργάζονται τὸν σφυγμόν. τὰ δ' οἰδήματα τοσοῦτον ἐνδεῖ τοῦ σκληρύνειν αὐτὸν, ὥς τε καὶ μαλακώτερον ἀποτελεῖν, διαβρέχοντα μὲν ἐν τοῦ χρόνῳ τοὺς χιτῶνας τῶν ἀρτηριῶν, τάσιν δ' οὐδὲ μίαν ἐργαζόμενα, καθάπερ ὠθῇ τῶν φλεγμονωδῶν τε καὶ σκιῤῥωδῶν ὄγκων ἔχει. μὴ τοίνην ὀνόματα ζήτει ἀκούειν ἔτι περὶ πνευμονιῶν ἢ ἀσθμάτων ἢ πνευμωδῶν παθῶν, μεμαθηκὼς τὰς διαθέσεις τοῦ πνεύμονος. ὅτι γὰρ ἡ διὰ τῶν ὀνομάτων διδασκαλία πρώτην μὲν ἔχει τὴν περὶ τὸ σημαινόμενον ἀμφισβήτησιν, δευτέραν δὲ τὴν τοῦ ἀριθμοῦ τῶν νοσημάτων ἄγνοιαν, ἐν πολλαῖς πολλάκις ὑπῶν δέδεικται πραγματείαις. ἀλλ' ὠθῇ τὰ τῶν θώρακος ἰέναι καιρὸς ἤδη νοσήματα κατὰ τῆς αὐτὴν μέθοδον. αἱ μὲν δὴ δυσκρασίαι τὰς αὐτὰς ἀλλοιώσεις ἐργάζονται ταῖς ὀλίγον ἔμπροσθεν ὑπὸ τοῦ πνεύμονος εἰρημέναις. οἱ δ' ὄγκοι κατά τε τὴν ποσότητα καὶ τὴν ἰδέαν ἑκάστου τῶν ἐργασαμένων αὐτῶν χυμῶν. διαλλάξουσι δὲ τοῦ θάττον μὲν καὶ μᾶλλον τοῦ πνεύμονι συμπάσχειν τὴν καρδίαν, ἧττον δὲ καὶ βραδύτερον τοῦ θώρακι. διαλλάξουσι δὲ κἀν τῷ ποτὲ μὲν νῦν εἶναι τὸ πάσχον μέρος τοῦ θώρακος. ποτὲ δὲ τὸν ὑπεζώκοτα τὰς πλευρὰς χιτῶνα. πλείων γὰρ ἡ τάσις ὠθῇ τοῖς σκληροῖς καὶ πυκνοῖς μέρεσιν εἰς ὄγκον ἀρθεῖσιν. καὶ διὰ τοῦτο καὶ οἱ πλευριτικοὶ τῶν περιπνευμονικῶν ἀεὶ σκληρότερον ἔχουσι τὸν σφυγμόν. ὁμαλὸς δὲ τοὐπίπαν ὠθῇ τοῖς κατὰ τὰς πλευρὰς ὄγκοις ὁ σφυμὸς, οὐχ ὥσπερ ἐπὶ τοῖς κατὰ τὸν πεύμονα παντοίως ἀνώμαλος. οὔτε γὰρ διὰ μεγάλων ἀγγείων, οὔτ' ἐγγὺς τῆς καρδίας ἡ κοινωνία τοῦ θώρακι πρὸς αὐτὴν ἐστί. περὶ δὲ τῆς κατὰ τὴν δύσπνοιαν ἰδέας, οὐδὲν ἐν τῷ δὲ τοῦ λόγῳ δέομαι λέγειν ὥσπερ ἐπὶ πνεύμονος ἐδεήθην διακρίναι. ποτὲ μὲν ἡ καρδία πρώτη πάσχει, ποτὲ δὲ ὁ πνεύμων. ἑτοίμη γὰρ ἡ διάγνωσις ἐπὶ τοῦ θώρακι πάσχοντι. ἥπατος δὲ νοσοῦντος ἀλλοιοῦνται σφυγμοὶ, κατὰ μὲν τὰς δυσκρασίας ὡς ἔμπροσθεν εἴρηται, κατὰ δὲ τοὺς παρὰ φύσιν ὄγκους, ἀνάλογον μὲν πῶς κἀν τούτοις, ἀλλ' ἧττον ἐπὶ ταῖς φλεγμοναῖς γίνονται σκληροὶ τῶν ὠθῇ θώρακι τοσοῦτον, ὅσον τῶν ἐπὶ πνεύμονι μᾶλλον. οὐδὲ ποτὲ δ' οὔτ' ἐπὶ θώρακος οὔτ' ἐφ' ἥπατος ὄγκῳ, μαλακὸς ὁ σφυγμὸς γίνεται, διότι μὴ δ' ὠθῇ γίνεται ποτὲ τοῖς ὀργάνοις τούτοις οἴδημα φλεγματικόν. ὁ μὲν γὰρ θώραξ πυκνότερος, ἢ ὥστε δέξασθαι τοιοῦτον ῥεῦμα. τὸ δ' ἧπαρ οὐ πυκνότερον μόνον, ἀλλὰ καὶ τῇ συμφύτῳ δυνάμει ῥαδίως ἀλλοιοῖ τὸ φλέγμα. συμπάσχει δ' ἑτοιμότερον ἡ καρδία τῷ ἥπατι, καί τοι πορρώτερον τοῦ θώρακος κειμένῳ, διὰ τὴν τῆς κοίλης φλέβος κοινωνίαν. συμπάσχει δὲ καὶ τοῦ διαφράγματι μᾶλλον τῶν ἄλλων ἁπάντων τοῦ θώρακος μερῶν, ὅτι περὶ αὐτῆς τῆς κοίλης αἱ φλέβου τούτῳ. τάσιν δ' οὐδὲν οὕτω μόριον ἄλλο ταῖς ἀρτηρίαις ἐργάζεται, καὶ μάλιστα ὅταν αὐτὸ τὸ νευρῶδες αὐτοῦ πάθοι. εἰ μὲν οὖν ὑπὸ τῶν ἐν αὐτῷ περιττωμάτων διατείνοιτο χωρὶς πυρετῶν, ὀδύνη τε καὶ δύσπνοια τό γε κατ' ἀρχὰς ὑπῶν γίνεται. πρωΐοντος δὲ τοῦ χρόνου πυρέττουσι συμπομένων τῶν περιττωμάτων. εἰ δὲ ἐκ ῥεύματος εἰς αὐτὸ κατασκήψαντος, εἶναι μὲν χρὴ τοῦτο πάντως ἤτοι χολῆς ξανθῆς, ἢ αἵματος θερμοῦ καὶ λεπτοῦ, παχὺ γὰρ αἷμα καὶ φλέγμα γλίσχρον, οὐχ ἂν ποτε δέξαιτο διὰ πυκνότητα. παραφρονήζουσι δ' ἐξ ἀνάγκης, ἕξουσι τε τὸν σφυγμὸν ἱκανῶς σκληρὸν, καὶ διὰ τοῦτο καὶ μικρόν. ὅτι δ' ἄμφω γε ταῦτα καὶ ἡ θερμασία πολλὴ, διὰ τοῦτο καὶ πυκνότατος. ὁ δ' ἄνευ πυρετοῦ σφυγμὸς ἐπὶ διαφράγματι δυσπραγοῦντι, σκληρὸς μὲν γίνεται καὶ μικρὸς, οὐ μὴν πυκνός τε ὑπὸ πλέον, ἀλλ' ἤτοι βραχύτι παντάπασιν, ἢ οὐδ' ὅλως εἰς τοιαύτην ἀφικνεῖται μεταβολὴν. ἀνάλογον δὲ τοῖς ἐπὶ τοῦ νευρώδει τοῦ διαφράγματος, ἕπεται πάντα ταῖς μεγάλαις πλευρίτισιν, ὅτι καὶ ὁ ὑπεζωκὼς τὰς πλευρὰς χιτὼν πλείστων τε νεύρων μετέχει, καὶ συνῆπται ταῖς φρεσὶ, καὶ τοῖς τὸν θώρακα διαπλάττουσι ὑμέσι, δι' ὧν κατὰ συνέχειαν ἐγγὺς τῆς καρδίας ἀφικνεῖται. καὶ μέγιστον δὴ τοῦτ' ἐστὶ γνώρισμα πλευρίτιδος ὀλεθρίας, εἰ σκληρὸς ἱκανῶς ὁ σφυγμὸς γένοιτο, καὶ διὰ τοῦτο καὶ μικρὸς, καὶ δι' ἄμφω τε ταῦτα καὶ τὴν θερμότητα, πυκνότατος. οὐδεὶς ἐσώθη πλευριτικὸς ἐπὶ τοιούτῳ σφυγμῷ. παραπαίουσι δ' ἧττον οὗτοι τῶν τὸ διάφραγμα φλεγμαινόντων. ἐγγυτέρα γὰρ ἐστὶ τῆς ἀρχῆς ἡ τῶν τοῦ διαφράγματος νεύρων ἔκφυσις, ἀλλ' οὐ χρὴ μηκύνειν ἐν ταῖς ἄλλαις διαγνώσεσι περὶ σφυγμῶν προθεμένους λέγειν. ἐν γὰρ τοῖς τῶν πεπονθότων τόπων ὑπομνήμασιν, ὑπὸ πλέον ὑπὲρ τῶν τοιούτων διήρηται. γαστὴρ δὲ κακοπραγοῦσα, κατὰ δυσκρασίαν μὲν, ἀνάλογον τοῖς προειρημένοις ἀλλοιώσει

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 156 sur 494

τοὺς σφυγμούς. δι' ὄγκον δέ τινα, καὶ μὴ τὴν πυθμένα συμβάντα, τοῖς ἄλλοις ἀνάλογον. εἰ δ' ἐν τῷ στόματι γένοιτο, σκληρότερος ὁ σφυγμὸς ἔσται διὰ τὸ πλῆθος τῶν νεύρων, οὐ μὴν οὕτω γε σκληρὸς ὡς ἐπὶ διαφράγματι. παμπόλλῳ γὰρ ἀπολείπεται τοῦ δέ, καὶ τοί γ' οὐκ ἀπολειπομένου τοῦ μορίου τῷ μεγέθει τῶν νεύρων. ἀλλὰ διὰ μὴ ταῦτα τὰ νεῦρα τὸ περιττὸν τῆς αἰσθήσεως ἔχει. μαλακὰ γὰρ ἐστι καὶ μεγάλα καὶ ἀπ' αὐτῆς ἐκπέφυκε τῆς ἀρχῆς. διὰ δὲ τὸ τῆς τοῦ σώματος οὐσίας σαρκοειδὲς, ἀπολείπεται σκληρότητι τοῦθ' ὑπεζωκότος καὶ τῶν φρενῶν. σύντονα γὰρ ἐκεῖνα τὰ μόρια καὶ σκληρὰ καὶ πυκνὰ, διὸ καὶ τείνεται μᾶλλον εἰς ὄγκον αἰρόμενα. καὶ τὰ νεῦρα δ' αὐτῶν ὁμοίως αὐτοῖς τοῖς ὀργάνοις σκληρὰ καὶ σύντονα. τὰ δὲ τῆς γαστρὸς ὡς εἴρηται μαλακά. ταῦτάτοι σκληρότατοι μὲν ἐπὶ διαφράγματι καὶ ὑπεζωκότι, καὶ διὰ τοῦτο καὶ μικροὶ γίνονται σφυγμοί. καὶ εἰθερμασία τις τοῖς αὐτοῖς συνείη καθάπερ ἐν φλεγμοναῖς τε καὶ πυρετοῖς, εὐθὺς καὶ πυκνότατοι. καὶ δὲ τὸ τῆς γαστρὸς † στόμα, σκληρὸς μὲν οὐδέποθ' οὕτως ὁ σφυγμὸς, ὅτι μήτ' αὐτὰ τὰ νεῦρα, μήτε τὸ μόριον σύντονον. μικροὶ μέν τοι καὶ πυκνοὶ πολλάκις ἐπὶ τοῦ περιττῷ τῆς αἰσθήσεως, ὅτι τάχιστα κάμνουσης τε καὶ καταλυομένης τῆς δυνάμεως. ἐμάθομεν γὰρ ὁποίους ἄλγημα καὶ μάλιστα τὸ τῆς δυνάμεως ἁπτόμενον, ἐργάζεται τοὺς σφυγμούς. ὥσπερ δ' ἐπὶ τοῖς ἀλγήμασι τοῖς κατὰ τὸ στόμα τῆς γαστρὶς ἡ δύναμις τάχιστα κάμνει, κατὰ τὸν αὐτὸν λόγον οὐκ ἀνέχεται πλήθους οὐδ' ἐπ' ὀλίγον, ἀλλὰ βαρύνεται τε καὶ κάμνει, καὶ τοὺς σφυγμοὺς ἀνωμάλους ἐργάζεται. λέλεκται δ' ἐν τοῖς ἔμπροσθεν ὁποῖοι σφυγμοὶ γίνονται βαρυνομένης δυνάμεως ὑπὸ πλήθους ὕλης, ὥσπερ γε καὶ οἷοι τινὲς ἀῤῥωστούσης. ἀμφοτέρας οὖν τὰς βλάβας τῆς δυνάμεως ἑπομένας ἔχον τὸ στόμα τῆς γαστρὸς, εὐλόγως ἐργάζεται τοὺς σφυγμοὺς, ἐνίοτε μὲν ἀμυδροὺς καὶ μικροὺς, καὶ πυκνοὺς, ἐνίοτε δὲ ἀνωμάλους, ἔν τε τοῖς εἰρημένοις τρισὶ γένεσι, καὶ προσέτι τοῦ καὶ τάχος τε καὶ βραδυτῆτα. καὶ τοίνυν οὐδὲν ἔτι χαλεπὸν οὐδὲ ἐπὶ τῶν ὑπολοίπων ὀργάνων τῆς τροφῆς δὲ εὑρίσκειν τὰς τροπὰς τῶν σφυγμῶν, εἰς τὰ προειρημένα σύμπαντα, καθάπερ εἰς στοιχεῖα βλέποντας, ὡς μηδὲν αὐτῶν ἄσκοπον παραλιπεῖν. ὅσα μὲν γὰρ ἐγγυτέρω τε τῆς καρδίας ἐστὶ, καὶ διὰ μεγάλων ἀγγείων κοινωνεῖ, θᾶττον τε καὶ μᾶλλον αὐτὴν εἰς συμπάθειαν ἄξει. ὅσα δ' ἀπτέρω τε καὶ διὰ μικρῶν, ἧττον τε καὶ βραδύτερον. οὕτως δὲ καὶ ὅσα μὲν ἐστὶ σκληρὰ καὶ σύντονα καὶ νεύρων πλείστων μετέχει σκληρῶν, ἑτοίμως ταῦτα τοὺς σφυγμοὺς ἐργάζεται σκληροὺς, ὅσα δὲ ἐναντία, μαλακούς. ὅσα δ' αἰσθητικὰ βλάψει τὴν δύναμιν, ἑκατέραν τὴν βλάβην. ὥστε οὐδὲν χαλεπὸν δὲ εὑρεῖν αὐτὸν τινὰ καθ' αὑτὸν ἕκαστον τῶν μορίων, ὁποῖον τινὰ τὸν σφυγμὸν ἐργάζεται καθ' ἕκαστον πάθος. οἷον αὐτίκα, κύστις καὶ μήτρα τῇ θέσει μὲν, οὐδὲν ἀλλήλων διαφέρουσι. σκληρότερα δ' ἔστι καὶ νευρωδεστέρα ἡ κύστις. ὥστε καὶ τοὺς σφυγμοὺς φλεγμαίνουσα μᾶλλον τῆς μήτρας ἐργάζεται σκληροὺς. ἀλλοιώσει δὲ θᾶττον τε καὶ μᾶλλον αὐτοὺς εἰς μέγεθός τε καὶ μικρότητα καὶ τὰς ἄλλας διαφορὰς ἡ μήτρα. μείζους τε γὰρ ἀρτηρίας ἔχει καὶ φλέβας καὶ πολὺ πρότερον ἀποφυομένας τῶν κατὰ ῥαχὶν ἀγγείων τῶν μεγάλων, ἤπερ αἱ εἰς τὴν κύστιν ἥκουσαι. τὰ δὲ τῆς ὀδύνης ἀμφοτέροις τοῖς ὀργάνοις, ὅσον μὲν ἐπὶ τοῦ νευρῷ δὲ ἴσου μετέχειν, ὡσαύτως, ὅσον δ' ἐπὶ τοῦ πυκνότερον καὶ σκληρότερον εἶναι τὸ τῆς κυστέως σῶμα, μείζους ἐν τούτῳ. τὰ γὰρ ἐν πυκνοτέροις σώμασιν ἐμφραττόμενα τε καὶ σφηνούμενα τῶν ὑγρῶν ὀδυνηρότερα τε τῶν ἀκραιοτέροις τε ἐστὶ καὶ μαλακοῖς, ὡς ἂν βιαιοτέραν ποιούμενα τὴν τάσιν. ἢ τὸ τῆς ὀδύνης εἵπετο μέγεθος. οὕτως μὲν οὖν χρὴ μεθόδῳ ζητεῖν ἁπάσας τῶν μορίων τὰς διαφοράς. ἀλλ' ἐγὼ γυμνασίας ἕνεκα καὶ τὰς τῶν ἄλλων ἔπειμι τῶν ἐκτὸς βουβώνων τε καὶ μασχάλων, ἐπειδὴ καὶ τούτοις ἔστι μέν τι παρὰ τὰ πρόσθεν εἰρημένα σύμπαντα διάφορον, ὥσπερ καὶ πρὸς ἄλληλα κατὰ μέρος. ἔστι δέ τι καὶ κοινὸν ἀλλήλοις τε καὶ τοῖς προειρημένοις. τὸ μὲν δὴ πόῤῥω τῆς καρδίας εἶναι. κοινὸν ἀμφοῖν ἔστι καὶ μᾶλλον τοῖς κάτω. διαφέρει δ' ἀλλήλων ταῖς οὐσίαις τε καὶ ταῖς ἐνεργείαις, ὥσπερ γε κοινόντι πρὸς ἄλληλα, καὶ τὰ πρόσθεν εἰρημένα σύμπαντα, κέκτητε κατὰ τὰς προειρημένας ἁπάσας διαφοράς. ἔστι γάρ τοι καὶ τούτων αὐτῶν, τὰ μὴ σκληρότερα τε καὶ πυκνότερα. τὰ δ' ἀραιότερά τε καὶ μαλακώτερα. καὶ τὰ μὴ, πλείονον τε καὶ μειζόνων. τὰ δ' ἐλαττόνων τε καὶ μικροτέρων ἀγγείων τε καὶ νεύρων μετέσχηκε. καὶ τὰ μὴ αἰσθητικώτερα τετύχηκεν ὄντα τὰ δ' ἀναισθητικώτερα. τὴν δ' ἐν ταῖς ἐνεργείαις αὐτῶν διαφορὰν οὐδεὶς ἀγνωεῖ, καὶ μάλιστα τῶν ἄνω μασχάλων. σκέλη μὴ γὰρ καὶ χεῖρες ἐνεργειῶν ἕνεκα προαιρετικῶν ἐγένοντο, πρὸς πλησίων ἀλλήλαις καὶ γένος. ὀφθαλμοὶ δὲ καὶ ὦτα καὶ γλῶττα, μηνίγγες τε καὶ αὐτὸς ὁ ἐγκέφαλος, ὅσά τε κατὰ τὴν τραχήλον ἔστι μόρια, πολὺ δή τι ταῖς ἐνεργείαις διαφέρει τῶν κατὰ τὰ κῶλα μορίων. ἕπεσθαι τοίνυν εἰκὸς ἑκάστῳ συμπτωμάτων οἰκείαν ἰδέαν, οὐχ ὁμοίως ἀλλοιοῦσαν τοὺς σφυγμούς. οἷον αὐτίκα, καὶ τοί γ' ἐν τούτῳ κειμένων ἐγκεφάλου τε καὶ μηνίγγων ἅπασι τοῖς καὶ τὴν κεφαλήν. ἐπὶ μὴ ταῖς τούτων φλεγμοναῖς δὲ ἀνάγκης πυρέττουσί τε καὶ παραφρονοῦσιν. ἐπὶ δὲ ταῖς τῶν ἄλλων οὐκ δὲ ἀνάγκης. αἱ γοῦν τῶν κροταφιτῶν μυῶν φλεγμοναὶ καὶ πυρετοὺς καὶ παραφροσύνας καὶ σπασμοὺς καὶ καροὺς ὑπαφέρουσι πολλάκις, ὁπόταν μεγάλαι γεννηθῶσιν, οὔθ' δὲ ἅπαντος οὔτ' ὅταν μικραὶ τύχωσιν οὖσαι τὰ τοιαῦτα συμπτώματα φέρουσιν. ὁ δ' ἐγκέφαλος αὐτὸς ὁπόταν εἰς δυσκρασίαν ἐμπέσῃ νωσώδη, τὸ τῆς δυσκρασίας οἰκεῖον δὲ ἀνάγκης ἐπὶ φέρει σύμπτωμα, καὶ μὴ τὰς ἀμέτρους θερμασίας, εἰ μὴ αὐταὶ μόναι καθ' αὐτὰς ποτὲ γένοιτο παραφροσύνην. εἰ δὲ μετὰ ξηρότητος ἅμα ταῖς ἀγρυπνίαις. οἰκεῖον γὰρ ξηρότητι τὸ σύμπτωμα τοῦτο, καθάπερ γε καὶ ὑγρότητι βαθὺς ὕπνος, ἢ κῶμα. τῆς ψύξεως δ' αὐτοῦ σύμπτωμα ἐστὶν ἀχώριστον ἡ καλουμένη μώρωσις. εἰ δὲ σὺν ὑγρότητι γένοιτο βαθεῖα τοῖς τοιούτοις ἕπεται καταφορά. πολλῷ δὲ τοῦ κατὰ φύσιν ὑγροτέρα τε καὶ θερμοτέρα ἀπτελεῖσα, τὴν σὺν ἀγρυπνίᾳ τε καὶ παραφροσύνῃ φέρει † διαφοράν. εἴρηται δὲ αὐτῆς ἡ ἰδέα πάσα καθ' ἑτέρον γράμμα τι περὶ τοῦ πρὸς ἱπποκράτους κώματος. ἰσχυρὰ δὲ ψύξις ἐγκεφάλου μετὰ ξηρότητος γινομένη, ἀκινησίαν μὲν ἐπάγει τοῦ σώματος σύμπαντος, οὐ μὴν κωματώδεις εἰσὶν ἀλλ' ἀνεωγόσι τοῖς ὀφθαλμοῖς ἀσκαρδαμυκτὶ βλέπουσιν. οἱ σφυγμοὶ δ' ὧν ἕνεκεν εἴρητε ταῦτα, θερμοῦ μὲν ἱκανῶς ἐγκεφάλου χωρὶς ξηρότητος, ἐν μὲν τῇ συστάσει τῆς ἀρτηρίας, σύμμετροι τε καὶ τοῖς κατὰ φύσιν ὅμοιοι, μεγέθει δ' ὑπερβάλλοντες καὶ τάχει καὶ πυκνότητι τοσοῦτο, ὅσον ἂν

† αἱ σῶμα

† αἱ καταφορὰν

ἡ νοσώδης

ἡ νοσώδης θερμότης ὑπὲρ τὴν κατὰ φύσιν ἦ. εἰ δὲ μὴ μόνον εἴη θερμότερος, ἀλλὰ καὶ ξηρότερος νοσωδῶς, σὺθυς μὲν δηπου καὶ ἡ διέζωκεν μιγνυμένη αὐτὴ ἡ λεπτὴ παραπλησίως διακείσεται. σὺν αὐτῇ δὲ καὶ τὰ νεῦρα συμπαντα, καὶ ἐκεῖνα καὶ αἱ ἀρτηρίαι σκληρότερον ἔχουσι τὸν σφυγμόν, ὅτι τε τείνονται τὸν χιτῶνα καὶ ξηραίνουσι. διέλκει γὰρ ἐτέρωθι πρὸς τὴν ἀρχὴν συμπαθείας. εἰ δ' ἐκ χολώδους χυμοῦ πλεονεξίας εἰς θερμὸν καὶ ξηρὰν ἀχθείη διάθεσιν ὁ ἐγκέφαλος, ἔτι δὴ καὶ μᾶλλον ἡ τάσις ἐγγίνεται ταῖς ἀρτηρίαις. οὕτω δὲ καὶ ἡ ἐξ αἵματος θερμοῦ καὶ οἷον ζέοντος, ἡ μὲν ξηρότης ἧττων, μείζων δ' ἡ τάσις αὐταῖς τε ταῖς μιγνυμένοις ὑπάρχει, καὶ τοῖς νεύροις, καὶ ταῖς ἀρτηρίαις. ὁ μὲν χολώδης χυμὸς, ὁ γοῦν ὠχρὸς ὃν νῦν μεμνήμεθα λεπτομερὴς ὑπάρχων οὐχ ὁμοίως σφίγγουται κατὰ τὰ μαλακὰ σώματα, ὥστε οὐδὲ εἰς ὄγκον αἴρειν αὐτὰ δύναται. τὸ δ' αἷμα τὸ θερμὸν ἐμφράττεταί τε καὶ σφίγγουται μᾶλλον. ὥστε καὶ τὸν ὄγκον ἐργάζεται μείζω, καὶ τὴν τάσιν ἰσχυροτέραν. καὶ τοίνυν προσήκειν ἀκριβῶς χρὴ τῇ κατὰ τὰς ἀρτηρίας συστάσει, πότερον ὑπὸ ξηρότητος, ἢ τάσεως ὁ χιτὼν φαίνεται σκληρός. ἔστι δὲ μὴν ὑπὸ ξηρότητος φαίνοιτο, δύοιεν δ' ἂν ἡγεῖσθαι κατὰ τὸν ἐγκέφαλον ὑπάρχειν, ἢ δυσκρασίαν θερμὴν καὶ ξηρὰν, ἢ χολῆς πλεονεξίαν. εἰσὶ γὰρ τάσει, φλεγμονώδη διάθεσιν. εἰσὶ δ' ἐπὶ ἀμφοῖν, ἡγεῖσθαι χρὴ καὶ αὐτὴν τὴν διάθεσιν ἐπὶ σπάθους τε καὶ πικροχόλου χυμοῦ. παραφρονοῦσι μὲν οὖν ἅπαντες οἱ τοιοῦτοι διηνεκῆ παραφροσύνην, διαλάπτουσι δ' ἀλλήλων κατὰ μὲν δυσκρασίαν μόνη μερίμνης τε πάσης ἔξω καὶ ἀρρωστείας ἁπάσας τὰς προαιρετικὰς ὑγρὰ εἶναι. κατὰ δ' ὑπὸ χολώδους χυμοῦ μετ' ἀρρωστείας ἐξίστασθαί τε κατὰ τὰς παραφροσύνας ἰσχυρῶς. ὅσοι δ' ὑπὸ μελαίνης χολῆς ζέσασα σφόδρα σπεδόνα τοιοῦτόν τι πάσχουσι, ῥᾳδίως ἐξίστανται, σκληροὶ δὲ καὶ τούτων εἰσὶν οἱ σφυγμοὶ διὰ τὰς ἀμφοτέρας τὰς αἰτίας ξηρότητά τε καὶ τάσιν. σὺθυς δὲ δηπου καὶ μικροὶ διὰ τὴν σκληρότητα. καὶ θάττους τῇ κατὰ φύσιν, ὅτι πυρέττουσι καὶ πυκνοί, διὰ τὸ μὴ πληροῦσθαι τὴν χρείαν. ἅμα δὲ ὑγρὰν δυσκρασίαν ἐν τῷ ἐγκεφάλῳ μακρὸς ὢν χρόνῳ οὗτος σφυγμὸς ἀρτηλᾶσι, καὶ κωματώδη τὸν ἄνθρωπον. εἰ δὲ πυρετώδης αὐτοῖς σωπὴ θερμότης, λήθαργος μὲν ὀνομάζεται τὸ νόσημα, γίνεται δὲ ὁ σφυγμὸς ὁ μαλακὸς μόνον, ἀλλὰ καὶ μέγας. εἰσὶ δὲ σκοπουμένῳ φλέγματι κατὰ τὸν ἐγκέφαλον αἱ τοιαῦται γίνεται διάθεσις. ἔστι μὲν οὖν καὶ ὅτως τὸ νόσημα λήθαργος, ἔξει δὲ ὁ σφυγμὸς ἐμφασιν ὅτι νάρκης τὴν ἀρτηρίας, καὶ ὅτι μαλακῆς ὑπαρχούσης. μεγάλοι δ' ἐς ὃ σῶμα ἐν τοῖς τοιούτοις νοσήμασι πᾶσιν εἰσὶν, ἐς ὅσον ἂν ἡ θερμότης αὐξηθῇ. τὸ δὲ τάχος ἢ τοι παντάπασιν ἐλάχιστον, ἢ ἀδήλως ὑπτίνεται τούτοις, ὡσαύτως δὲ καὶ πυκνότης. ἅπαντα δ' σωπώδη ταῦτα ἐν πλήθει ἡ θερμασίας. ὑπομικτα μέν τι τὴν διαθέσεως ἐκ χολῆς ἐν φλέγματος γνωμένης, ὅτ' ἄγρυπνοι τὸ σύμπαν ὑπάρχουσιν. ἔστ' ἐν βαθεῖ κώματι. καταφερόμενοι δὲ πρὸς παίδευσιν ἐπαίρειν ἀδυνατοῦντος τὰ βλέφαρα. καὶ τὸ σύμπαν εἰπεῖν, οἱ τοιοῦτοι κωματώδεις εἰσὶ καὶ ἄγρυπνοι. καὶ τοίνυν καὶ οἱ σφυγμοὶ τούτοις ἐν μέσῳ τῇ ἰσχνὰν ὑπάρχουσι τῇ ὥσπερ πλεγμένῃ ἀλλήλαις διαθέσεσιν. ψύξεως δὲ νοσώδους ἐν ἐγκεφάλῳ γινομένης, ὅταν εἰς συμπάθειαν ἀφίκηται ἡ καρδία μικροτέροι καὶ βραδύτεροι καὶ ἀραιότεροι τῇ κατὰ φύσιν οἱ σφυγμοὶ γιγνόνται. καὶ εἰ μὴ ὕλης ἄνυδρου μόνη τῇ δυσκρασίᾳ τοῦ ἐγκεφάλου, χωρὶς ἀπάσης τάσεως. εἰ δ' ὑγρὰ ὕλη, μελαγχολικῆς μὲν αὐτῆς ἀρχούσης, τείνεταί τε συμβήσεται τὰς ἀρτηρίας, καὶ διὰ ταῦτα σκληροτέρου φαίνεται τὸ σφυγμόν. φλεγματικῆς δ' οὐχ ἁπλῶς. ἀλλ' εἰ μὴ παχὺ καὶ γλίσχρον εἴη τὸ φλέγμα τυγχάνον, σκιδρούμενος γὰρ ὑγιὰς ὁ ἑκάστου ἐργάζεται χυμός. εἰ δ' ὑγρὸν καὶ πνευματῶδες, ὑφ' ὃ μάλιστα τὸ καλούμενον οἴδημα γίνεται, χωρὶς τοῦ τείνεσθαι μαλακὸς ὁ σφυγμὸς ἔσται. εἰσὶ δ' ἐπίμικτον εἴη τὸ φλέγμα τῇ προειργασμένῃ ἀμφοτέρῳ μετέχον εἰδῶν. ἅμα τε μαλακὸς καὶ σὺν τάχει σφύζων. προσλήψει δ' ὡς ὁπότε μαλακὸς ὁ σφυγμὸς γίνεται, καὶ μείζων ἀρτηλεσθήσεται τῷ πρόσθεν. ὁπόταν γε ἡ τῇ ἄλλῳ συμπτωμάτων αὐτοῖς ἰδέαν χαρίσεται, τοιαύτῃ τινὶ ἐκ τοῦ προειρημένων ὁρμωμένῳ. ἐμοὶ δ' οὐδὲν πλέον ἐνθάδε μυκᾶσθαι ἀναγκαῖον ἐν τῇ τοῦ παντὸς τόπῳ πραγματείᾳ τὰ διάφορα πάντα οὐδὲν πλεῖον ἐξεργασομένῳ. νυνὶ γὰρ οὐκ ἄπασαν, ἀλλὰ τὴν ἐκ σφυγμῶν μόνων διάγνωσιν οὐδὲν σκέψασθαι προσθέμενοι. ὥστε ἐκ πολλοστοῦ τε ἐν τῇ τοῦ παρόντος λόγου ἕνεκα τῇ ἄλλῳ συμπτωμάτων, οὐκ ἐν ὀργῷ. καταπαύσας δὲν ἤδη τὸν γνησίως λόγον, ἐφ' ἕτερον ἴωμεν τοῦ εἰς τὰ πρόσθεν χρησόμενοι μέτρῳ, μακροτέρᾳ μὴ ἐν τῇ τοῦ παντὸς τόπῳ πραγματείᾳ τετυχηκὸς, ἀναγκαῖον ἦ καὶ νῦν διαιθλῶσαι. ἡ λεπτὴ μὲν οὖν μιγνυμένη ἡ διέζωκεν τὴν ἐγκέφαλον. τὸ μοι δοκεῖ δύνασθαι μόνη ποτὲ παθεῖν τῇ εἰρημένων νοσημάτων οὐδέν, ἐγκεφάλου χωρὶς. ὥσπερ οὐδ' ἐγκέφαλος ἄνυδρος ἐν μηνιγγος. ἀλλ' εἴ τε δυσκρασία χωρὶς ῥεύματος, εἴ τε καὶ ῥεῦμα κατασκήψειεν εἰς ὁπότερον αὐτῶν, δύθυς ἀναγκαῖον ἔσται νομίζω μεταδίδοσθαι τοῦ πάθους εἰς τὸ λειπόμενον. ἡ μὲν οὖν σκληρὰ μιγνυμένη οἷα τ' ὂν καὶ μόνη πάσχειν ὧν πλεῖστον ἀφεστῶσα τοῦ ἐγκεφάλου. καὶ εἴπερ ἡ ἐξ αὐτῆς διάθεσις ἀξιόλογον ὑγρότητα τήν τε καρδίαν εἰς συμπάθειαν ὧν ἀσιτο, καὶ τὰς ἀρτηρίας, ἀνάλογον ταῖς κατὰ τὸν ἐγκέφαλον διαθέσεσιν ὁ σφυγμὸς ἀλλοιωθήσεται, τῇ μὲν θερμῷ ἐν αὐτῇ διαθέσεως τὴν χρείαν αὐξανούσῃ, τῇ δὲ ψυχρῷ ἐκλυούσῃ τε ἅμα ταύτην καὶ σκληροτέρας ἀτρέμα τὰς ἀρτηρίας ἐργαζομένῳ, καὶ μᾶλλον ὅσαι κατὰ καρδίας εἰσὶν ἀνωτέρω. καὶ τῇ μὲν ξηρῷ, σωληνόν τε καὶ σκληρὸν ἐργαζομένῳ τὸν σφυγμόν, τῇ δ' ὑγρῷ μαλακόν. ὁ μὲν εἰς τοσοῦτον γε μαλακὸν καὶ σκληρὸν, εἰς ὅσον ὁ ἐγκέφαλος, ἀλλ' ὑπὸ πλείονι μὲν σκληρόν, ἔπ' ἐλάττονι δὲ μαλακόν. ὅσα μὴ γὰρ φύσει σκληρὰ σώματα σκληρωθέντα ἐπ' ἐξαὸ διαθέσεις, εἰς μεγίστην ἀφικνεῖται σκληρότητα. καθάπερ γε καὶ τὰ φύσει μαλακὰ τὰς ὑγρανθέντας τε καὶ χεθέντας ἐξαίφνης, τελέως ἔκλυτά γε γίνεται καὶ μαλακά. ὅσα δ' ἢ τοι σκληρὰ τὰς ὑγρανθέντας ἐπ' ἐξαὸ διαθέσεις, ἢ μαλακὰ τὰς σκληρωθέντας, ἥκει εἰς ἄκραν ἀφικνεῖται τὴν ἐναντίαν αὐτοῖς κατάστασιν. ὅτως δὴ ὅτ' ὢν μιγνύμενον οἰδήματι γένοιτ' ἂν ποτε ὁ σφυγμὸς εἰς ὅσον μαλακὸς, εἰς ὅσον τὸ ἐγκεφάλῳ τε καὶ πνεύμονος. ὅτ' ἐπ' ἐγκεφάλου τε καὶ πνεύμονι φλεγμήνασιν, ὅτω σκληρὸς ὡς ὑπὸ μηνιγξιν. ἀλλὰ τοῖς μὲν ὑπὸ μηνιγξι σκληροῖς, ὁμοίως ὁ ὑπὸ διαφράγματι καὶ ὑπεζωκόσι. τοῖς δ' ὑπὸ ἐγκεφάλου τε καὶ πνεύμονι, μαλακὸς μὲν ὁμοίως ὀφείλεις, ἐγγυτέρω δὲ τῇ ἄλλῳ ὁ ἐφ' ἅπασι καὶ ἀπλοῖς τὰς οἰδηματώδεις διαθέσεις, ὡς σκιδρωθέντα γε καὶ ταῦτα τὰ ἀπλάγχνα, σκληροὺς ἱκανῶς ἀφικνεῖσθαι τοῦ σφυ-

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 158 sur 494

γμὸς, ἥ[ττ]ον δὲ τῶν σκιῤῥῶν ἐν ταῖς φλεγμοναῖς. ἐγλιφαλος δὲ καὶ πυδώμων, ἴσως ἂν δι' ἐλλιφαν το ποτὲ διάθε
σιν σκιῤῥώδη, σκληροῖς γὰρ καὶ ὠνλιν οἷς σώμασιν, ὃν ἀραιοῖς καὶ μαλακοῖς ἡ τοιαύτη διάθεσις οἰκεία, κενὰ δ'
ὧδε πᾶσι τοῖς ἐρυθρὸν ἐπίσταδ, λεῖον εἰ μὴ λελεγμένα καθ' ἕκαστον τύχοι, τότε τὰς ψυχρὰς διαθέσεις, ὅταν
ὑπερβαλλόντως γένηθῶσι τοιαῦται, σκληρὸς ἐργάζεδ οὐ σφυγμὸς, ἄλλως δ' ὀχί. καὶ τὸ τὰς ἀρτηρίας ὀ
σας πλησίον, ἀλλοιοῦται μᾶλλον εἰς μελανότητά τε καὶ σκληρότητα. τὰς δ' ἢ τοι πόῤῥω τῶν περιπνευστῶν, ἢ
διὰ μέσης τῆς καρδίας, ἥ[ττ]ον. τοῦτ' οὖν ὧδε ἐπὶ μέρους τῶν ἄλλων ὅσα ἧ[ττ] πρόσωπον, ἢ τὸν πράχηλον,
ἢ τὰ κῶλα νοσήματα γίνεται, διὰ σκαλίας ἑτέρας δέηται. εἰ μὲν γὰρ ὠυκὺς καὶ σκληρὸν εἴη τὸ περιπνευ-
στὸς μόριον, σκληρὸς ἐργάσεται οὗ σφυγμὸς, εἴτε φλεγμαίνοι, εἴτε σκιῤῥούμενον, εἴθ' ὑπερβαλλόντως ψυχό-
μενον εἰς συμπάθειαν ἄγει τὰς ἀρτηρίας. εἰ δὲ σαρκῶδες, εἰ μὲν ἢ τοι φλεγμαίνοιεν, ἢ σκιῤῥωθείη, σκληρὸς,
ἀλλ' ἥ[ττ]ον τῶν προειρημένων. εἰ δ' οἰδήσει, μαλακὸς. συμπαθήσουσι τε τοῖς μὲν ἀρτηριώδεσι θᾶ[ττ]ον, αὐτὴ ἐγγὺς
ἀρτηρίαι πᾶσαι ἡ καρδία. τοῖς δ' φλεβώδεσιν ἐφεξῆς τούτων. ἧκιστα δ' τοῖς νευρώδεσιν. ἐν χρόνῳ τε γὰρ τοῦτο
ελθὼν ὀλίγον, αὐτοῖς τοῖς ἰδίοις ῥήμασιν ἄντικρυς αἰτιᾶτ τὴν μικρότητα τ πυκνότητος, γράφων ὧδι, καὶ γὰρ αὐτὸ τὸ πτύελον ἐνεχόμενον, κωλύει μὴ τὸ πνεῦμα εἴσω φερέσθαι, ἀναγκάζει δὲ ταχέως ἔξω φερέσθαι. τὴν ἑτέραν ἐν ταῦθα πάλιν αἰτίαν διδάσκει τ τοῦ πυκνοῦ πνεύματος γενέσεως, ὠνόμαζε δ' αὐτὴν ἐν τοῖς ἔμπροσθεν λόγοις στενοχωρίαν τῶν ἀναπνευστικῶν ὀργάνων. ὅπερ οὖν ὑπὸ τοῦ πόνου παρέλιπεν ἡμῖν ὑπονοῆσαι, τοῦτ' ἐνταῦθα αὐτὸς ἐξηγήσατο. τί δ' ἐστὶ τοῦτο; πολλοῦ φησι τοῦ πτύελου περιεχομένου κατὰ τὰς ἀρτηρίας, τοῦ πνεύμονος δηλονότι, καὶ τὴν χώραν τοῦ πνεύματος αὐτοῦ φθάνοντος κατειληφέναι, κωλύει κατὰ τὴν τ εἰσπνοῆς ἐνέργειαν εἴσω παραγενέσθαι τὸ πνεῦμα. ἄρ' οὖν ἑτέρου τι τῆς μικρᾶς εἰσπνοῆς, ἐστὶ τὸ νῦν λεγόμενον; οὐ μὴν, εἴγε τοῦ πλήθει τῆς εἰσπνεομένης οὐσίας παραμετρεῖν χρὴ, τὸ μέγεθος τ ἀναπνοῆς, ὡς ἐν τοῦ πρώτῳ διδέδεικτ λόγῳ. ἀλλὰ εἰ δι' ἄλλην τινὰ αἰτίαν ἀναγκάζεσθαι ταχέως ἔξω φερέσθαι τὸ πνεῦμα φησι, ἢ διὰ τὴν μικρότητα τῆς εἰσπνοῆς, οὐκ ἔστιν οὐ δὲ τοῦ τ' εἰπεῖν, ἐχούσης οὕτω τ λέξεως. καὶ γὰρ αὐτὸ τὸ πτύελον ἐνεχόμενον, κωλύει μὲν τὸ πνεῦμα εἴσω φερέσθαι, ἀναγκάζει δὲ ταχέως φερέσθαι ἔξω. διότι γὰρ ἐστερρήθη τ εἴσω φορᾶς, ἡσυχάζειν οὐκ ὑπὸ τρέπει τὸ ζῶον, πνιγῆναι κινδυνεῦον, κἂν τῷδε πυκνὸν γίνεται. τὸ γὰρ ὑπὸ τὴν ἐκπνοὴν ἰέναι ταχέως ἀπὸ τις εἰσπνοῆς, οὐδὲν ἕτερον ἐστὶ τοῦ πυκνῶς ἀναπνεῖν. οὐ γὰρ δὴ τάς γε συλλαβὰς τῶν ὀνομάτων αὐτὰς ἐθέλειν ἀκούειν προσήκει, τῶν λόγων ὅλων σαφῶς λεγομένων, οὐδ' ἄλλο μέν τι νομίζειν εἶναι τὸ ταχέως ὑπὸ τὴν ἐκπνοὴν ὁρμᾶν, τοῦ πυκνῶς ἀναπνεῖν, ἄλλο δέ τι, τὸ, κωλύεσθαι τὴν εἰσπνοὴν αὐτάρκως γίγνεσθαι, τοῦ μικρὰν εἶναι τὴν ἀναπνοήν. ἀλλ' ἐνταῦθα μὲν αὐτὸς ὁ Ἱπποκράτης ἐξηγήσατο σαφῶς, ὅπως ὑπὸ τοῦ πτύελῳ κατεχομένῳ πυκνὸν γίνετ τὸ πνεῦμα, διὰ μέσης τῆς μικρότητος, ὑπὸ δὲ τ ὀδύνης παρέλιπεν, ὡς ἂν οἶμαι πολλαχοῦ μὲν αὐτὸς εἰρηκὼς, κωλύεσθαι τὰς ἐνεργείας τῶν ὀργάνων ὑπὸ τοῦ πόνου, δυναμένων δὲ καὶ ἡμῶν, κἂν εἰ μὴ παρ' ἐκείνου προσηκούσαμεν, ἐκ τῶν ἐναργῶς φαινομένων εὑρεῖν αὐτό. πρὸς τοῦ τοίνυν ἄμφω ταῦθ' ἡμᾶς ἐν τοῦδε τοῦ λόγῳ διδάξαι σαφῶς, ὡς καὶ πόνος καὶ στενοχωρία μικρὰν ἐργαζόμενα τὴν ἀναπνοὴν, εὐθὺς καὶ πυκνὴν δείκνυσιν, ἔτι καὶ τοῦτ' ἐκδιδάσκει, τὸ, μὴ ταῦτ' εἶναι μόνον πυκνοῦ πνεύματος αἴτια. πρῶτον μὲν γὰρ ἐν τοῦ φάναι, εἴρηται δ' οὕτως ὑπὸ τ ὀδύνης, αὐτὸ δῆλον ποιεῖται πυκνὸν ἤδη διὰ τὴν ἑτέραν αἰτίαν ὑπάρχον τὸ πνεῦμα, πυκνότερον γίγνεσθαι λέγων διὰ τὸν πόνον, ὡς ἂν οἶμαι, κἀνταῦθ' ἡμῶν λογίσασθαι δυναμένων, τὴν πυρεκτικὴν θερμασίαν πάντως αὐτὸ πυκνὸν ἀπεργάσασθαι. δεύτερον δ' ἐν τοῦ λέγειν, ὅτι, ὑπὸ τοῦ πυκνοῦ καὶ πολλοῦ πνεύματος, ὡς ἤδη εἴρηται, γλισχραινόμενον τὸ πτύελον ἀπέπτως, κωλύει τὴν ἐπάνοδον γίνεσθαι. τοῦ μὲν γὰρ πυκνοῦ πνεύματος, ὁ πόνος αἴτιον. τοῦ πολλοῦ δὲ, οὐχ οὗτος, ἀλλ' ἡ πυρεκτικὴ θερμασία. πάνυ δὲ κἀνταῦθα σαφῶς, οὐ μεγάλου πνεύματος εἶπεν, ἀλλὰ, πολλοῦ. τὸ μὲν γὰρ μέγα τοῦ καθ' ἑκάστην ἀναπνοὴν ποσῷ κρίνεται, τὸ δὲ πολὺ δυνατὸν ἐστὶν ἐκ μικρῶν ἐνίοτε πολλῶν, ἀθροίζεσθαι. καὶ φαίνεταί γε σαφῶς οὖτο γιγνόμενον ὑπὸ τῶν πλευριτικῶν, μέγα μὲν εἰσάπαξ ἀναπνεῖν μὴ δυναμένων διὰ τὸν πόνον, καί τοι γε δέοντ πλέονος ἀέρος διὰ τὸν πυρετὸν, τῇ συνεχείᾳ δὲ τ ἐνεργείας, ἴσον ταῖς μεγάλαις ἀναπνοαῖς τὸ πλῆθος τοῦ πνεύματος ἀθροιζόντων. ὃ γὰρ ὀλίγαι μεγάλαι, οὖτο πολλαὶ σμικραὶ δύνανται. κατὰ δὲ ταῦτα, κἀπὶ τῶν περιπνευμονικῶν, πολλοῦ μὲν τοῦ πνεύματος ἡ χρεία, διὰ δὲ τὴν στενοχωρίαν ὀλίγον εἰσπνεῖται. κἀνταῦθ' οὖν ἡ πυκνότης πολλὰς ἐργαζομένη τὰς μικρὰς ἀναπνοὰς εἰς ἴσον ἄγει ταῖς ὀλίγαις τε καὶ μεγάλαις. ἆρ' οὖν ἔτι δεησόμεθα τὰς συλλαβὰς εὑρίσκειν τῶν ὀνομάτων, ἐν τῷδε τοῦ βιβλίῳ γεγραμμένας ἐφεξῆς οὕτω, μικρᾶς τε καὶ μεγάλης ἀναπνοῆς, οὐκ ἀρκούμενοι τοῖς πράγμασιν αὐτοῖς οὕτω σαφῶς δεδηλωμένοις, καὶ μὴν οὐ τοῦτ' ἦν τὸ ζητούμενον, εἰ τοὔνομα γινώσκει τὸ τ μικρᾶς καὶ μεγάλης ἀναπνοῆς Ἱπποκράτης. εὑρίσκεται γὰρ ἐν τε τοῖς τῶν ὑπὸ δημίων βιβλίοις γεγραμμένον, κἂν τοῦ προγνωστικῷ πάλιν ἐν οἷς ἔλεγε, μέγα δὲ ἀναπνεόμενον, καὶ διὰ πολλοῦ χρόνου παραφροσύνην σημαίνει. ἀλλ' εἰ διττὸν οἶδε τὸ πυκνὸν πνεῦμα, καὶ τὸ μὲν αὐτῶν ὑπὸ πόνου γίγνεσθαι φησι, τὸ δὲ ὑπὸ θερμασίας πολλῆς ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἀθροιζομένοις. ὅπου τοίνυν ὑπὸ δέδεικται ταῦτα, περιττὸν ἔτι ποθεῖν ἀκούει τὰς τῶν ὀνομάτων συλλαβὰς, ἐπεὶ καὶ κατ' αὐτὸν οὖτον, τὸν ἐν τοῦ προγνωστικῷ λόγον, ὃν ὑπὸ τ παραφροσύνης ἔγραψεν, ἐξέσται τινὶ λέγειν οὐκ ἀραιὸν μὲν καὶ μέγα, τὸ δηλοῦν αὐτὴν, εἰρῆσθαι πνεῦμα, καὶ τὴν λέξιν προτείνεσθαι τόν δὲ τὸν τρόπον ἔχουσαν, μέγα δὲ ἀναπνεόμενον, καὶ διὰ πολλοῦ χρόνου παραφροσύνην σημαίνειν, ὥσπερ οὐ ταυτὸν μόνον, ἢ ἀραιὸν εἰπεῖν, ἢ διὰ πόλλου χρόνου ἢ νῦν ἡμῶν ὀνόματα θηρευόντων, καὶ οὐ τὰ πράγματα ζητούντων. ἀλλ' ἐπειδὴ τινὲς εἰς τοσοῦτον ἥκουσι σκαιότητος, ὡς καὶ τῶν ὀνομάτων ἀκούειν ἐθέλειν αὐτῶν, ἀναμνήσωμεν καὶ αὐτοῦ, ἐξ αὐτοῦ τοῦ περὶ διαίτης ὀξέων βιβλίου, δυοῖν τινῶν ῥήσεων ὡδίπως ἐχουσῶν, πνεῦμα προσπταῖον ἐν τῇ ἄνω φορῇ, πυκνὸν ἢ μέγα, ἐνταῦθα μὲν ἔχεις, εἴπερ ὑπὸ θυμεῖς, τοὔνομα τὸ μέγα. τὸ δ' αὖ μικρὸν, ἐπειδὰν φησι, καὶ πνεῦμα σμικρὸν καὶ ἀντίσπασις τοῦ πνεύματος πυκνὴ καὶ βιαίη παραγίγνετ. κατὰ δ' αὖ τὸ προγνωστικὸν αὐτὸ, δυσπετέως φερεῖν, τὴν νοῦσον φησι, τὸ πνεῦμα μέγα τὸ πυκνὸν, εἶναι οὖτο μὴ οὖν ἄντικρυς αὐτοῖς τοῖς ὀνόμασιν ἔγραψε, μέγα τὸ πυκνὸν, τὸ δ' αὖ μικρὸν καὶ πυκνὸν ἐν τοῦ περὶ συνάγχης λόγῳ, πλεῖστον τε πόνον παρέχουσιν, τὸ ὀρθόπνοιαν, εἰπὼν. ὅτι γὰρ ἐν ταῖς ὀρθοπνοίαις μικρὸν καὶ πυκνὸν γίνετ τὸ πνεῦμα διὰ τὴν στενοχωρίαν τῶν ἀναπνευστικῶν ὀργάνων, οὐκ οἶδ' εἴ τις ἀγνοεῖ. καί τοι κἂν εἰ τὰ τοιαῦτα παρ' Ἱπποκράτους αὐτοῦ μαθεῖν ἐθέλομεν, ἐν μὲν τοῦ περὶ διαίτης ὀξέων, ἐν αἷς ὀλίγον ἔμπροσθεν ἔγραψα λέξεσιν, ἐδίδαξεν ἡμᾶς ὅπως γίγνεται μικρὸν καὶ πυκνὸν πνεῦμα, κατὰ τὴν τῶν πτύελων ἐπίσχεσιν. ἐν δὲ τῷ περὶ ἄρθρων εὐθὺς ἐν ἀρχῇ, τοῦ περὶ τ ῥάχεως αὐτοῦ τὰς ὑπὸ τῶν ὄγκων ἢ νοσημάτων γιγνομένας κυφώσεις ἐν τοῖς ἀνωτέρω τῶν φρενῶν χωρίοις διηγούμενος, ὡδίπως φησιν. ὅλην γὰρ οἶμαι κάλλιον εἶναι δοκεῖ παραγράψαι τὴν ῥῆσιν. οἷσι μὲν ἄνω τῶν φρενῶν τὸ κυφὸν, τουτέουσι μὲν αἱ πλευραὶ, οὐκ ἐθέλουσιν εἰς τὸ εὐρὺ αὔξεσθαι, ἀλλ' εὖ τοὔμπροσθεν. τό, τε στῆθος ὀξὺ γίγνεται, ἀλλ' οὐ πλάτυ, αὐτοί τε δύσπνοιοι γίγνονται, καὶ κερχνώδεσι. ἧσσον γὰρ ἰθυωρίην ἔχουσιν αἱ κοιλίαι τὸ πνεῦμα δεχόμεναι καὶ προπέμπουσαι. καὶ γὰρ δὴ καὶ ἀναγκάζονται κατὰ τὸν μέγαν σπόνδυλον, λορδὸν τὸν αὐχένα ἔχειν, ὡς μὴ προπετὴς ἢ αὐτέοισιν ἡ κεφαλὴ. στενοχωρίην οὖν πολλὴν τῇ φάρυγγι παρέχουσι. καὶ οὖτο συμβάλλεται εἰς

τὸ εἴσω

τὸ εἴσω ῥέπειν. ☾ γὰρ αὐτῆσιν ὀρθοῖσι φύσει, δύσπνοιαν πρὸς ὃν ὀξέως, ἂν ἔσω ῥέπῃ, ἐς ἂν ἀναπνεῦσι. διὰ δὴ τοῦτο τὸ τοιοῦτον πρῆγμα ὀξυχέμβροχοι οἱ τοιοῦτοι τῶν ἀνθρώπων μᾶλλον φαίνονται ἢ ὑγιεῖς. φυματίαι τε ὡς ἐπὶ πολὺ σὺν τοῖς πνεύμονα εἰσὶν οἱ τοιοῦτοι, σκληρῶν φυμάτων ☾ ἀπεπτῶν. ἡ γὰρ πρόφασις τοῦ λυφώμασθαι καὶ ἡ ξύντασις τοῖσι πλείοσιν διὰ τιμώτας συμφορὰς γίγνεται. οἷσιν αὖ κοινήσωσιν οἱ ξύντονοι, ἐν τούτῳ τῷ λόγῳ πάντα τὰ μὲν λύφωσιν ὧν τοῖς ἐν πνεύμονι φύμασιν ἀπεπέσι τε καὶ σκληροῖς γίγνεσθαι λέγει, τὰ δὲ δύσπνοιαν ὑπὸ τῆς σφοχωσίας. λυρχνώδη δὲ λέκληκε τῇ τοιαύτῃ διαφορᾷ αὐτοῦ. ἐν δέ γε τοῖς πρὸ ταύτης ὀξέως, νῦν μὲν εἰς μικρότητα τε καὶ πυκνότητα τὰ ἀναπνοὴν τρεπομένων ἐμέμνητο, καὶ αὐτὸ μὲν οὐδὲν τὸ τῆς ὀρθοπνοίας ὄνομα προσέθηκε, καὶ ῥέγχειν αὐτοὺς ἔφησεν. ὡς τε διαπεσὸν ἐν πνευμονικῷ πρός τι συνάγχης διηγούμενος, εἶπε, πλεῖόν τε πόνον παρέχουσι καὶ ὀρθοπνοιαν, οὐκ ἄλλοτι δύσπνοίας εἰδότ' ἢ τὸ σμικρὸν καὶ πυκνὸν πνεύματος, οὕτως ὀνομάζει. πάντες γὰρ οἱ διὰ σφοχωσίαν αὐτάρκως εἰσπνεῖν μὴ δυναμένοι, πνίγεσθαι δοκοῦσιν, ὡς καταπαίοντες. καὶ διὰ τοῦτ' ὀρθοῦν ἔχειν δίονται τόν τε θώρακα σύμπαντα καὶ τὸν πρόχυλον, ὡς ἂν οὐ σμικρᾶς αὐτοῖς βοηθείας ἐκ τοῦ τοιούτου σχήματος προσῤῥεούσης. εὐρύτερά τε γὰρ ἅμα, καὶ μακρότερα σύμπαντα τὰ τῆς ἀναπνοῆς ὄργανα γίνονται, ὅταν μὲν ὀξυθυμώμεθα πρὸς τὴν ὀρθίων σχημάτων, ὅταν δ' ἥπιον εἰς ἑαυτὰ καταπίπτειν ἰωλυόμεθα. δῆλος δὲ καὶ αὐτὸς ὁ Ἱπποκράτης οὕτω γινώσκων ὑπὲρ αὐτῶν, ὡς ἡμεῖς νῦν λέγομεν, ὀξ ὧν φησιν ἐν τοῖς πρὸς ἄρθρον, αὐτός τε δύσπνοοι γίνονται ☾ λυρχνώδεες. ἅπασι γὰρ ἰθυωρεῖν ἔχουσιν αἱ πλευραὶ αἱ τὸ πνεῦμα δεχόμεναι καὶ προπέμπουσαι. πᾶσιν οὖν τοῖς διὰ σφοχωρείαν δυσπνοοῦσιν, καὶ μικρὸν γίνεται τὸ πνεῦμα, καὶ δύσ ὀξ ἀνάγκης ἕπεται συμπτώματα τό τε λυρχνώδες εἶδος ☽ ἀναπνοῆς, ὃ δὴ ☾ ῥέγχειν ὀνομάζεται, καὶ τὸ μικρὸν πρόσθεν εἰρημένον, ἡ ὀρθόπνοια. καὶ δὴ ὥσπερ ὀξεπίτηδες διαπεπονημένως αὐτά, τὸ μὲν ἕτερον ἐν πνευμονικῷ γράφει ταῖς ὀλεθρίαις συνάγχαις προσεῖναι λέγων, τὸ δὲ δεύτερον ἐν τῷ πρὸς ἄρθρον. ἐν μὲν τῷ ☽ πνευμονικῷ τὴν ὀρθόπνοιαν, ἐν δὲ τῷ ☽ πρὸς ἄρθρον τὸ λυρχνώδες. ἄμφω δὲ ἐν τῷ ☽ πρὸς διαίτης ὀξέων ὃν ταυτὸν ἡγαγεν, οὕτως γράψας ὁ Ἱπποκράτης, οἱ δ' ὑπὸ τῆ ☽ ὀρθοπνοίας τε, καὶ τοῦ ῥέγχους ἀκριβῶς ὄντος. ὁ γὰρ ἐν τῷ ☽ πρὸς ἄρθρον λυρχνος, τοῦτ' ἐντεῦθεν ἤδη ῥεγχος ὠνόμασε. χρὴ τοίνυν δὲ καὶ ἄλλα χθὲς τῶν συγγραμμάτων ἀμφοτέροις τοῖς ὀνόμασιν, ὡς ταυτὸν δυναμένοις διηλωῦν. ἐπειδὰν οὖν οὕτως ὑπομελῶς αὐτὸς ἐν τῷ ☽ πρὸς διαίτης, πρὸς πάσης ὀμέσεως πνευμονικοῦ πνεύματος διεξῆλθε, θαυμαστὸν οὐδέν, εἰ μόνον τὸ λειφάλαιον αὐτὸ τοῦ παντὸς λόγου γέγραφεν ἐν τῷ ☽ πνευμονικῷ. ὅτι δ' ὑπομελῶς διῆλθεν πάντα πρὸς πνευμονικοῦ πνεύματος λόγον, οὐδὲν ἔτι δέομαι πλείον λέγειν, ἀλλ' ἀναμνήσας αὐτὸν μόνον, ὡς ἦτοι διὰ πόνον, ἢ σφοχωρείαν, ἢ πλῆθος ὁρμασίας πνευμονικὸν γίνεται τὸ πνεῦμα, τὴν ὅλην ξῆσιν ἐφεξῆς παραγράφω τῇδε τῷ τρόπῳ ἔχουσαν, οἵσι τε γὰρ σιτία αὐτίκα ἐγκατακέκλεισται, πρὶν μήτις ὑποκνώσας τὸ ῥόφημα δοίη, τὴν ὀδυνίην φνεοῦσαν προσαρεξύνειν ἄν, ☾ μὴ φνεοῦσαν δὲ βύσις ἐμποιήσειεν ἄν ☾ πυκνότερον γοῦν ἂν τὸ πνεῦμα, ἰσχνὸν δὲ ὄντος. ξηραντικὸν γὰρ πνεύμονος, καὶ κοπώδεες ἐπιχορηγοῖς, καὶ ἄτρος, ☾ φρενῶν. ἢν δὲ ἧ τὸ ὀδυνῶν τὸ πλευρὸν ξυνεχὲς ἐόσης, ☾ πῶς τὰ ὁρμάσματα μὴ χαλάσῃς, κῆ τοῦ πλήσσειν μὴ ἀπόνως, ἀλλὰ ☾ καταγλιχαινομένης ἀκαπέως, ἢν μὴ λύσῃς τὴν ὀδυνῶν, ἢ κοιλίῃ μαλθάξας, ἢ φλέβα τεμών, ὁπότερον ἂν τούτων σημαίνει. τὰς δὲ πλησσάσας ἢν ὅτως ἔχουσι διδῶ, ταχέες οἱ θάνατοι τῶν τοιούτων γίνονται. διὰ τούτας οὖν τὰς προφάσιας, καὶ ἑτέρας τοιαύτας, ἐπὶ μᾶλλον οἱ ὅλησι χρεώμενοι πλησάνησιν, ἑβδομαῖοι ☾ ὀλιγημερώτεροι θνήσκουσιν, οἱ μὲν τι κῆ τὴν γνώμην βλαβέντες, οἱ δ' ὑπὸ τῆ ὀρθοπνοίης τε καὶ τοῦ ῥέγχους ἀκριβῶτες, μᾶλλα δὲ οὓς τοιούτους οἱ ἀρχαῖοι βλητοὺς ὠνόμαζον εἶναι, διὰ τόδε μᾶλιστα, ὀχῆκιστα δὲ ὅτι ἀκριβαινόντων, ἡ πλευρὴ θελιὴ εὐρίσκεται ἦκιστόν τι πληγῆ. ἄπορον δὲ τοῦτο ὅτι ὅτι πρὶν λυθῆναι τὴν ὀδύνην θνήσκουσι. ταχέως γὰρ πνευματίαι γίνονται. ὑπὸ δὲ τοῦ πυκνοῦ κῆ πολλοῦ πνεύματος ὡς ἤδη εἴρηται γλιχραινόμενον τὸ πλεῦρον ἀπέπτως, λωλύει τὴν ἐπάνοδον γίνεσθαι. ἀλλὰ τῇ ῥέγξει ποιεῖ ἰχόμενον ἐν τοῖσι βρόγχοισι τὸ πνεύμονος, ὁκόταν δὲ ἔσω ἔλθῃ, θανατῶδες, ὡς ὠδὶ τὸ πολύ ὅτι. ☾ γὰρ αὐτὸ τὸ πλεῦρον ἐνεχόμενον, λωλύει μὲν τὸ πνεῦμα ἔσω φέρεσθαι, ἀναγκάζει δὲ ταχέως ἔξω, φρέσθαι καὶ ὅτως ὃν τὸ κακὸν ἀλλήλοισι ξωπιμωρέουσι. τό, τε γὰρ πλεῦρον ἐνεχόμενον, πυκνὸν τὸ πνεῦμα ποιεῖ, τό, τε πνεῦμα πυκνὸν ἐὸν, ὧδε γλιχραίνει τὸ πλεῦρον, ☾ κωλύει ἀχλιοδαίνειν. ἔστι τούτῳ τῷ ῥήσει μὲν νῦν ὠδὶ μελῶς προσχοίς, καὶ πολλάκις αὐτῶν ἀναλέξασθαι, ὅτερον ἐλπίζω ῥᾳδίως πειθήσεσθαι τοῖς ἑρμηνέοις. ὅτι γὰρ οὐ μεγάλης ἐδεῖτο σοφίας ἡ τοῦ πυκνοῦ πνεύματος εἰς τὰς ἐν αὐτῷ διαφορὰς τομή, καὶ ὅτι τελέως αὐτῶν ἐφάσκων ἐν τούτῳ τῷ βιβλίῳ γεγράφθαι, διὰ τόδε ἐν τῷ ☽ προγνωσικῷ ταχέως πάνυ πεδιέδραμε, ὡς πᾶς εἰδότας ἤδη τὸ σύμπαν, οἷον ὧν τομῶν πνα τοῦ λόγου ποιησάμενος. βέβις μὲν ἔν ἡμῖν ἤδη συζυγίαι δυσπνοιῶν ὀξ ὧν ὅρισται. λέπεται δ' ἡ τετάρτη, ἐν ἧ σμικρὸν καὶ ἀραιὸν τὸ πνεῦμα. τί δή ποτ' ἔν αὐτῶν παλιπῶν, τῇ ψυχρᾶν ἐκπνοὴν ἔγραψε; ἢ ὅτι οὐκ ἄλλη μού τις ὄσιν, ἡ μικρά τε ἅμα καὶ ἀραιά, ἄλλη δὲ ἡ ψυχρά. δῆλον δὲ τοῦτο. τὴν γὰρ ἐναντίαν αὐτῇ, τὴν μεγάλην τε ἅμα καὶ πυκνὴν, ἀμέτρου θορμασίας ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἠθροισμένης ἔκγονον ὑπάρχειν ἐδείκνυμεν. ὀξ ἀνάγκης δὴ ἡ μικρὰ ☾ ἀραιὰ, τότων αὖ τῶν τῇ ὀργάνων κατεψυγμένων ἔσται. κῆ δύο ἡμῖν ἀκριβῆ μάτα λελυμένα, ☽ μήτε τῇ τετάρτῃ συζυγίαν ☽ δυσπνοίας τῇ μικρὰν κῆ ἀραιὰν παλελεῖφθαι, μήτε τῇ θορμῷ. ἐκείνην γὰρ ἐν στόρῳ μορίῳ τοῦ πυκνοῦ πνεύματος, τὸ κατ' ἀρχὰς εἰρημένον πολειλημμένην ἔχουσιν. ἡ αὐτὴ γάρ ἐστι τῇ πυκνῇ καὶ μεγάλῃ. τῇ ἀραιᾷ δ' οὖ καὶ μικρὰν, ἐν τῇ ψυχρᾷ. καὶ γὰρ ἡ δὲ ☽ ψυχρᾶς οὐδὲν διαφέρει, τί δή ποτ' ἔν οὐκ ἀραιὰν ☾ μικρὰν, ἀλλὰ ψυχρὰν αὐτῇ ἔγραψεν; ὅτι πρῶτον μὲν, ἀπὸ τοῦ προχειροτέρου συμπτώματος ἠβουλήθη αὐτῇ δηλῶσαι. δεύτερον δὲ, ἐν δ' ἐξαῦθις τῇ αὐτίαν, δι' ἣν ὀλεθρίαν αὐτῇ λέγει. ☾ βέλτιον, ὅτι τάχιστα οὕτω νοήσειν ἡμᾶς ὑπολάβοι, αὐτῇ τε ταύτῃ μηδὲν διαφέρειν τ' ἀραιᾶς ☾ μικρᾶς, τῇ τ' ἐναντίαν αὐτῇ τῇ θορμῷ, ☽ πυκνῆς κῆ μεγάλης. τὸ, γὰρ ψυχρὸν πνεῦμα, πάντως ἀραιόντ' ἐστι ☾ μικρὸν, ὡς καὶ ☽ δεδήλωται λόγῳ, τὸ δὲ πυκνὸν ☾ μέγα, τὸ ☽ φλεγμάσεως τῶν ἀναπνευστι-

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 200 sur 494

κῶν ὀργάνων ἐνδεικτικόν, οὐδ' ἂν ὀρθῶς τὶς λέγοι, εἰ μὴ καὶ θερμὸν ἐκπνέοιτο. καὶ μὴ δὴ κἂν τῷ προσθεῖναι τοῦ
ψυχρῷ πνεύματι μόνῳ, ὡς ὀλέθριον κάρτα ἤδη γίγνεται, δηλοῖ σαφῶς ἣν ἔχει γνώμην περὶ τῶν ἔμπροσθεν εἰρη-
μένων τριῶν δυσπνοιῶν. εἴπερ γάρ τινα κἀκείνων ὀλεθρίαν ἡγεῖτο, πάντως ἄν που προσέγραψεν. ἆρ' οὖν ἀκιν-
δύνους αὐτὰς ὑπελάμβανεν ὑπάρχειν, οὐδαμῶς, ἀλλ' οὐκ ὀλεθρίας μὲν, οὐκ ἀκινδύνους δέ ἐστι. τὸ μὲν γὰρ κα-
ταψύχεσθαι, τοῖς ἀναπνευστικοῖς ὀργάνοις, ἄντικρυς ὀλέθριον, ἐνταυθοῖ γε τῆς καρδίας τεταγμένης, ἣν ἀρχὴν καὶ
πυγὴν ὠθιστάμεθα τῆς ἐμφύτου θερμασίας. τὸ δ' ἤτοι φλόγωσιν εἶναι πολλὴν ἐν αὐτοῖς, ἢ ὀδύνην, ἢ πραφροσύ-
νην, οὐ πάντως ὀλέθριον. ἥτε γὰρ τοιαύτη θερμασία πολλοὶς τῶν ὀξέων συνεδρεύει πυρετῶν, ἥτ' ὀδύνη πόσοις
καὶ τισὶ νοσήμασιν ὑπάρχει προείρηται. καὶ μέντοι καὶ ἡ παροφροσύνη τῶν οὐκ ἐξ ἀνάγκης ὀλεθρίων ἐστί. ὅτι
δ' οὕτως ὑπὲρ αὐτῶν γινώσκει σαφῶς, ἐνδείξατο διὰ τῆς ὑπερφερομένης λέξεως εἰπών. εὔπνοιαν δὲ χρὴ νομί-
ζειν κάρτα μεγάλην δύναμιν ἔχειν ἐς σωτηρίην ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσα σὺν πυρετοῖσιν ἐστι,
καὶ ἐν τεσσαράκοντα ἡμέρησι κρίνεται. εἰ γὰρ δὴ μεγάλην δύναμιν ἐς σωτηρίαν ἔχειν ἐνόμιζε τῆς εὔπνοιαν,
οὐκ ἀκινδύνους ἀεὶ δηλονότι τὰς δυσπνοίας ὑπελάμβανεν. ὥστε αἱ μὲν ἄλλαι δύσπνοιαι τοῦτ' αὐτὸ μόνον, οὐκ
ἀκίνδυνοι τινὲς εἰσιν, ἡ δ' ὑστάτη πασῶν εἰρημένη, πρὸς τὸ κινδυνώδης τ' εἶναι, καὶ ὀλέθριος, οὐκ εἰς μακρὰν τε-
θνήξασθαι τὸν ἄνθρωπον ὑπαγορεύει. διὰ τοῦτ' οὖν οὐχ ἁπλῶς, ὀλέθριον, εἶναι αὐτὴν ἔφη, ἀλλὰ καὶ τὸ, κάρτα, προ-
σέφερεν, καὶ οὐδὲ τούτῳ πάλιν ἀρκεσθεὶς, ἐπήνεγκε, τὸ, ἤδη, ὡσὰν ὑπόγυον τὸν θάνατον, μόνης ταύτης τῆς δυ-
σπνοίας ὑπαγορευούσης. οὕτως γὰρ ὀλέθριός ἐστιν ὥστε μοι, δοκεῖ ὅτι οὐδ' ἂν ἔγραψέ τι περὶ αὐτῆς ὁ Ἱπποκρά-
της, εἰ μὴ τὸν τρόπον ὅλον ὑπεξύει, εἰπὼν περὶ τῶν δυσπνοιῶν. ἃ γὰρ ἀρθνήσκουσιν ἤδη γίγνεται, ταῦτ' οὐ-
δεμίαν ἔχει μεγάλην ἐν προγνώσεσιν ἀξίαν. ἀγαθῶν δ' ἰατρῶν ἔργον, οὐ τὰ τοῖς ἰδιώταις ἤδη φαινόμενα προ-
γινώσκειν, ἀλλ' ὅσα τε τούτους λανθάνει, καὶ μηδὲν φαῦλον ἔχειν δοκοῦντος τοῦ κάμνοντος φαίνεται. ἀλλὰ διὰ
τὸ τὰ πάντ' ἐφεξῆς ἐθελῆσαι γράψαι τὰ τῆς δυσπνοίας εἴδη, δοκεῖ μοι καὶ ταύτης ὠθιμνησθῆναι. καὶ προσέτι,
διὰ τὴν τῆς μεγάλης τε καὶ πυκνῆς ἀντίθεσιν. ταυτὶ μὲν οὖν ἐνταῦθα τελευτάτω. διάτι δ' οὐδὲν ἔγραψαν
ἐν τοῦ προγνωστικῷ περὶ τῆς ἀνωμάλου δυσπνοίας, καίτοι γινώσκων αὐτὴν οὐχ ἐν τῷ δευτέρῳ καὶ τὸ ἕκτῳ τῶν
ὑπερδημίων μόνον, ἀλλὰ κἂν τοῦ πρώτῳ καὶ τρίτῳ, καὶ προσέτι κἂν τοῦ περὶ διαίτης ὀξέων καὶ τοῖς ἀφορισ-
μοῖς, καὶ ἀλλαχόθεν πολλαχόθι τῶν συγγραμμάτων. ἐν μὲν γὰρ τοῦ δευτέρῳ καὶ τοῦ ἕκτῳ κατὰ τὴν προγεγραμ-
μένην ῥῆσιν ἐμνημόνευσεν εἰπὼν, διπλῆ ἔσω ἐπανάκλησις, οἷον ἐπεισπνέουσι. καὶ προσέτι κατὰ μὲν τὸ δεύτε-
ρον τῶν ὑπερδημίων, ἐν τοῦ διηγεῖσθαι τὰ τῇ Λυκίῃ συμβάντα, πνεῦμα δὲ διπλασιάζετο, προσέγραψε. οὐδὲν γὰρ
οὐδὲν διαφέρει τοῦ, διπλῆ ἔσω ἐπανάκλυσις, οἷον ὑπεισπνέουσιν. ἐν δὲ τοῦ ἕκτῳ, ἣν πνεῦμα ἐγκαταλείπη-
ταί φησι. καὶ γὰρ καὶ τοῦτο ταυτόν ἐστι τοῦ κατὰ τὸ περὶ διαίτης εἰρημένῳ, πνεῦμα προσπταῖον ἐν τῇ ἄνω φορῇ. ὡς
γὰρ εἰσπνέοντές τινες οὐχ ἅπαξ τοῦτο δρῶσιν, ἀλλ' ἡσυχίᾳ διακόπτουσι τὴν ἐνέργειαν ὁμοίως τοῖς κλαυθμη-
ριζομένοις παιδίοις, οὕτω καὶ ἐκπνέοντες. ἀλλὰ κἂν τοῖς μετὰ τὸν περὶ τῶν λουτρῶν λόγον, πνευμάτων προ-
τάσεις εἴρηκε, τὴν διακεκομένην ἐνέργειαν ἐνδεικνύμενος. ἐν δὲ τῷ πρώτῳ τῶν ὑπερδημίων ὠθὶ φιλίσκου τὸν δὲ
τὸν τρόπον ἔφη, τοῦτο πνεῦμα διατέλεος, ὥσπερ ἀνακαλεωμένῳ. ὁμοίως γὰρ τοῦ, διπλῆ ἔσω ἐπανάκλησις,
εἴρηται κἀνταῦθα, τοῦ ἀνακαλουμένῳ. πάλιν δ' ὠθὶ τῆς Δρομεάδου γυναικός, πνεῦμα ἀραιὸν, μέγα, αὐτίκα
ἀνασπασμένον, ἔφη. καὶ γὰρ καὶ τοῦθ' ὡσαύτως εἴρηται. ἐν δὲ τοῖς ἀφορισμοῖς, καίτι ποτὲ σημαίνει τὸ τοιοῦτον
πνεῦμα ἐκδιδάσκει γράφων ὧδε, ἐν τοῖσι πυρετοῖσι τὸ πνεῦμα προκόπτον κακόν. σπασμὸν γὰρ σημαίνει.
κατὰ λόγον οὖν κἀν τοῖς τῶν ὑπερδημίων, τὴν Δρομεάδεω γυναῖκα σπασθεῖσαν ἀρθανεῖν φησί, ἐφ' ἧς προειρήκη,
πνεῦμα ἀραιὸν μέγα, αὐτίκα ἀνεσπασμένον. ἐνθὰ δὴ καὶ θαυμάσαι μάλιστα ἐστιν, ὅπως ἑκατέρα τῶν δυσπνοι-
ῶν τὴν οἰκείαν αὐτῆς ἐδήλωσε διάθεσιν. οὐ γὰρ ἐσπάσθη μόνον ἥδε ἡ ἄνθρωπος, ἀλλὰ καὶ παραίπαισεν, ὡς ἂν
μὴ μόνον τὴν ἰδίαν τῶν σπασμῶν ἐσχηκυῖα δύσπνοιαν, ἀλλὰ καὶ τὴν τῆς πραφροσύνης. ὥστ' ὅτι μὲν ἐγίγνω-
σκεν τὴν ἀνώμαλον ταύτην δύσπνοιαν ὁ Ἱπποκράτης, ἀρδέδεικται σαφῶς. ὅτι δὲ κἂν προγνωστικῷ πρέλι-
πεν εὐλόγως, ὥσπερ καὶ τὰ πολλὰ τῶν προγνωστικῶν γνωρισμάτων, ἐφεξῆς ἂν εἴη λεκτέον αὐτῷ, πρότερον
ἀναμνήσαντας διὰ κεφαλαίων, ὡς οὔτε περὶ τῶν κατὰ τὰς ἡλικίας, ἢ χώρας, ἢ ὥρας, ἢ τὰς ὑπερδήμους καταστά-
σεις ἐν τοῦ προγνωστικῷ γέγραφέ τι, καί τοι βιβλίου μὲν ὅλου τοῦ περὶ ἀέρων, τόπων, καὶ ὑδάτων ὑπ' αὐτοῦ
γεγραμμένου, κατὰ δὲ τοὺς ἀφορισμοὺς, ἐν ὑπερτομῇ πάντων τούτων εἰρημένων. ἀλλ' οὐδὲ περὶ τῶν οὔρων τῆς δια-
γνώσεως, ὅσα τοῖς ἀφορισμοῖς ἐνέγραψε. ταῦτα κἂν τοῦ προγνωστικῷ διῆλθεν, οὐδὲ δὴ τῶν ἀμφὶ τὰς γυναῖ-
κας, ὅσα κατὰ τοὺς ἀφορισμοὺς ἔγραψεν, εἰς τὸ προγνωστικὸν μετέθηκε. καί τοι καὶ ταῦτα, καὶ ἄλλα πολλὰ τῶν ἐν
ἀφορισμοῖς εἰρημένων, ἐκ τοῦ προγνωστικοῦ μέρους τῆς ἰατρικῆς ἐστιν, ὡς αὐτὸς ἐνδείκνυται διὰ τῶν αὐτοῦ ῥημά-
των. ἔντε γὰρ τοῦ, λέγειν, Ην δὲ Βόρειος ἢ, Βῆχες, φάρυγγες. κοιλίαι ξηραί. δυσουρίαι, φρικώδεις. ὀδύναι πλευ-
ρέων, στηθέων. ὅταν οὗτος δυναστεύει τοιαύτας προσδέχεσθαι ἐν τῆσιν ἀῤῥωστίησιν. ἐν δὲ τοῦ φάσκειν, ὅταν θερὸς
γένηται ἦρι ὅμοιον, ἱδρῶτας ἐν τοῖσι πυρετοῖσι πολλοὺς προσδέχεσθαι, Δῆλος ἐστὶν ὑπερσημαινόμενος ὡς τοῦ
προγνωστικοῦ μέρους τῆς τέχνης ἐστὶ τὰ τοιαῦτα. τὸ γὰρ προσδέχεσθαι καὶ προσδοκᾶν καὶ ἐλπίζειν, καὶ πάνθ' ὅσα
τοιαῦτα ῥήματα προγνώσεως ἴδια. καὶ μὴ δὴ κἂν τοῦ φάσκειν. Ην μὴ ὁ χειμὼν αὐχμηρὸς καὶ Βόρειος γένηται, τὸ
δ' ἔαρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τῶν θερέος πυρετοὺς ὀξέας καὶ ὀφθαλμίας καὶ δυσεντερίας γενέσθαι, Σαφῶς ἐν-
δείκνυτο ταυτὸ τοῦτο, καὶ πολύ γε μᾶλλον, ὅταν ὡδίπως γράφει περὶ τῶν οὔρων. οἷσιν οὖρα παχέα, θρομβώδεα, οὐκ
ὀλίγα ἀπυρέτοισιν, πλῆθος ἐλθὸν ἐκ τούτου λεπτὸν, ὠφελεῖ. μάλιστα δὲ τὰ τοιαῦτα ἔρχεται, ἐν οἷσιν ἂν ἐξ ἀρχῆς διὰ
ταχέων ὑπόστασιν ἴσχει. καὶ πάλιν, οἷσιν οὖρα ἀνατεταραγμένα οἷον ὑποζυγίου, τουτέοισι κεφαλαλγίαι ἢ πάρει-
σιν, ἢ πρέσοντο. καὶ πάλιν, οἷσιν ἑβδομαῖα κρίνονται, ὑπενέφελον ἴσχει τῇ τετάρτῃ τὸ οὖρον ἐρυθρὸν, καί τ' ἄλ-
λα κατὰ λόγον. Ομοίως δὲ τούτοις, καὶ τῆς κύστεως καὶ τῶν νεφρῶν τὰς διαθέσεις δηλοῦντα κατὰ τοὺς ἀφο-
ρισμοὺς γέγραπται, παραλέλειπται δὲ ἐν τῷ προγνωστικῷ, καὶ ἄλλα πάμπολλα καθάπερ καὶ τὰ τοιαῦτα τῶν

νοσημάτων

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 201 sur 494

νοσημάτων. ὁκόσοισιν ἀρχομένοις, χολὴ μέλαινα, ἢ ἄνω, ἢ κάτω ἐπέλθοι θανάσιμον. ἁλυσιτρίχη δὲ ἀφ' χολῆς μελαίνης ἄρξηται, θανάσιμον. οἷσιν ψυχετοῖσιν ἀμωβάγεῖ, πλῆθος ὀποφύσῶν, ἐν τοῖσιν ἀναλήψεσι τοῖσι τοιούτοισιν αἱ κοιλίαι καθυγραίνονται. Τοιαῦτα τὰ πάμπολλα κατὰ οὖν ἀφορισμοὺς ὅλην εὑρεῖν γεγραμμένα τοῦ προγνωσικοῦ μόρους τέχνης. τί δ' ἢ ποτ' ἄν οὐδὲν τούτων ἐν τοῖς προγνωσικοῖς γράμμασι διῆλθεν, ὅτι πρὸς τῶν ὀξέων νοσημάτων ἐν ἐκείνῳ προὔθετο διδάσκειν, ὡς ἀρχόμενός τε ἅμα καὶ σωτελέσας τὸ βιβλίον, αὐτὸς ἐμιμήσατο. σκεπτέον δὲ χρὴ ὥστε, ἐν τοῖσιν ὀξέσι νοσήμασιν. ὧδε δὲ ἡ τελευτῆς προσγραφὰς ὧδέ, ταῦτα δὲ λέγω πρὸς τῶν ὀξέων νοσημάτων, καὶ ὅσα ἐκ τούτων γίγνεται. Τίνα δ' ἐστὶν ἐκ τούτων γιγνόμενα, πάλιν αὐτὸς ὁ ἱπποκράτης ἐν τούτῳ βιβλίῳ διήρχεται. οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοσημάτων πάντες καποί. ὅσα δὲ πάλιν, σύπνοιαν δὲ χρὴ νομίζειν, κάρτα μεγάλην δύναμιν ὄν σωτηρίαν ἔχειν ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσα σὺν πυρετοῖσι, ἐν τοσαυτονοσήμασι κείνοις. Καὶ τοῦτο τῶν ἐκ μεταπτώσεως ὀξέων μνημονεύει, καθάπερ καὶ τοὺς πρὸ ἡμῶν ἀπελείφαμεν. ἐπεσημήναντο δὲ καὶ ἄλλοθεν πολλαχόθεν τῶν συγγραμμάτων, ὡς ἤτοι πρὸ τῶν ὀξέων νοσημάτων, ἢ πρὸ τῶν γινομένων ἐκ τούτων ὁ λόγος ὅλην αὐτῷ, καθάπερ καὶ τοῖς δέ, οἱ δὲ ἱδρῶτες ἀρίστοι μὲν εἰσὶν ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασιν, οἱ ἂν ἐν ἡμέρῃσι κρισίμοισι γένωνται. Καίτοι δεῖ πολλὰ λέγειν; αὐτὸς γάρ, ὡς ἐκὼν παραλείπει πολλὰ τῶν προγνωσικῶν σημείων ἐν ἐκείνῳ τῷ βιβλίῳ σαφῶς ἐνδείκνυται, ποτὲ μὲν ὡδίπως λέγων. μὴ θαυμάσητε δ' ἐστί, ἵνα τι αὐτέῃ ἡ κύσις νόσημα ἔχουσα τῶν οὐρων τὰ ἀκρόδιβοι τούτων. ὃ γ' ἔστ' ὀλίγα σημεῖα, αὐτῆς καθ' ἑαυτήν. οὐ μὴν πάσίθησί γε τὰ γνωρίσματα ἡ τὸ προγνωσικόν, ἀλλ' ἐν τοῖς ἀφορισμοῖς, γράφει. ὥσθις δ' ἂν λέγει. χρὴ δὲ καὶ τὰς διαφορὰς τῶν νοσημάτων τ' ὠδὶ δηλουμένων τάχιστ' ἐνθυμεῖσθαι, καὶ μὴ λανθάνειν ἡ ὥρης τὴν κατάστασιν. Οὐ μὴν οὐδὲ περὶ τούτου δι διδάσκων ἡμᾶς ἐν προγνωσικῷ. προὔθετο γὰρ ὡς ἔφην τὰ τῶν ὀξέων νοσημάτων ἴδια διελθεῖν μόνα. τὰ δ' ἐν τῷ χρονίων, ἴδια σύμπαντα παραλιπεῖν. ὡς εἰκότως καὶ ἡ ἀνώμαλον δύναμιν, ἣ ἑτέρᾳ γένους ἐπάρχουσαν νοσήματος, ἐνταῦθα παρέλιπεν. εἰ γὰρ δὴ καὶ ἐνομίζετο τῶν ἀναπνευστικῶν ὀργάνων, εἰς ἣν ἐν τοῖς χρονίοις νοσήμασι συνεφθαρκὸν τὸ πάθημα, καὶ τούτου γε, μηδὲν δ' ἦν τ' ὀξέως ἢ χρονίων ἴδιον, εἰ δ' ἀεὶ ἐν χωρὶς πυρετοῦ γιγνόμενον. ὡς γε καὶ οἱ ἄσθμοι. προκειται δ' αὐτῷ ἡ τὸ προγνωσικὸν ἐπὶ τ' ἰδίως ὀξέως ὀνομαζομένων ποιήσασθαι τὸν λόγον. ἔστι δὲ ταῦτα τὰ σὺν πυρετοῖς γινόμενα συνεχέσι σήπαν, ὡς αὐτὸς ἐν τοῖς περὶ διαίτης ὀξέων ἐδήλωσεν ὠδίπως γράψας, ἔστι δὲ ἅπερ τοῦτα ὀξέα, ὁπόσα ὠνόμασαν οἱ ἀρχαῖοι πλευρίτιν, καὶ περιπνευμονίαν καὶ φρενίτιν καὶ καῦσον, ἢ τάλλα ὅσα τούτων ἐχόμενα ὧν οἱ πυρετοὶ τοιοῦτοι παν ξυνεχεῖς. ἴσμεν οἱ ἄσθμοι τούτου τ' γένους ἐστὶ τ' νοσημάτων, ὅθεν δὲ τὴν ἰδίαν αὐτῶν δύναμιν ἅμα τούτοις διῆλθε, καθάπερ οὐδὲ περὶ τ' ἄρθρων, ἢ τ' διαχωρημάτων, ἢ τῶν ἄλλων ἁπάντων ὅσα ἡμῖν σὺν ἀφορισμοῖς ἐγραψε, διότι τ' ὀξέων νοσημάτων ἴδια. διότι δ' οὐδὲν δὲ περὶ τ' τοιούτων δυνάμεων ἐδίδαξεν ἐν τοῖς προγνωσικῷ, ἐν οἷς ἤτοι μόνον τὸ εἰκὸς ἐνόμιζεν, ἢ μόνον τὸ ἐκπεφευγὸς ὅτι μέγα, περιττὸν ἡγοῦμαι νῦν ἐπεξιέναι, δίκαιος γε σαφῶς, ἐν τοῖς πρώτῳ τῶν δὲ τῶν ὑπομνημάτων, ὡς εἰς ἐγὼ τούτας τὰς δυνάμεις, ὑπὲρ ὧν νῦν ἐπειμαι λέγων, αὖ πάλιν ἀνάγκη τὰς ἄλλας διαφορὰς. ὁδὲ γε ἡ ταχείας, ἢ βραδείας ἀναπνοῆς ἐμνημόνευσεν ἐν προγνωσικῷ. ἡ τ' αὐτὸν δὲ λόγον, ἐδείξαμεν ὡς πάσας τὰς ἄλλας διαφορὰς ἐν ταῖς περιεργημένας περιεχεσθαι συμβέβηκε. ὥστ' ἑκάτερον αὐτ' ὀρθῶς ὁ ἱπποκράτης φαίνεται ποιήσας, ἐν μὲν τοῖς τ' ὠδημίων τὴν εἰς ἅπασας τὰς ἡ μόρους δυσπνοίας διαίρεσιν πεθέμενος, ἐν δὲ τῷ προγνωσικῷ τοῖς ἀφορισμοῖς, τὸ πρὸς τ' χρεία ἂν ἐπεῖχον. ὁπότ' ἔν τοῦτ' ἡμῖν ἱκανῶς ἀποδέδεικται. λείπεται δ' ἐπὶ τὰς ὑπολοίπους ἁπάντων αὐτ' συγγραμμάτων ἀγκυλοθέσεις, ἀρξαμένους ὥσθις ἀπὸ τ' δυσπνοίας τε μὴ ἐκτὸς τ' ὠδημίων. ἐν ἀμφοτέροις γε τοῖς τοῖς βιβλίοις ἐφεξῆς τῇ πρώτῃ πασῶν εἰρημένῃ ῥήσει τῇ διδασκούσῃ τὰς διαφορὰς ἁπάσης ἡ δυσπνοίας ὠδίπως γέγραπται. ἰσχνείου σωληνώσεως χασμώσεως μακρόπνους. ἐν τοῖσιν ἀπόπτοις, καὶ μόγις πίνουσιν, βραχύπνους. ἐντεῦθεν εἴτε τ' ἀνθρώπου μακρόπνοια, εἴτε ἡ δύσπνοιαν αὐτῶν οὕτως ὠνόμασεν, ὅτι τὸ δι' μακρὸν χρόνου γινομένων, τοτέσι τὸ ἀραιὸν πνεῦμα. προσέτι τὸ πολὺ, δηλονότι δι' ἡ προσκοπείας τούτου, ἐν τοῖς διὰ τέρω δεδεικται λόγῳ, καθάπερ γε καὶ ὡς τὸ διὰ ὀλίγου, τοῦτ' ἔστι τὸ πυκνόν, καὶ προσέτι τὸ μικρόν, ἐκ τῶν βραχύπνους. ἰσχνείου οὖν, ἤτοι σημεῖον ἢ ἄσπορ, ἑκάτερον γάρ ὅτι δεῖ δεῖξαι, τῶν συνεχῶν χασμῶν, τὸ μέγα καὶ ἀραιὸν γίγνεσθαι τὸ πνεῦμα, σημεῖον μέν, ὡς ἐκ ταναντίας ἡ διαθέσεως μεθισταμένης, αὐτίως δέ, ὅτι ἐναντίων ἐναντία τὰ ἰάματα. χασμῶνται γὰρ σπερδωιδνται συνεχῶς ἀτμώδους τινος καὶ παχέος πνεύματος ἐν τοῖς μυώδεσι χώροις κατειλημμένου, καθότι δ' ἐδείκται δι' ἑτέρων. δύθυς δὲ οἷς ὧδε συμβέβηκε, καὶ συνεχῶς ἐκπνέουσιν, ὡς ἂν ἐκκαθαιρομένου τε καὶ κενουμένου τοῦ τοιούτου πνεύματος ἐν ταῖς ἐκπνοαῖς. εἰδέπης μηκέτι συνεχῶς. ἀλλ' ἤδη δι' μακροῦ χρόνου τὰς ἐκπνοὰς ποιεῖται, δῆλον ὡς ἀθροῦπάρχουσαι διαθέσεις αὐτῷ ἐπαύσαντο, καὶ σημεῖον οὕτως ἰσχνείου, ἢ μακρόπνοιαν τῆς χάσμης ἔσαι. καὶ μὲν δὴ καὶ ὡς αὐτίως ἐωμόλογεῖ δι' μακρόπνοιαν τὰς χάσμας τὰς συνεχεῖς, ἀκούειν ἐγχωρεῖ. δοκεῖ μοι δὲ καὶ αὐτὸ μηκέτι δεῖσθαι μακροῦ λόγου. τὸ γὰρ ἕως πλείστου τοῦ ἀναπνεῖν ὧν ἔχειν, ὅπερ ὀνομάζεται κατάληψις πνεύματος, ὧ λόγῳ οὖν λυγμοὺς ἰᾶται, τούτῳ καὶ τὰς χάσμας ἰᾶται. καὶ γὰρ οὖν καὶ ποιοῦσιν ὧδε τοῖς γυμνασίοις αὐτὸ σύμπαντες οἱ ἀθλητοὶ, διώκοθαι τῇ βίᾳ ἀσθένοντες, ἅπαν ὅσον ἐν τοῖς κατὰ δρόμα λεπτοῖς πόροις, ἢ ὑγρὸν ἢ ἀτμῶν ἔχεται. δι' τοῦτα μὲν δὴ ἡ μακρόπνοια τ' συνεχοῦς χασμῶν σημεῖον ὄτιν, ἢ ἄσπορ ἰατρικόν. φησὶ δ' ὧν, τοῖσιν ἀπόπτοισι καὶ μόγις πίνουσιν, ἢ βραχύπνοια, ὥσπερ δ' οὐκέτι σαφῶς, ἀλλ' ἤδη συμβολικώτερον εἴρηται, πότερον γὰρ αὖ φρενιτικοὺς ἡγητέον τοὺς αὐτὸ δηλοῦσθαι νῦν, ὅτι καὶ δι' ἄλλων ἔπεμψεν, οἱ φρενιτικοὶ βραχυπνοῦσι, ψόφου καταπλώμενοι προμώδεες, μᾶλλον ἢ οἷς κατέψυκται τὰ πρὸς τὴν πνεύμονα καὶ τὴν καρδίαν, ὡς ἀναπνεῖν τε ἅμα δι' μακροῦ, καὶ ψυχρὸν ἐκπνεῖν. εἰκαζομένη γὰρ δι' ἀμφοῖν ἡ βραχύπνοια, σημεῖον ἰσχνείου. ὧδε δὲ τῶν κατεψυγμένων, οὐ σημεῖον μόνον, ἀλλὰ καὶ ἄσπορ, ὡς γὰρ ἡ κατάληψις τοῦ πνεύματος ἐκκενοῖ πρὸς τὰ πε-

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 202 sur 494

σι ἡδὺ, καὶ διὰ τοῦτο τούτῳ μὲν τῶν λυζόντων τε καὶ χασμωμένων πολλὰ, καὶ σπαρδιωμένων, καὶ σωτόνως γεγυμνασμένων παραλαμβανόμενον, οὕτως ἡ συνεχὴς ἀναπνοὴ ῥιπίσαι τε ἅμα & ἐκθερμάναι τὰ καὶ πεψυγμένα δυνήσεται. ἡ τοῦτο οὖν τὸν λόγον, καὶ ὡς δὴ δυτέρῳ τῶν ὑγιείων συνεβούλευσεν ὑδροτυδύνειν, ὀξυθυμούντας ἐμποιεῖν, καὶ ἰχωρώδη ἀναληψιν & ὄγκους, καὶ ἐκχυμώσεις. ὡς καὶ ἡ ὀξυθυμίας ἐπεγείρειν τὴν ἔμφυτον θερμασίαν δυναμένης. ἀλλ' ὅτι γε συνεκτέραν ὀργάζεται πάντως ἡ ὀξυθυμία τὴν ἀναπνοὴν, οὐδεὶς ἀγνοεῖ. παραληψόμεθα οὖν αὐτὴν ὑπὸ τῶν κατεψυγμένων τε καὶ ἀχροούντων καὶ ἰσχνῶν, ἐκ διαλειμμάτων τε πινῶν, & πυκνούντων διαιρῶν, οὐ γὰρ διὰ συνεχῶς γε οὕτως, ὡς ἄγαν βλάπτειν τὴν δύναμιν. ἀλλ' ὥσπερ τὰ γυμνάσια τὰ ῥωννύντα τὴν ἔμφυτον θερμασίαν, οὐκ ἄμετρα ποιεῖσθαι λεληθόμεν, ἀλλ' ὧν καιρῷ τε & μέτρῳ παραλαμβάνομεν, οὕτω καὶ βραχυπνοίαν, εἴτε κατὰ μόνας, εἴτε & μετὰ τῆς ὀξυθυμίας ὑπερτεινόμενον, οὐκ ἄνευ καιροῦ & μέτρου πραλαμβάνομεν, πρόσκειται δὲ ἐνταῦθα χρὴ τῷ λόγῳ, & μὴ νομίζειν τῇ αὐτῇ δύναμιν διάθεσιν τῇ νῦν ὑφ' ἡμῶν διηλυμένην, τῇ πρὸ τοῦ γνωσικὴν, ἐφ' ἧς ἔλεγε, ψυχρὸν δ' ἐκπνεομένην ἐκ τῶν ῥινῶν καὶ τὸ σῶμα ὅλεθρον κάρτα ἤδη γίγνεσθαι. ὑπὸ γὰρ τῶν ὀξέσι νοσήμασι πρὸς ὧν ἐν ἐκείνῳ δὴ βιβλίῳ ποιεῖται τὸν λόγον, ἡ τοιαύτη δύσπνοια, θάνατον δηλοῖ. τοῖς δ' ἄλλοις νοσήμασιν, ὅσα χωρὶς πυρετοῦ, ψυχρότης τὸν ὅλον ἕξιν τοῦ ζῴου καταλαμβάνει, συμπίπτει μὲν οὐδὲ τούτοις ἀκινδύνως, ὁ μὲν ὀξὺ ἅπαντός γε ὀλεθρίως. ἐκ τούτων δ' ὅτι καὶ ἡ καλουμένη ὑδρικὴ πνιξ, καὶ ὅλως αἱ ἄπνοιαι πᾶσαι, γαυαξὶ μὲν συνεχῶς, & μάλιστα ταῖς σειρουύσαις συμπίπτουσαι, σπανίως δέ ποτε & ἀνδράσι. πῶς γὰρ τοιούτου ἀπασῶν διαθέσεων τὸ πλῆθος ὕλης ψυχρᾶς, ἡ ἔμφυτος θερμασία βαρυνεῖ, δῆλον φλόγος τοσοῦτον πολλῷ ὑγρῷ ξύλων κατανιγομένης. ὥστε καὶ ἀνάψαι ποτὲ δυνατὸν τοῦτο κρατήσαντα τὴν ὕλης, ἐφ' ὧν μὴ δι' ἀπανθέσεως τὴν ὕλης ὀξὺ ἀνάγκης αὐτὴ σωματοποιήσῃ, καὶ τότε ὑδὴ τῶν ὀξέσι νοσήμασιν ὅτως ἐκπνεόντων, δεδοικέναι σωτηρίας ἐλπὶς ὀλίγη. τούτων δὲ δεῖ μεμνῆσθαι χρὴ, & ὡς ἐν ταῖς ἀπνοίαις ἀπολωλέναι μὴ τελέως ἅπασαν τὴν ἀναπνοὴν, ὅθ' ὑπονοῆσαι δυνατὸν οὐδ' ὅτως ἔχειν φαίνεται τοῖς ὑδρικῶς κατασκεπτομένοις τὸ συμβαῖνον. ἐλάχιστον δ' αὐτοῖς ἅμα & δὴ μακροτάτῳ χρόνου γίνεται τὸ πνεῦμα, & τούτῳ λανθάνει σὺν πολλῷ. ἀλλ' εἰ προσέχοι τις ὠμελῶς τῷ νοῦν, ἢ καὶ προδέοι τινὰ τῶν ἀκουόντων ῥινὸς, διαδήσεται δὴ ἀναπνοῆς. εἰ δὲ & βίαιά κατακρεμάσει πρὸ αὐτῆς, ἢ ὄρθιον λεπτὸν, ἀκριβῶς δηλήσεται, ὅτι μὴ ταῦτα σείοιντο, ἡ μὴ τὰς τοιαύτας διαθέσεις βραχύπνοια, τουτέστιν ἡ δὴ βραχέος χρόνου κίνησις τῶν ἀναπνευστικῶν ὀργάνων, ἣν πορὰ δὴ & πυκνὸν πνεῦμα καλοῦμεν, ἄτοπόν τε ἅμα & σημεῖον ἰκτηρίου ὑπάρχει. ἡ δὲ ταυτὸ, τῷ σωματῶν μὲν μέγα πάσχοντι, ὁ μόνον ἡ δὴ μακρὸ, τουτέστιν ἡ ἀραιὰ σημεῖον τε ἅμα καὶ ἄτοπον ὄντως ἰκτηρίου, ἀλλὰ & ἡ μεγάλη. καλεῖται γὰρ καὶ ἥδε κατὰ δευτέρου λόγου μακρόπνοια πρῶτος μὲν γὰρ ἡ δὴ μακροῦ χρόνου γινομένη, τουτέστιν ἡ ἀραιὰ ὀνομάζεται πνοῦμα, δευτέρως δὲ καὶ ἡ μεγάλη. πρὸς μὲν δὴ τούτων ὧδε ἔχει, πραδώμεθα δὲ δὴ & τἄλλα συμπαντα, τὰ πρὸς τὰ δυσπνοίας αὐτῷ γεγραμμένα. κατὰ μὲν δὴ τὸ δευτέρου τῶν ὑδροποιῶν, ὧν μὲν δὴ Ἀντιγόνους πρεσβύτου, ὡς ἀδμώδης ἐγένετο πρὸ τόνου, μετὰ ταῦτ' ὠφρέα, ἔπειθ' ἅμα πύκνωσιν οὐ ἀνέμεσεν. ὥστ' ὁμολογεῖ καὶ ὀρθῶς τοῖς ὑφ' ἡμῶν ἀκριβευμένοις. ἀδμαίνουσι μὲν γὰρ οἱ πυκνὸν ἀναπνέουσιν, ἅμα καὶ τὸν θώρακα μέχρι πολλοῦ διασείοντες. γίγνεται δὲ ὀρθῶς. ποτὲ μὲν ὧν διαθέσεσι πολλῆς εἰσπνοῆς δεομένοις, ἀμέλει & τοῖς δραμοῦσιν, ἢ ὁπωσοῦν ἄλλως ὀξέως γυμναζομένοις τὸ τοιοῦτον συμπίπτει, & πᾶσι τοῖς πεθικασι πυρετοῖς. γίγνεται δ' ὡς ἐλέχθη, διάπεισλαὶ ἔμφραξις, ἢ θλῆψις, ἢ σφυχωσία τῆς ὧν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ὑπάρχει. τοιοῦτον δ' ἔτι φαίνεται συμβῶν καὶ τῇ τοῦ Ἀντιγόνους, ὡς ἐδήλωσε τὸ ὦον. τούτῳ μὲν δὴ πρώτῳ ὧν τοῦ δευτέρῳ τῶν ὑδροποιῶν δυσπνοίας μέμνηται. μετὰ δὲ τοῦτον, ὃν συμβάσης τῇ Λυκίνῃ, πρὸς ἧς, ὡς & πρόσθεν ἔλεγεν, ἔγραφε, πνεῦμα ἐδιπλασιάζεσθαι. οὐ μὴν μέγα ἡ λόγου. ἐπεπόνθει γὰρ αὐτῆς τὸ νευρῶδες χρῶ τῶν ὀργάνων, ὥστε καὶ τῶν οὖρων ἐπίσχεσιν παντελῆ γενέσθαι. δῆλον δὴ μὴ δὴ, τὸ διπλασιαζόμενον ἐγίνετο πνεῦμα διατὶ δὲ οὐ μέγα; ἢ διότι κατέψυκτο; πρὸς ἐκάλυπτο γὰρ φύσει, τοῦτο δ' ἐλείχθη χρώμενος ὀνόματι κατὰ τῶν ἀρχομένων τῶν ἔμφυτον θερμασίαν. ἐφεξῆς δὲ καὶ πρὸς τὸ γεγονότα τότε διαπαγχικῶς διαλεγόμενος, ὡδί γράφει, πνεῦμα δὲ τούτοισιν ὁ πάνυ μετέωρον· ὡς δ' ἔνιοι μετεώρου τὰ πολλὰ τοῖς διαπαγχικοῖς γιγνομένου τὸ πνεῦμα. ὅτως δὲ καλεῖν ἔθος αὐτῷ τὸ μικρὸν πνεῦμα, καὶ ὡς, ὀλίγοι τινὶ, αὐτόθι που μέχρι τοῦ φάρυγγος & εἰσίον, οὐκ εἰς τὸ βάθος τοῦ θώρακος καταχωροῦντος. ὅτι δὲ τοιοῦτον ἀνάγκη ὑπάρχειν τὸ πνεῦμα τοῖς ὁποιῶν ὀδυνωμένοις τῶν ἀναπνευστικῶν ὀργάνων, ἐμπροσθεν εἴρηται. τίς οὖν ἡ αἰτία δὴ ἐν τοῖς διαπαγχικοῖς οὐ πάνυ τὸ πνεῦμα μετέωρον; ἢ διότι μὴ δὲ τὸ τοῦ διαπαγχικοῦ ἕδος αὐτοῖς εὐθισμένως ἐχώρει. πρῶτον μὲν γὰρ ὀρθὸν, φάρυγξ οὐ φλεγμαίνουσα, κειμένη δὲ. εἶθ' οὕτω φησὶν, οὐ πνιγώμενοι οἱ πλεῖστοι, εἰ μὴ κατατείνειν προθυμοῖντο. καὶ ὅλως ἡ δίκησις ἅπασα τοῦ τότε γεγονότος διαπαγχικοῦ, ἀπαθὴ μὲν ἐφαίνετο μεῖναι τὴν φάρυγγα, τὰ δ' ὑδιγειτνιῶντα ταύτῃ μόρια τὰ συνεχῆ τοῖς πονδυλίοις τοῦ τραχήλου παθεῖν. καὶ γὰρ ὃν καὶ μετασλῶαι φησὶ καὶ αὐτοὺς τοὺς πονδύλους, οὓς μὲν ἔσω μόνον, οὓς δὲ καὶ εἰς τὰ πλάγια. μήτ' οὖν ἄλλου τινὸς τῶν ἀναπνευστικῶν ὀργάνων πεπονθότος, ἀλλὰ μηδὲ τοῦ φάρυγγος αὐτῆς κατὰ τὸν ἴδιον λόγον, ὅτι μὴ τῆς κοινωνίας τῆς θέσεως σὺν τοῖς παθημάτων, λέοντος τὸ πάνυ μετέωρον ὧν αὐτοῖς τὸ πνεῦμα. μὴ δ' ὅλως μὴ γ' ἐνοχλουμένης τοῦ φάρυγγος, οὐ δ' ἂν μετέωρον ὧν μὴ δὲ λαμῶς. ἐπεὶ δ' ἐκ τοῦ συμπάσχειν τοῖς παρακειμένοις ἠνοχλεῖτο, τῷ μέσῳ τῶν ἐρημένων κατάστασιν ἐκτήσατο μετρίως πυκνωθὲν ἐφεξῆς δὲ τοῦ δὲ τὰ κατάστασις ἑτέρας μνημονεύει, γεγονυίας ἐν Περίνθῳ τὸν δι' ὅλου. ἀρχόμενος τοῦ διηγήσεως, ὃν Περίνθον πρὸς ἥλιον προπίπτοντα ὀλίγον τὰς θρινὰς ἤλθομεν. ἔπειτα διηγεῖται τὴν ὅλην τῶν νοσημάτων ἰδέαν, ἀρξάμενος μὲν ἀρξαμένων, ἐμετώδη δὲ γεγονυίαν, καὶ μέχρι πλείστου χρονίσασαν. ἀλλὰ καὶ ὡς χωρὶς ἐμέτων οἱ λαῶσοι τούτοις ἐγίγνοντο, καὶ ὡς ἡ γαστὴρ αὐτοῖς διεχώρει πολλὰ, οὐ δῆλον προσέθηκεν. ὡς ἐκ τούτων καὶ τῶν ἄλλων ἁπάντων, σύδηλον ἐστὶν, ἡ κατάστασις τὴν ὑποθεσιν ἐν φλεγμασι διε-

μασι διασιπομένοις γεγονημένῳ, ἀπαθῶς μὲν τῶν ἀναπνευστικῶν μενάντων, καὶ τοῦ σώματος ἧ κοιλίας, ἐκ δὲ τῶν κατωτέρω μερῶν αὖθις ὀρμωμένου τοῦ κώνου. εἰκότως οὖν αὐτοῖς, οὐθ' ὥσπερ οἷς ἐν πνεύμονί τε καὶ καρδίᾳ πλῆθος ἥθροισε θρομβασίας πυρώδους, ἐγχύσει μέγα τὸ πνεῦμα, μικρὸν τ' ἐκ τῶν φαντάσιων, ὡς μήτ' ὀλιγωμένοις, μήτε κατεψυγμένοις. ἔσπερ οὖν τὸ μετέωρον οὐδὲν τοῦ μικροῦ διαφέρον φησὶ λόγον αὐτοῖς φησὶ τὰ πνεύματα μετέωρα γίγνεσθαι, οὐ μὴν πάνυ γε. μετὰ δὲ ταῦτα τὴν κατάστασιν, οὐδεμιᾶς ἐν τοῖς ἐφεξῆς δυσπνοίας ἐμνημόνευσεν ὁ Ἱπποκράτης, ἄχρι ἧς ῥήσεως ἐκείνης τῶν πρώτων πεφευγέναι ἅπαντα ἐν ἀρχῇ τοῦ δὲ τοῦ γράμματος, ἢ ἀρχέτω τὸν δὲ τὸν τρόπον. πνεύματα, πυκνὰ σμικρὰ. μεγάλα ἀραιά. ταῦτα δὲ σύμπασαν ἐξηγήσασθαι φαίνω. ἧ ἂν ἐφεξῆς αὐτῷ γεγραμμένης δυσπνοίας ὧδε ἀῤῥώστου τινὸς οὗ τὸ ὄνομα σκόπος εἴη ἂν ἡδέως μνημονεύειν καιρὸς, ἔχει δ' ἡ τοῦ παλαιοῦ λέξις ὧδε, πνεῦμα δὲ ἔπιπονον, ἔπιοχόνδρια ἦλγει, καὶ ἀναπνέων καὶ τρεφόμενος. φαίνεται δὴ καὶ ὅτος ὁ ἀῤῥωστος μαρτυρῶν τοῖς πολλάκις ὑφ' ἡμῶν πεφευγόσιν. ἐπεὶ γὰρ τὰ ἔπιοχόνδρια τοῖς ἀναπνευστικοῖς ὀργάνοις συνῆπται, διὰ τοῦτ' ὀλιγωμένων αὐτῶν ἔπιπονον ἴσως τὸ πνεῦμα. ταυτὶ μὲν δὴ ἐν τῷ δευτέρῳ τῶν ὠφελίμων εἴρηται δυσπνοίας ἐγρᾶψεν. ἐν δὲ τῷ τετάρτῳ, πρῶτον μὲν μέμνηται ἧ Νικοστράτου γυναικός, ἧ ἐν Περανῶνι, μικρὸν καὶ πνικνὸν ἐχούσης τὸ πνεῦμα. δεύτερον δὲ, ἧ Ἀντηγόνους, ἀδματώδους οὐχ ἑπόγυιον τότε γενομένης, ἀλλ' ἤδη ἀρχὴν οὖσαν, ὥστε καὶ βήσσειν ἀεί. περὶ μὲν δὴ ταύτης οὐδ' ἐν ἂν εἴη ζήτημα. περὶ δὲ ἧ ἐν Περανῶνι, ἧ Νικοστράτου γυναικὸς. διὰ τοῦτο μοι δοκεῖ προδεῖναι τὸ, μικρὸν καὶ πνικνὸν πνεῦμα, διότι οὐ παρεφρόνησεν. εἴρηται γὰρ ἤδη πολλάκις, ὡς πυκναπτοῦ, τὸ ἀραιὸν καὶ μέγα πνεῦμα παραφροσύνης δεῖν ἴδιον. ὥστε ἄξιον ζητῆσαι διατὶ, ποτὲ μὲν οὐκ ἐγρήγορε. τὸ δ' ἐναντίον αὐτῷ, τὸ, ἧ ἀλγεμάτων ἴδιον, τὸ μικρὸν καὶ πνικνόν. οὐ δὲ γὰρ προσέθηκεν ἐν τῇ διαγνώσει τῆς ἀῤῥωστίας ἡνίκα δὲ καὶ τινὰ ὀδυνᾶται οὐδενὸς τῶν μορίων, ἀλλ' οὐδ' ὄγκου ἐπισήμου οὔτε καθ' ἕπιοχόνδριον, οὔτε ἧ θώρακα. τί δ' ἂν δεῖ τὸ γινόμενον; ἐμοὶ μὲν δοκεῖ διῆφθαι τις ἰδέα νοσήματος συστῆναι περὶ τὸ γιάφιον ἀπὸ διῆφθαι ἀρχῆς. ἐν μὲν γὰρ τῷ παραφρονῆσαι, καὶ τὸν πράχυλον, καὶ τὸ στόμα, καὶ τὴν ῥῖνα παραπαθῶναι, δῆλον ὡς ἐν τῇ κεφαλῇ τις ἔπιθεσις αὐτῇ νοσήματος ὑπῆρχεν. ἐκ δὲ τοῦ τὸν σίτον τε ἐγκατακλεισθῆναι μέχρι δεκάτης ἡμέρας, καὶ τοῖς οὖρον ὀροβοειδῆ γενέσθαι τὴν ἔπιστασιν, οὐ μικρὰν ἐν ἅπασι νομίζω γενέσθαι φλεγμονὴν, ἐφ' ἧς τὴν ἄνωθεν διάθεσιν νικηθεῖσαν οὐ δυνηθῆναι καθ' ἑαυτὴν τυπῶσαι τῇ ἀναπνοῇ. εἴρηται γὰρ οὕτω καὶ πρόδηλον ἤδη πολλάκις, ὡς ἧ τῇ ὑπερακυῖαν διάθεσιν, ἡ ἧ δυσπνοίας ἰδέα χρηματίζεται. δῆλοι δ' ἐκ ἥκιστα, τῷ παραφροσύνης τὸ βραχύ, ἢ λέξις αὐτὴ τοῦ παλαιοῦ. παραλέγειν, γοῦν αὐτὴν ἔφην εἴωθεν δὲ τοῦτο τοιούτῳ ῥήματι χρῆσθαι, μικρὰν ἐνδιεξιέναι βλάβην βουλόμενος, ὡς καὶ τοῦτ' ἀφῃρῆσθαι πολλάκις. οὐδὲν οὕτω θαυμαστὸν ὧδε βραχὺ ᾖ, αὐτῆς παραφροσύνης. ἰσχυρῶς δὲ φλεγμανθείσης ἧ τὸ ἧπαρ, οὐ τὴν ἧ παραφροσύνης, ἀλλὰ τὴν ἧ φλεγμονῆς οἰκείαν ἀπαντῆσαι δυσπνοιαν. οὕτω μὲν δὴ καὶ περὶ τούτων ἔχει. τί δ' ὅταν εἴπῃ, πνεύματώδη τινὰ γίνεσθαι χρὴ δ' ἔχειν, πότερον ὃν ἐν τοῖς περὶ διαίτης ὀξέων πνευματίαν ἐκάλεσεν, ἢ τὸν περὶ πνευματωμένον τὴν γαστέρα. τί δ' ἐστὶν ὁ πνευματίας ἐν τοῖς περὶ διαίτης ὀξέων αὐτὸς ἐξηγήσατο σαφέστατα. πεφεπώκει γὰρ ὡς, ταχέως πνεύματα γίνονται σιωπῶσι σῦθοι ὑπὸ φορέει, ὑπὸ δὲ πολλοῦ καὶ πυκνοῦ πνεύματος. ὧδε μὲν δὴ καὶ παταχρᾶς σῦθοι ἐξηγησάμην ἐν τοῖς δὲ τῷ βιβλίῳ. τὸ δ' ἐν τοῖς τετάρτῳ τῶν ὠφελίμων ὑπεσκεπτέον, αὖ τὴν ὑπογραφάντας τὴν ῥῆσιν ἔχουσαν ὧδε, ὁ ἐκ τῶν μετάλλων ἔπιοχόνδριον δεξιὸν ἐν τε ταμνόνου, ἀπλῆ μεγὰς, κοιλίη ἐν τεταμνόν, ὑπόσκληρος, πνευματώδης, ἄχθος. ἐγχωρεῖ γὰρ ἑκάτερον, καὶ δύπνουν αὐτὸν γενέσθαι, διά τε τὰς ἐν τοῖς ἔπιοχονδρίοις διαθέσεις, καὶ πνευματωθῆναι τὴν γαστέρα. πολὺ δὲ μᾶλλον ἀσαφὴς ὁ ἐφεξῆς ἄῤῥωστος, ἔχων ὧδε. ὁ Τιμαίνετος ἔχει πνεύματος, ὡς ὀχλώδες ἔοικεν. καὶ γὰρ ἡ τόπω πάνυ τῆς ἧπατος κακοπραγία, δῆλον ἐνεχόρει δύπνουν αὐτὸν, καὶ πνευματοῦσι τὴν γαστέρα. τὸ γὰρ ὀχλῶδες χρῶμα κακοπραγοῦντος ἥπατος γνώρισμα. τὸ δ' ἐφεξῆς λεγόμενον ὧδε, ὁ τ' λεχὸς ἀνὴρ. ὁ πρὸ Σιτοδότου, ἰκτεριώδης, πῶς οὖν ἑβδομαῖος ἐσῆλθον, οὐδὲν ἀπώλεσε, ὅτε ῥέων, ὅτε διαχωρέων. ἔπιοχόνδρια μεγάλα καὶ σκληρὰ, καὶ πνεῦμα πυκνόν. οὐ γ' ζητῆσαι ἔχει. σκληρῶν γὰρ τὸ μεῖον, ἡ μεγάλ' τῶν ἔπιοχονδρίων γενομένων, δύλογον πυκνὸν εἶναι αὐτῷ τὸ πνεῦμα. ἀσαφὲς δὲ τελέως ὅτι τὸ τούτου σωμα ἐν τ' λεχοῦς ἐρεμνὸν ὧδε. διαίρουσι δὲ τ' πυρετὸν, πνεῦμα δὲ ἐλύθη. τί γὰρ εἶδος ἔχει δυσπνοίας, ὅτ' αὐτὸς ἐδήλωσε σαφῶς, ὅτε ἓν σύμπτωμα ἄλλο τοιοῦτον ἐγρᾶψεν, ᾧ οὐ τεκμαίροιτ' ἂν τις γνωσθῆναι αὐτῇ διάθεσιν. καὶ μὲν δὴ καὶ μετὰ ταῦτα οὐκ ὀλίγου προελθὼν ἄρχεται διηγεῖσθαι τὸν δὲ τὸν τρόπον, ἢ Τιμαίνετος, πνευματώδης. διὰ μὲν γὰρ δύπνους ἀκούεσθαι, δῆλον δὲ, καὶ ὥσπερ οἱ πλεῖστοι τῶν ὀχλωδεσμένων οἴονται λέγεσθαι, ἐμπεπνευματωμένα τὰ ἔπιοχόνδρια. βέλτιον δὲ δοκεῖ μοι, καὶ ἴσως ἀναγκαῖον, τὴν περιπνευματωμένην τὰ ἔπιοχόνδρια λέγεσθαι μᾶλλον πῶρ, ἢ δύσπνουν. ὀλίγου οὖν ἐν τῇ διηγήσει προελθὼν, καί τινι δυπνοωτέρᾳ, φησὶ, ὡς αὖ ἤδη προερρηκὼς ἔπιεν αὐτῆς δύσπνουν εἶναι. ὅτι δὲ πνευματώδεις, οἷς πνικνὸν ὄζει τὸ πνεῦμα, προσαγορεύειν ἔωθεν, εἴρηται μὲν καὶ τοῖς πρόσθεν, ἀλλὰ καὶ νῦν δῆλον. ὧδε γὰρ οὖθις ἐπέτραπτο τὰ ἧ δὲ ἧ ἀνθρώπου συμπτώματα, καὶ κατὰ τὴν ἑξακαιδεκάτην ἡμέραν ἀρθαεῖν αὐτὴν φησὶ, πνικνὴν ἔχουσαν τὸ πνεῦμα. καὶ ὁ μὲν τὰ ταύτην δὲ γεγραμμένος ἀῤῥώστου, ὅτι καὶ αὐτὸς ἀνέπνευσε πνικνὸν ὧδε τῇ τῶν ἔπιοχονδρίων διαθέσει, δῆλον ἡ ῥῆσις αὕτη ποιήσει, τὸν δὲ τὸν τρόπον ἔχουσα. ὁποῖα ἐν ἧ γυναικὸς, ἧ τοῦ Ἀποιμάντου ἀδελφῆς. ἔπιοχόνδρια μεγάλα καὶ σπλήν. πνεῦμα. διαχώρησις πικροχολώδης, ὥσπερ γὰρ πνευματώδεις, ἵνα τε καὶ λεῖ δὲ πνικνὸν ἀναπνέοντας, οὕτω ποτὲ καὶ ἁπλῶς γράφει πνεῦμα. θαυμαστὸν δ' οὐδὲν εἰ μεγάλων ὄντων ἔπιονχονδρίων ἐγίγνετο πνικνὸν τὸ πνεῦμα. καὶ γὰρ αὖ καὶ προελθὼν ἐπ' αὐτὸ πάλιν ῥεῖ, τὰ ἔπιοχόνδρια δὲ ἐντεταμένα ἐν. καὶ δὴ καὶ ἐν τῷ βυχίον ξηρὸν ἦσυχῇ. καθόλου γάρ, ὡς ἔφαμεν, ἐπειδὰν ὄγκος, ἢ ὀδύνη τις ἐν τοῖς καθ' ἔπιοχόνδρια συστῇ, μικρὸν καὶ πνικνὸν ἕξ ἀνάγκης ἀναπνέουσιν, ὡς οὐδὲν θαυμαστὸν, οἱ δ' ἐπειδὴν ἐν τοῖς μετὰ ταῦτα προεπῶν, ἔπιοχόνδριον ἔπολάπτον, πρὸ δὲ πνευματώδεις δὲ ὁ κάρτα. εἰ γὰρ δὴ

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 204 sur 494

τὸ μὲν λεπτομερὲς καπνῶδες, τὸ δὲ παχυμερὲς, ἀτμῶδες, ὧδε ποσοῦτον δυσπνοήσουσιν, ἐφ' ὅσον αὐτοῖς ἔχει κακῶς τὰ καθ' ὑποχόνδριον. μετρίως οὖν αὐτῶν πεπονθότων, μετρίως δυσπνοήσουσιν. ὥσπερ καὶ ἐν τοῖς κατωτέρω τοῦ βιβλίου ὠφέλιμος γράφει, τῇ οἰκείᾳ δὴ λύπῃ νεόνικον ἐοῦσαν κατεάξαι, ἢ τὸ σκληρυσμα ἐν τοῖσι λεπτοῖσιν ἐνῖν μέγα, οὐ κάρτα ὀδυνᾶσθαι, δυλόγως ἐπάγει. καὶ οὐ πάνυ δύσπνοος. Εἰ γὰρ τὸ σκληρυσμα μὴ κάρτα ὀδυνᾶσθαι ἐνῖ, οὐ δὲ πάνυ δύσπνοιαν εἶναι χρὴ ἄνθρωπον εἰκῆς ἐνῖ, οὕτω δὲ καὶ κατὰ τὴν τελευτὴν ἤδη τοῦ βιβλίου πρὸς τὸ πρεσβυτέρου διηγούμενος, εἶτα πρόσπαιν, παρενέχθη κεσμίως ἐπιπνευσαν οὐ πάνυ δύσπνοος. ἀεὶ γὰρ κατὰ τὸ μεγέθος τῆς ὀργαζομένης τὴν δύσπνοιαν αἰτίας, καὶ τὸ τῆς δυσπνοίας γίνεται μέγεθος. ἀλλὰ καὶ ταῦτα μὲν ἐν τῷ τετάρτῳ τῶν ὠδίνημίων γέγραπται, ὁμολογοῦντα τοῖς περὶ δυσπνοίας ὑφ' ἡμῶν ἀφορισθεῖσιν. ἐν δ' αὖ τῷ ἕκτῳ τῶν ὠδίνημίων ἰδίᾳ. μὲν ἀρρώστου γέγραπται τὸν δὲ τὸν τρόπον, ἐν λαείοσι Ἱπποδόκης, πρόσπνυμονίη ἐδόκει τοῖς ἰητροῖσι συνέχεσθαι. ἴσῃ δὲ οὐσα μῶς. ἀρχὴν δὲ παλαιὸν, ἔπεσεν ἐν σκληρῷ χωρίῳ ὕπτιος. καὶ ἐπέπεσεν αὐτῷ, καὶ ἐλούσατο ψυχρῷ. ἐμέμεν. καὶ ἐδίψει βαρύτερος γενέσθαι. τῇ δ' ὑστεραίῃ ἐπύρεσσε, καὶ βὴξ ἔχε ξηροτέρη. καὶ τὸ πνεῦμα πυκνὸν. εἶτα μικρῷ πρόσθεν, ὁπότε δ' ἔβησσε, φησίν, ὠδύνατο τὰ σπλάγχνα καὶ τὰ νῶτα. οὐδὲν οὕτω θαυμαστὸν οὕτω διακεκμηκόσι τῶν κατὰ θώρακα, πυκνὸν γενέσθαι τὸ πνεῦμα. τὸ δ' ὧν τῇ τελευτῇ τοῦ λόγου προσκείμενον, οὐδὲ ῥέγχος εἶχεν, εἰς ἀπόδειξιν μὲν εἴρηται τοῦ μὴ γενέσθαι πρόσπνυμονικὸν τὸν ἄνθρωπον. ὁμολογεῖ δὲ καὶ αὐτὸ τοῖς κατ' ἀρχὴν σύβδις ἐν τῷ δὲ τοῦ λόγου πρὸς ἡμῶν εἰρημένοις, ὁπότ' ἐν τοῦ πρόσπνυμονικοῦ

ΓΑΛΗΝΟΥ ΠΕΡΙ

ΔΙΑΦΟΡΑΣ ΝΟΣΗΜΑΤΩΝ.

ΒΙΒΛΙΟΝ ά.



ΠΡΩΤΟΝ μὲν εἰπεῖν χρὴ τί ποτε νόσημα καλοῦμεν, ἵν' ἢ δῆλον ὑπὲρ οὗ σπουδάζει τὸ γράμμα. δεύτερον δ' ὧδε τούτῳ, πόσα τὰ σύμπαντά ἐστιν ἁπλᾶτε καὶ πρῶτα νοσήματα, καὶ οἱονεὶ στοιχεῖα τῶν ἄλλων. ἐφεξῆς τε τρίτον ὁπόσα τὰ ἐκ τούτων συντιθέμενα γίνετο. λῃπτέον δὴ κἀνταῦθα ὁμολογουμένην ἀρχὴν, ὡς ἅπαντες ἄνθρωποι τὰς μὲν ἐνεργείας τῶν τοῦ σώματος μορίων, ἐπειδὰν εἰς μὲν τὰς κατὰ τὸν βίον πράξεις ὑπηρετούσας ἀμέμπτως ἔχουσιν, ὑγιαίνειν εἰσὶ πεπεισμένοι, βλαβέντες δ' ἥν τινα οὖν ἐξ αὐτῶν, νοσεῖν ἐκείνῳ τῷ μέρει νομίζουσιν. εἰ δὲ ταῦθ' οὕτως ἔχει, τὴν ὑγείαν ἐν δυοῖν τούτοιν ζητητέον, ἢ ἐν ταῖς κατὰ φύσιν ἐνεργείαις, ἢ ἐν ταῖς κατασκευαῖς τῶν ὀργάνων, ὑφ' ὧν ἐνεργοῦμεν. ὥστε καὶ ἡ νόσος, ἢ ἐνεργείας ἐστὶν ἢ κατασκευῆς βλάβη. ἀλλ' ἐπεὶ καὶ κοιμώμενοι, καὶ ἄλλος ἐν σκότῳ, καὶ ἡσυχίᾳ διάγοντες, ἢ κατακείμενοι πολλάκις, ὅτε τι μέρος κινοῦμεν, οὐθ' ὅλως αἰσθανόμεθα τῶν ἔξωθεν οὐδενὸς, οὐδὲν μὴν ἧττον ὑγιαίνομεν. κἀν τούτῳ δῆλον, ὡς οὐ τὸ ἐνεργεῖν ἐστὶ τὸ ὑγιαίνειν, ἀλλὰ τὸ δύνασθαι. δυνάμεθα δὲ ἐνεργεῖν ἐκ τῆς κατὰ φύσιν κατασκευῆς, ἐν ταύτῃ ἄρα τὸ ὑγιαίνειν ἐστὶν. ἕξει δὴ λόγον αἰτίας, ἡ κατασκευὴ πρὸς τὴν ἐνέργειαν. ὥστ' εἴτε τὴν κατὰ φύσιν ἁπάντων τῶν μορίων κατασκευὴν ὑγείαν ὀνομάζειν ἐθέλοις, εἴτε τὴν τῶν ἐνεργειῶν αἰτίαν, εἰς ταὐτὸν ἄμφω τῷ λόγῳ συμβαίνουσιν. ἀλλ' εἴπερ ἡ ὑγεία ἐστὶν, δῆλον ὡς ἡ νόσος τὸ ἐναντίον, ἤτοι κατασκευή τις παρὰ φύσιν, ἢ βλάβης ἐνεργείας αἰτία. δῆλον δὲ ὡς εἰ καὶ διάθεσιν εἴποις παρὰ φύσιν, ὀνόματι τὲ χρήσῃ παλαιῷ, καὶ δηλώσεις ταυτὸ. κατὰ πόσους δὴ τρόπους ἐξιστάμενα τὰ σώματα τοῦ κατὰ φύσιν, ἐμποδίζεται περὶ τὰς ἐνεργείας εἴπερ εὑρόιμεν, οὕτως ἂν ἤδη τὸν ἀριθμὸν ἁπάντων τῶν ἁπλῶν νοσημάτων εὑρηκότες εἴη μέν. Ἀρχὴ δὲ κἀνταῦθα ὁμολογουμένη, σύμμετρον μὲν εἶναι τὸ κατὰ φύσιν οὐκ ἐν ζώῳ μόνον, ἀλλὰ καὶ ἐν φυτῷ, καὶ σπέρματι καὶ ὀργάνῳ παντί. τὸ δὲ αὖ, παρὰ φύσιν, ἄμετρον. εἴη ἂν οὖν ἡ μὲν ὑγεία συμμετρία τίς. ἡ δὲ νόσος ἀμετρία. τίνων οὖν ἡ νόσος ἀμετρία σκεπτέον ἐφεξῆς. ἢ δηλονότι ὧν περ ὑγεία συμμετρία, τούτων, ἡ δὲ νόσος ἀμετρία. εἰ μὲν οὖν ἐν πόρων συμμετρίᾳ τὸ ὑγιαίνειν ἐστὶν, ἐν πόρων ἀμετρίᾳ γενήσεται, καὶ τὸ νοσεῖν. εἰδ' ἐν εὐκρασίᾳ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ τὸ ὑγιαίνειν ἐστὶν. ἐν τῇ τούτων δυσκρασίᾳ, καὶ τὸ νοσεῖν ἐκ ἀνάγκης συμβήσεται. κατὰ ταῦτα δὲ κἂν ἐν ἄλλῳ τινὶ γένει τὸ ὑγιαίνειν ὑπάρχῃ, δῆλον ὡς καὶ τὸ νοσεῖν ἐν τῷ κατ' ἐκεῖνο τὸ γένος ἀμέτρῳ συστήσεται. πάλιν γὰρ δὴ τὸ αὐτὸ τοῦτ' ὠλοσκεψώμεθα λογικώτερον. ἁπλοῦν εἴτι σῶμα, καὶ ἀκριβῶς ἐστὶν ἕν, οὐκ ἄν ποτε δέξαιτο τὸ μᾶλλον τὲ καὶ ἧττον, οὐδ' ἂν εἴη τι κατ' ἐκεῖνο τὸ γένος ἕτερον ἑτέρου βέλτιόν τε, καὶ χεῖρον. εἰ δ' ἐκ πλειόνων συγκείοιτο, πολλοὶ μὲν ἂν οὕτω γε τρόποι τῆς συνθέσεως ἐν αὐτῷ γίνοιντο βελτίους τὲ καὶ χείρους. εἴη δ' ἂν οὕτω, καὶ αὐτὰ τὰ συντιθέμενα κρείττω τὲ καὶ φαυλότερα. τὸ δ' ἄριστα συγκείμενον ἁπάντων, ἄριστον ἂν εἴη τῶν ὁμογενῶν. ἀρ' οὖν ἐν τοῖς τῶν ζώων σώμασι τὸ μᾶλλον τὲ καὶ ἧττον ἐστὶν, ὡς τὸ μὲν ἄκρως εὐεκτικὸν εἰπεῖν, τὸ δ' ἁπλῶς εὐεκτικὸν, οὐ μὴν ἄκρως. καὶ τοῦτι μὲν ὑγιεινὸν, οὐ μὴν εὐεκτοῦν. ἕτερον δέτι δυσαρεστούμενον. ἄλλο δὲ ἤδη νοσοῦν. καὶ τούτου τὸ μὲν ὠδιεικῶς, τὸ δὲ ὀλεθρίως, καὶ τὸ μὲν μετρίως, τὸ δὲ σφοδρῶς. ἢ πάντες ὁμοίως διακείμεθα νοσοῦντες τὲ καὶ ὑγιαίνοντες οὐκ ἔστιν εἰπεῖν. οὐκοῦν ἕν ἐστι τὸ τῶν ζώων σῶμα, καθάπερ ἢ ἄτομος ἢ ὠδικούρειος, ἢ τῶν ἀνάρμων τι τῶν Ἀσκληπιάδου. σύνθετον ἄρα πάντως. ἀλλ' εἰ μὲν ἐξ ἀτόμων, ἢ ἀνάρμων, ἢ ὅλως ἐξ ἀπαθῶν τινῶν συγκειται, τὸ μᾶλλον τὲ καὶ ἧττον ἐν τῷ ποιῷ τῆς συνθέσεως ἕξει, δίκην οἰκίας ἐκ ἀπαθῶν μὲν λίθων συγκειμένης, οὐ μὴν ἐν τῇ θέσει γε πάντῃ κατορθουμένης. εἰ δὲ εἶεν οἷοί τε πάσχειν τί καὶ οἱ λίθοι, πολυειδέστερον ἂν οὕτως γε τὸ μᾶλλον τὲ καὶ ἧττον ὑπάρχει κατὰ τὴν οἰκίαν. εἰ δὲ καὶ αὐτὰ τὰ στοιχεῖα τῶν ἡμετέρων σωμάτων ἀλλοιοῦσθαι τὲ καὶ πάσχειν πέφυκεν, οὐ μόνον ἂν ἐν τῇ συνθέσει τὲ καὶ οἷον διαπλάσει τῶν μορίων, ἀλλὰ καὶ δὴ ὅλων ἑαυτῶν τὸ μᾶλλον τε καὶ ἧττον ὠδιδέχοιτ' ἄν. καὶ δὴ καὶ νοσήσει δηλονότι δι' ὅλων ἑαυτῶν εἴδη τοσαῦτα νοσημάτων ἁπλᾶτε καὶ πρῶτα, καὶ οἷον στοιχεῖα τῶν ἄλλων, ὅσα περ ἂν ἢ τὰ συντιθέντα. ἔστι δὲ τὸ δι' ὅλων οὐκ ἐν τοῖς ἀπαθέσιν ἐστὶ στοιχείοις. οὐ γὰρ ἐνδέχεται παθεῖν τι τὴν ἄτομον αὐτὴν, ἀλλ' ἐν τῇ συνθέσει τὲ καὶ διαπλάσει τὸ πάθημα. σύνθεσις δὲ καὶ διάπλασις ἐν τοῖς τῶν ζώων σώμασιν ὑπάρχει τριττή. πρώτη μὲν ἡ τῶν ὁμοιομερῶν ὀνομαζομένων, ἀρτηριῶν, καὶ φλεβῶν, καὶ νεύρων, καὶ ὀστῶν, καὶ χόνδρων, καὶ συνδέσμων, ὑμένων τε, καὶ σαρκῶν, δευτέρα δὲ ἡ τῶν ὀργανικῶν, ἐγκεφάλου τε καὶ καρδίας, καὶ πνεύμονος, καὶ ἥπατος, καὶ κοιλίας, καὶ σπληνὸς, καὶ ὀφθαλμῶν, καὶ νεφρῶν. τρίτη δὲ ἡ τοῦ σύμπαντος σώματος. ἕκαστον γὰρ τῶν ὀργανικῶν τούτων μορίων ἔκ τινων ἑτέρων ἁπλῶν. ὡς πρὸς τὴν αἴσθησιν σύγκειται, κἀκείνων ἕκαστον ἐκ τῶν πρώτων στοιχείων, σαρκὸς οὖν αὐτῆς ἢ σὰρξ ἐν τῇ συνθέσει μόνῃ τῶν πρώτων στοιχείων ἡ διαφορὰ, ἢ μὲν τοιμόριον ὀργάνου παρά τε τὴν διάπλασιν, καὶ τὸ μέγεθος. καὶ γὰρ οὖν, καὶ αὐτῶν τῶν ὀργάνων ἐν τούτοις αἱ διαφοραί. πόσα τοίνην ἐστὶ, καὶ τίνα κατὰ τὴν πρώτην ὑπόθεσιν τὰ σύμπαντα νοσήματα τῶν ὁμοιομερῶν σωμάτων διελθόντες, ἑξῆς ἐπὶ τὴν ἑτέραν μεταβησόμεθα τὴν ἀλλοιοῦσθαι τὲ καὶ τρέπεσθαι τὴν οὐσίαν ὅλην δι' ὅλης ἑαυτῆς ὑποτιθεμένην. ἔστι δὲ δύο τὰ πρῶτα πάθη, τὸ μὲν εὐρύτης τις πόρων, τὸ δὲ στέγνωσις. ἀπαθῶν γὰρ ὑποκειμένων τῶν πρώτων στοιχείων, ἐν τῇ συνθέσει μόνῃ τὰ παθήματα. συνθέσεως δὲ πάσης αἱ προειρημέναι διαφοραί. ὥστ' ἀναγκαῖον ἐρρῶσθαι μὲν ἕκαστον τῶν ὁμοιομερῶν, ὁπότ' ἂν ἡ συμμετρία τῶν πόρων αὐτοῦ φυλάττηται. διαφθειρομένης δὲ ταύτης ἐξίστασθαι τοῦ κατὰ φύσιν. ἀλλ' ἐπειδὴ συμμετρίας ἁπάσης ἡ διαφορὰ διττή. τὸ μὲν γὰρ ὑπερβολὴ τὸ δ' ἔλλειψις. δῆλον ὡς καὶ τὰ πρῶτα νοσήματα τῶν ἁπλῶν σωμάτων ἔσται διττά. τὸ μὲν εὐρύτης τις πόρων, τὸ δὲ στέ-

Galeni Pergameni summi semper viri quique primus artem medicinae universam ... ... - page 206 sur 494

